This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

Digitized by Google

Clar Press 50 a 79

= C. Texl Gr. 21/1

= C Gr. 631/1

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

ANECDOTA GRÆCA

E CODD. MANUSCRIPTIS

BIBLIOTHECÆ REGIÆ PARISIENSIS.

EDIDIT

J. A. CRAMER, S. T. P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

ACADEMIÆ ORATOR PUBLICUS.

VOL. I.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXXXIX.

Clar. Press.
50. a. 79.

Digitized by Google

BIBLIOTHECA · BODLEIANA ·
DOMINUS · ILLUMINATIO · MEA ·

Digitized by Google

VIRO DOCTISSIMO

CAROLO BENEDICTO HASE,

INSTITUTI REGII FRANCIÆ SOCIO,

IN BIBL. REG. PARTE CODD. MSS. COMPLECTENTE

CONSERVATORI,

&c. &c. &c.

HÆC ANECDOTA GRÆCA PARISIENSIA

GRATO ANIMO

D. D. D.

EDITOR.

Digitized by Google

Digitized by Google

MONITUM LECTORI.

VIX quidem sperabam, post tot doctorum Virorum labores in eruendis Anecdotis Græcis e Codicibus Bibliothecæ Regiæ Parisiensis, multum adhuc superesse hac parte infectum. Sed nesciebam profecto inexhausti illius Thesauri in omni materie divitias; quæ quo magis explorantur, eo magis elucent. Itaque bene multis versatis Libris Manuscriptis, unde aliquid novi colligendum esse reputabam, ea typis mandare institui, quæ mihi luce digna esse visa sunt: faventibus Preli nostri Academici Delegatis, qui bonarum literarum promovendarum occasioni nunquam desunt.

Hæc varii generis et argumenti, ut potui, in ordinem redegi: generales aliquot classes statuendo, per quas diversa opuscula secundum materiem distribui et assignari possent. Sic Poeticæ, quæ ad rem dramaticam, metricam et musicen pertinent, attribui: Philosophiæ, quæ ad Ethicam, Rhetoricam et Physicam. Ea primo volumine contenta sunt. Quæ ad Historiam et Chronologiam spectant, secundo volumini attribui. Alia forsan posthac adjecturus, quæ ad Rem Philologicam et Grammaticam faciunt. Textum adnotationibus adornare, nisi ubi necessariæ essent, supersedi, relicto hoc opere aliis, qui et otio et doctrina magis abundant.

Digitized by Google

MONITUM LECTORI.

Quam imperfectus sit Græcorum Codicum Bibliothecæ Parisiensis Catalogus, vel ex nostro labore satis patebit; liceatque mihi Summos Viros, qui ejus curam gerunt, et quorum humanitati et benevolentiæ, me plurimum debere, lubentissime profiteor, hortari atque etiam orare, ut ad novi Catalogi confectionem animum tandem applicent. Dignum erit opus et eorum eruditione et splendidissima Bibliotheca, Regiaque illa munificentia, qua per tot sæcula instructa est et ornata.

Ingratus porro essem, si hoc in loco, grates speciatim solvendas omitterem erudito Viro Emmanueli Miller, Regiæ Bibliothecæ in Codd. MSS. Parte adjuncto, qui in usum nostrum plurima describenda curavit, nonnulla ipse nitidissime, ut solet, exscripsit; omnique tempore mihi summa benevolentia et diligentia operam perutilem navavit.

Digitized by Google

EXCERPTA POETICA.

1. Περὶ Κωμωιδίας, κ. ε.
2. Ἐκ τῶν Διοντσίου περὶ Ὀρνίθων.
3. Τοῦ Φιλῆ στίχοι εἰς τὸν βασιλέα Ἀλέξανδρον, κ. ε.
4. Ἐκ τοῦ Πάππου περὶ Μουσικῆς.
5. Ἰσαάκου τοῦ Τζέτζου περὶ Πινδαρικῶν μέτρων.

Digitized by Google

Digitized by Google

ΠΕΡΙ ΚΩΜΩΙΔΙΑΣ[a].

ΚΩΜΩΙΔΙΑΙ λέγονται τὰ τῶν κωμικῶν ποιήματα, ὡς τὰ τοῦ Ἀριστοφάνους, Κρατίνου, Μενάνδρου καὶ τῶν ὁμοίων. εὕρηται δὲ ἡ κωμῳδία, ὡς φασὶν, ἐξ αἰτίας τοιαύτης. τὸ παλαιὸν ἐν ταῖς κώμαις ἀδικούμενοί τινες ὑπὸ τῶν Ἀθήνησι πολιτῶν, καὶ θέλοντες ἐλέγχειν αὐτοὺς, κατῄεσαν εἰς τὴν πόλιν· καὶ νυκτὸς καθευδόντων πάντων, παριόντες παρὰ τὰς ἀγυιὰς ἔλεγον ἀνωνύμως[1] τὰς βλαβὰς ἃς ὑπέσχον[2] ὑπ' αὐτῶν, τοιαῦτα λέγοντες· "ἐνταῦθα μένει τις, "τάδε καὶ τάδε ποιῶν τισὶ τῶν γεωργῶν, καὶ οὐ μετρίας βλαβὰς "ἐπιφέρει[3] αὐτοῖς" ὥστε τοὺς γειτνιῶντας ἀκούοντας, ἡμέρας γιγνομένης πρὸς ἀλλήλους λέγειν, ἃ νύκτωρ παρὰ τῶν γεωργῶν ἤκουσαν. ἐπονείδιστον δὲ ἦν τοῦτο τῷ ἀδικοῦντι· ὥστε καὶ πολλοῖς τῶν ἀδικούντων τὸ τοιοῦτο διορθώσεως γέγονεν αἴτιον αἰσχυνομένοις τὴν ὕβριν· ὅθεν τοῖς τῆς πόλεως ἔδοξεν ἐπ' ἀγαθῷ γεγονέναι τὸ ἐγχείρημα τῶν ἀγροίκων[4]· καὶ ἀναζητήσαντες αὐτοὺς ἠνάγκασαν καὶ ἐπὶ θεάτρου ταῦτα ποιεῖν. οἱ δὲ δειλιῶντες τοῦτο ποιεῖν ἐπιφανῶς, τρύγα[5] περιχρίοντες τὰς ἑαυτῶν ὄψεις, οὕτως εἰσῄεσαν· ὅθεν κἀκ τούτου μᾶλλον τῶν ἀδικούντων ἐλεγχομένων ἐπὶ θεάτρου, συστολὴ[6] τῶν ἀδικιῶν ἐγένετο.

Ἐπεὶ δὲ ἡ πόλις ἐκ τούτου μεγάλας ἀπήλαυσεν ὠφελείας, ποιητὰς ἔταξαν ἐπὶ τούτῳ κωμῳδεῖν οὓς ἂν βούλωνται ἀκωλύτως. Πρῶτον οὖν Σουσαρίων τὶς τῆς ἐμμέτρου κωμῳδίας γέγονεν ἀρχηγός· οὗ τὰ μὲν ποιήματα λήθῃ κατενεμήθη, δύο δὲ ἢ τρεῖς ἴαμβοι ἐπὶ μνήμῃ φέρονται τούτου· εἰσὶ δὲ οὗτοι·

Ἀκούετε λεώς, Σουσαρίων τάδε λέγει,
υἱὸς Φιλίνου, Μεγαρόθεν, Τριποδίσκιος·
κακὸν γυναῖκες, ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίας ἄνευ κακοῦ.

a Vid. Annott. ad calcem hujus sectionis.

1 ἀνωνυμεὶ Schol. Dion. Thr. Bekker. An. p. 747, 31. 2 ἔπασχον Schol. ibid. 3 ἐπιφέρων Schol. ib. p. 748, 3. 4 κωμικῶν Schol. ib. 5 τρυγίᾳ Schol. ib. 6 ἀνοχὴ Schol. Bekker.

Digitized by Google

Ἀρχὴν οὖν λαβόντος τοῦ πράγματος, πολλοὶ γεγόνασι κωμικοὶ ἐλέγχοντες τοὺς κακῶς βιοῦντας καὶ ἀδικίαις χαίροντας· καὶ ἐντεῦθεν ὠφέλουν κοινῇ τὴν πολιτείαν τῶν Ἀθηναίων. Ἐπεὶ[7] δὲ τὸ μὲν παράνομον ἐπικρατὲς, ὅτι τὰ χειρόνα νικᾷ, τὰ δ' ἀγαθὰ τάχεως ἀφίπταται, οὐ μετὰ πολὺν χρόνον οἱ πλούσιοι καὶ οἱ ἄρχοντες οὐ βουλόμενοι κωμῳδεῖσθαι, ἤρξαντο κωλύειν τοὺς κωμικοὺς τοῦ φανερῶς καὶ ὀνομαστὶ ἐλέγχειν τοὺς ἀδικοῦντας, ἵν' ἐντεῦθεν ἀδικοῦντες μὴ ἐλέγχωνται ὑπ' αὐτῶν· ὅθεν ὥσπερ αἰνιγματωδῶς καὶ οὐ φανερῶς ἠλέγχοντο ὑπὸ τῶν κωμικῶν· ἀλλὰ καὶ ἔτι ἐπὶ πλέον προϊούσης τῆς κακίας ἐκωλύθησαν καὶ τοῦ αἰνιγματωδῶς κωμῳδεῖν· διὸ εἰς ξένους καὶ πτωχοὺς ἐσκώπτων, εἰς δὲ πλουσίους καὶ ἐνδόξους οὐκ ἔτι. Διὸ καὶ τρεῖς διαφορὰς ἔδοξεν ἔχειν ἡ κωμῳδία· ἡ μὲν γὰρ καλεῖται παλαιὰ, ἡ ἐξ ἀρχῆς φανερῶς ἐλέγχουσα· ἡ δὲ μέση, ἡ αἰνιγματωδῶς[8]· ἡ δὲ νέα, ἡ ἐπὶ ξένων ἢ δούλων ἢ πτώχων, ὡς εἴρηται. Γέγονε δὲ τῆς μὲν πρώτης κωμῳδίας ἄριστος τεχνίτης, οὗτός τε ὁ Ἀριστοφάνης, καὶ Εὔπολις καὶ Κρατῖνος· τῆς δὲ δευτέρας Πλάτων, οὐχ ὁ φιλόσοφος[9]· τῆς δὲ νέας Μένανδρος.

Κωμῳδοὶ οὖν ἐκλήθησαν, ἢ ὅτι οἱ ἀπὸ τῶν κωμῶν συναγόμενοι ταῦτα ᾖδον, ὡς εἴρηται, ἢ ὅτι ἐν τῷ καιρῷ τοῦ κώματος ἢ τοῦ ὕπνου, (λέγεται γὰρ κῶμος ὁ ὕπνος,) ᾖδον. Ἔστι δὲ τὴν κωμῳδίαν καὶ τραγῳδίαν εἰπεῖν, οἱονεὶ τραγῳδίαν τινὰ οὖσαν, ὅτι τρύγα χριόμενοι ἐκωμῴδουν. Ἔστι δὲ καὶ ἡ κωμῳδία μίμησις πράξεως καθαρωτέρας, παθημάτων συστατικὴ τοῦ βίου, διὰ γέλωτος καὶ ἡδονῆς τυπουμένη. Διαφέρει δὲ τραγῳδία κωμῳδίας, ὅτι ἡ μὲν τραγῳδία ἱστορίαν ἔχει καὶ ἐπαγγελίαν πράξεων γενομένων, κἂν ὡς ἤδη γενομένων σχηματίζῃ αὐτάς· ἡ δὲ κωμῳδία πλάσματα περιέχει βιωτικῶν πραγμάτων. Καὶ ὅτι τῇ μὲν τραγῳδίᾳ σκόπος τὸ εἰς θρῆνον κινῆσαι τοὺς ἀκροατὰς, τῆς δὲ κωμῳδίας εἰς γέλωτα. Καὶ πάλιν καθ' ἑτέραν διαίρεσιν, τῆς κωμῳδίας τὸ μὲν ἐστὶν ἀρχαῖον, τὸ δὲ νέον, τὸ δὲ μέσον. Διαφέρει οὖν τῆς νέας ἡ παλαιὰ κωμῳδία χρόνῳ, διαλέκτῳ, ὕλῃ, μέτρῳ, διασκευῇ. χρόνῳ μὲν, καθὸ ἡ μὲν νέα ἐπὶ Ἀλεξάνδρου ἦν, ἡ δὲ

[7] ἐπειδὴ Schol. Bekker. [8] μέση καὶ αἰνιγματώδης Schol. Bekker, p. 749. [9] ἀλλ' ἕτερός τις add. Schol. Bekker.

Digitized by Google

παλαιὰ ἐπὶ τῶν Πελοποννησιακῶν εἶχε τὴν ἀκμήν. διαλέκτῳ δὲ, καθὸ ἡ μὲν νέα τὸ σαφέστερον ἔσχε, τῇ νέᾳ κεχρημένη Ἀτθίδι, ἡ δὲ παλαιὰ τὸ δεινὸν καὶ ὑψηλὸν τοῦ λόγου· ἐνίοτε δὲ καὶ ἐπιτηδεύουσα λέξεις τινάς. ὕλῃ δὲ[10], καθὸ ἡ μὲν νέα τῷ ἰαμβικῷ
5 μέτρῳ ἐπιπλεῖστον χρῆται, σπανίως δὲ καὶ ἑτέροις μέτροις· τῇ δὲ παλαιᾷ πολυμετρία τὸ σπουδαζόμενον. διασκευῇ δὲ, ὅτι ἐν μὲν τῇ νέᾳ χορῶν οὐκ ἔδει, ἐν ἐκείνῃ δὲ μάλιστα. Καὶ αὐτὴ δὲ ἡ παλαιὰ ἑαυτῆς διαφέρει· καὶ γὰρ οἱ ἐν τῇ Ἀττικῇ πρῶτον συστησάμενοι τὸ ἐπιτήδευμα τῆς κωμῳδίας, (ἦσαν δὲ οἱ περὶ Σουσα-
10 ρίωνα[11]) πρόσωπα ἀτάκτως[12] εἰσῆγον, καὶ γέλως ἦν μόνως τὸ κατασκευαζόμενον. Ἐπιγενόμενος δὲ Κρατῖνος, κατέστησεν μὲν πρῶτον τὰ ἐν τῇ κωμῳδίᾳ πρόσωπα μέχρι τριῶν, στήσας[13] τὴν ἀταξίαν, καὶ τῷ χαρίεντι τῆς κωμῳδίας τὸ ὠφέλιμον προσέθηκε, τοὺς κακῶς πράσσοντας διαβάλλων, καὶ ὥσπερ δημοσίᾳ μάστιγι
15 τῇ κωμῳδίᾳ κολάζων. ἀλλ' ἔτι μὲν καὶ οὗτος τῆς ἀρχαιότητος μετεῖχε, καὶ ἠρέμα πως τῆς ἀταξίας. ὁ μέντοι γε Ἀριστοφάνης μεθοδεύσας τεχνικώτερον τὴν κωμῳδίαν, ἐν ταύτῃ ἐνέλαμψεν, ἐν ἅπασιν ἐπίσημος φανείς.

Ὁ δὲ γέλως τῆς κωμῳδίας ἔκ τε λέξεων καὶ πραγμάτων ἔχει
20 τὴν σύστασιν· ἐκ μὲν τῶν λέξεων[14] κατὰ τρόπους ἑπτά. πρῶτον καθ' ὁμωνυμίαν, ὡς τὸ διαφορούμενον[15]· σημαίνει γὰρ τό τε ἐπὶ[16] διαφόροις οὖσι καὶ ἐπικερδέσι[17]. δεύτερον κατὰ συνωνυμίαν, ὡς τὸ ἥκω καὶ κατέρχομαι, ταυτὸν γὰρ . . .[18]. τρίτον κατὰ ἀδολεσχίαν, ὡς ὅταν τις τῷ αὐτῷ ὀνόματι πολλάκις χρήσαιτο[19]. τέταρτον
25 κατὰ παρωνυμίαν[20], ὡς ὅταν τῷ κυρίῳ[21] ἔξωθέν τι κατάθηται, ὡς τὸ μίμαξ καλοῦμαι Μίδας. πέμπτον καθ' ὑποκορισμὸν, ὡς τὸ Σωκρατίδιον, Εὐριπίδιον. ἕκτον κατ' ἐναλλαγὴν[22], ὡς τὸ, ὦ Βδεῦ[23] δέσποτα, ἀντὶ τοῦ, ὦ Ζεῦ. ἕβδομον κατὰ σχῆμα λέξεως· τοῦτο δὲ ἢ φωνῇ[24] γίνεται ἢ τοῖς ὁμογενέσιν. Ἐκ δὲ τῶν πραγμάτων

10 Nullum hic lacunæ vestigium, ut et in Opusc. περὶ κωμῳδίας quod Aristophan. Edd. præmittitur. 11 Σαννυρίωνα in Opusc. p. xii. Aristoph. Kuster. 12 Cod. εὐτάκτως. correxi ex Opusc. cit. 13 συστήσας Opusc. cit. 14 τῆς λέξεως Platon. frag. Kuster. p. xiii. 15 διαφοραύμενος οἷον τὸ μέτρον Platon. 16 ἐπὶ om. Cod. 17 ἐπικαρδέσι Cod. 18 ἐστὶ supplendum ex Platon. 19 χρήσηται Platon. 20 περιωνυμίαν Platon. 21 κυριώς Cod. τῷ κυρίῳ ἔξωθέν τις ἅπτηται Platon. 22 ἐξαλλαγὴν Platon. 23 ὦ Ζεῦ Platon. 24 φωνὴ Cod.

Digitized by Google

κατὰ τρόπους δύο. πρῶτον κατὰ ἀπάτην, ὡς Στρεψιάδης πεισθεὶς ἀληθεῖς εἶναι τοὺς περὶ ψυχῆς[25] λόγους. δεύτερον καθ' ὁμοίωσιν· ἡ δὲ ὁμοίωσις εἰς δύο τέμνεται· ἢ εἰς τὸ βέλτιον, ὡς ὁ Ξανθίας εἰς Ἡρακλῆ, ἢ εἰς τὸ χεῖρον, ὡς ὁ Διόνυσος εἰς Ξανθίαν[26].

(*b*) Ἰστέον ὅτι Ἀλέξανδρος ὁ Αἰτωλὸς καὶ Λυκόφρων ὁ Χαλκιδεὺς, ὑπὸ Πτολεμαίου τοῦ Φιλαδέλφου προτραπέντες, τὰς σκηνικὰς διώρθωσαν βίβλους. Λυκόφρων μὲν τὰς τῆς κωμῳδίας, Ἀλέξανδρος δὲ τὰς τῆς τραγῳδίας, ἀλλὰ δὴ καὶ τὰς σατυρικάς. Ὁ γὰρ Πτολεμαῖος φιλολογώτατος ὢν, διὰ Δημητρίου τοῦ Φαληρέως (*c*) καὶ ἑτέρων ἐλλογίμων ἄνδρων, δαπάναις βασιλικαῖς, ἁπαν- 10 ταχόθεν τὰς βίβλους εἰς Ἀλεξανδρείαν συνήθροισεν, καὶ δυσὶ βιβλιοθήκαις (*d*) ταύτας ἐπέθετο. ὧν τῆς ἐκτὸς μὲν ἀριθμὸς τετρακισμύριαι δισχίλιαι ὀκτακόσιαι· τῆς δὲ τῶν ἀνακτόρων ἐντὸς, συμμιγῶν μὲν βίβλων ἀριθμὸς τεσσαράκοντα μυριάδες, ἀμιγῶν δὲ καὶ ἁπλῶν μυριάδες ἐννέα· (*e*) ὧν τοὺς πίνακας ὕστερον Καλλί- 15 μαχος ἐπεγράψατο. Ἐρατοσθένει δὲ ἡλικιωτῇ Καλλιμάχου παρὰ τοῦ βασιλέως τὸ τοιοῦτον ἐνεπιστεύθη βιβλιοφυλάκιον. (*f*) Τὰ δὲ συνηθροισμένα βιβλία οὐχ Ἑλλήνων μόνον ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ἐθνῶν· ἦσαν δὲ καὶ τῶν Ἑβραίων αὐτῶν. Τὰς δὴ οὖν τῶν ἄλλων ἐθνῶν σοφοῖς ἄνδρασιν τήν τε οἰκείαν φωνὴν, τήν τε 20 τῶν Ἑλλήνων καλῶς εἰδόσι, τὰς ἐξ ἑκάστου ἐγχειρίσας, οὕτως ἑρμηνευθῆναι αὐτὰς πεποίηκεν εἰς τὴν Ἑλλάδα φωνήν. Τὰς δὲ σκηνικὰς Ἀλέξανδρός τε, ὡς ἔφθην εἰπὼν, καὶ Λυκόφρων διωρθώσαντο· τὰς δὲ ποιητικὰς Ζηνόδοτος πρῶτον, καὶ ὕστερον Ἀρίσταρχος διωρθώσαντο. Καίτοι τὰς Ὁμηρικὰς ἑβδομήκοντα δύο 25 γραμματικοὶ ἐπὶ Πεισιστράτου τοῦ Ἀθηναίων τυράννου διέθηκαν οὕτωσὶ, σποράδην οὔσας τὸ πρίν. Ἐπεκρίθησαν δὲ κατ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν ὑπ' Ἀριστάρχου καὶ Ζηνοδότου, ἄλλων ὄντων τούτων τῶν ἐπὶ Πτολεμαίου διορθωσάντων. Οἱ δὲ τέσσαρσί τισι τῶν ἐπὶ Πεισιστράτου διόρθωσιν ἀναφέρουσιν, Ὀρφεῖ Κροτω- 30 νιάτῃ, Ζωπύρῳ Ἡρακλεώτῃ, Ὀνομακρίτῳ Ἀθηναίῳ, καὶ[27] καγ

25 ψύλλης Platon. 26 Male Cod., εἰς Ἡρακλῆ. correxi e Platon.
27 In marg. scriptum ead. m., sed interiore libri margine ita a bibliopego inclusa, ut difficile sit verba legere, νοδα [illegible] τικ[illegible]κορ
λιωνι

Digitized by Google

ἐπὶ κογκυλω. (g) Ὕστερον δὲ ταυτὰς ἅπασας σκηνικάς τε καὶ ποιητικὰς πλεῖστον ἐξηγήσαντο Δίδυμος, Τρύφων, Ἀπολλώνιος, Ἡρωδιανὸς, Πτολεμαῖος Ἀσκαλωνίτης, καὶ οἱ φιλόσοφοι, Πορφύριος, Πλούταρχος καὶ Πρόκλος, ὡς καὶ πρὸ αὐτῶν πάντων
5 Ἀριστοτέλης.

Ἔτι ἰστέον ὅτι καὶ πρώτη κωμῳδία, ἧς τὰ σκώμματα φανερὰ κατὰ πάντων ἦσαν πολιτῶν, μετ' Εὐπόλιδος διήρκεσεν. Ἐπειδὴ δὲ αὐτὸς εἰς Ἀλκιβιάδην ὕβρισεν ὄντα τότε στρατηγὸν, καὶ διελοιδορήσατο αὐτῷ, ὧν τότε Ἀλκιβιάδης ἐμπαράσκευος πρὸς πόλε-
10 μον ὡς ναυμαχίας προσδοκωμένης, κελεύει τοῖς στρατιώταις συλλαβεῖν αὐτόν. οἱ δὲ συλλαμβάνοντες αὐτὸν, ὡς μέν τινες φασὶν, παντέλως ἀπέπνιξαν αὐτὸν εἰς τὴν θάλασσαν, ὡς δὲ ἄλλοι, δεδεμένον αὐτὸν σχοίνῳ ἀνῆγόν τε καὶ κατῆγον εἰς τὴν θάλασσαν· οὐ μέντοι καὶ ἀπέπνιξαν παντελῶς, τοῦ Ἀλκιβιάδου λέγοντος,
15 "βάπτε με σὺ θυμέλαις, ἐγὼ δέ σε ἁλμυροῖς ὕδασι κατα-
"κλύσω." (h) Καὶ οὕτω δὴ ἡ διαφθάρεντος τοῖς κύμασι παντελῶς, ἢ καὶ περισωθέντος, ψήφισμα ἔθετο Ἀλκιβιάδης μηκέτι φανερῶς ἀλλὰ συμβολικῶς κωμῳδεῖν. Τότε δὴ αὐτός τε Εὔπολις, καὶ Κρατῖνος, καὶ Φερεκράτης, καὶ Πλάτων, καὶ Ἀριστοφάνης αὐτὸς τὰ
20 συμβολικῶς μετεχειρίσαντο σκώμματα· ἡ δὴ δευτέρα κωμῳδία ἐλέγετο· μέχρις οὗ μηδὲ συμβολικῶς ἐθελόντων τῶν πολιτῶν σκώπτεσθαι, εἰς δούλους μόνους καὶ ξένους ἔσκωπτον· ἡ δὴ τρίτη ἦν κωμῳδία, αὐξηθεῖσα ἐπὶ Μενάνδρου καὶ Φιλήμονος.

Ἴδιον δὲ κωμῳδίας μὲν τὸ μεμιγμένον ἔχειν τοῖς σκώμμασι
25 γέλωτα, τραγῳδίας δὲ πένθη καὶ συμφοράς· σατυρικῆς δὲ οὐ τὸ ἀπὸ πένθους εἰς χαρὰν ἀπαντᾶν, ὡς ὁ Εὐριπίδου Ὀρέστης καὶ Ἄλκηστις, καὶ ἡ Σοφοκλέους Ἠλέκτρα, ἐκ μέρους, ὥσπερ τινὲς φασὶν, ἀλλ' ἀμιγῆ καὶ χαρίεντα καὶ θυμελικὸν ἔχει γέλωτα· (i) οἷον, "Ἡρακλῆς πραθεῖς τῷ Συλεῖ, ὡς γεωργὸς δοῦλος ἔσταλται
30 "εἰς τὸν ἀγρὸν τὸν ἀμπελῶνα ἐργάσασθαι· ἀνεσπακὼς δὲ δικέλλῃ
"προρρίζους τὰς ἀμπέλους, νωτοφορήσας τε αὐτὰς εἰς τὸ οἴκημα
"γεωργοῦ τοῦ ἀγροῦ, ἄρτους τε μεγάλους ἐποίησε, καὶ τὸν
"κρείττω τῶν βοῶν θύσας, καὶ τὸν πιθεῶνα διαρρήξας, καὶ τὸν
"κάλλιστον πίθον ἀποπωμάσας, τὰς θύρας τε ὡς τραπέζαν θεὶς,
35 "ἤσθιέ τε καὶ ἔπινεν ᾄδων, καὶ τῷ προεστῶτι δὲ τοῦ ἀγροῦ δριμὺ

Digitized by Google

" ἐνορῶν, φέρειν ἐκέλευεν ὡραΐά τε καὶ πλακοῦντας, καὶ τέλος
" ὅλον ποταμὸν πρὸς τὴν ἔπαυλιν τρέψας, τὰ πάντα κατέκλυσεν."
Ἔστι δὲ τὸ τοιοῦτον Εὐριπίδου δρᾶμα· (*k*) τοιαῦτα δέ εἰσι τὰ σατυρικὰ δράματα. Τέλος δὲ τραγῳδίας μὲν λύειν τὸν βίον, κωμῳδίας δὲ συνιστᾶν αὐτὸν, σατυρικῆς δὲ τοιούτοις θυμελικοῖς χαριεν- 5
τισμοῖς καθηδύνειν αὐτόν. Λυρικοὶ δὲ, οἱ καὶ κυκλικοὶ καὶ διθύραμβοι, ἢ ἀθλητὰς ἀγῶσι νικῶντας ἐπῄνουν, ἢ τὸν Διόνυσον ὕμνουν, ἢ ἑτέρους θεούς.

Ἔτι ἱστέον ὅτι κατὰ Διονύσιον (*l*) καὶ Κράτητα (*m*) καὶ (*n*) Εὐκλείδην[28], μέρη κωμῳδίας εἰσὶ τέσσαρα· πρόλογος, μέλος 10
χοροῦ, ἐπεισόδιον καὶ ἔξοδος. Καὶ πρόλογος μέν ἐστι τὸ μεχρὶ τοῦ χοροῦ λεγομένη ῥῆσις. μέλος καλεῖται χοροῦ[29]. ἐπεισόδιον δέ ἐστι μέλος μεταξὺ μελῶν καὶ ῥήσεων δύο χορῶν. ἔξοδος δέ ἐστιν ἡ πρὸς τῷ τέλει τοῦ χόρου ῥῆσις. μέρη δὲ παραβάσεως ἑπτά· ἑπτάκις γὰρ ὁ χορὸς ὀρχεῖτο· ἐπειδὰν δὲ εἰς τὴν ὀρχήστραν εἰσήρχετο, ἣν δὴ 15
καὶ λογεῖον καλοῦσιν. Ἡ μὲν οὖν πρώτη ὄρχησις κομμάτιον ἐλέγετο· ἡ δὲ δευτέρα παράβασις ὁμωνύμως τῷ γένει ἐκαλεῖτο. Καὶ γὰρ τὸ ὅλον τοῦτο ἑπτάστροφον σχῆμα παράβασις ἐκαλεῖτο· ἡ δὲ τρίτη μικρόν· ἡ δὲ τετάρτη· ᾠδὴ καὶ στροφὴ ἡ δὲ πέμπτη ἐπίρρημα· ἡ δὲ ἕκτη ἀντῳδὴ καὶ ἀντίστροφος· ἡ δὲ ἑβδόμη ἀντε- 20
πίρρημα.

Εἰσελθὼν οὖν ὁ χόρος εἰς τὴν ὀρχήστραν μέτροις τισὶ διελέγετο τοῖς ὑποκριταῖς, καὶ πρὸς τὴν σκηνὴν ἑώρα τῆς κωμῳδίας. Ἂν οὖν ὡς ἐκ πόλεως ἐβάδιζε πρὸς τὸ θέατρον, διὰ τῆς ἀριστερᾶς ἀψῖδος ἔβαινεν· ἂν δ' ὡς ἀπ' ἀγροῦ, διὰ τῆς δεξιᾶς. τετραγωνιζό- 25
μενός τι ὁ χορὸς πρὸς μόνους τοὺς ὑποκριτάς· ἀπελθόντων δὲ τῶν ὑποκριτῶν, πρὸς ἀμφότερα τὰ μέρη τοῦ δήμου ὁρῶν, ἐκ τετραμέτρου δεκαέξ στίχους ἀναπαίστους ἐφθέγγετο· καὶ τοῦτο ἐκαλεῖτο στροφή· εἶτα ἑτέρους τοιούτους ἐφθέγγετο, καὶ ἐκαλεῖτο ἀντίστροφος, ἅπερ ἀμφότερα οἱ παλαιοὶ ἐπίρρημα ἔλεγον· ὅλη δὲ 30
ἡ πρόσοδος τοῦ χοροῦ ἐκαλεῖτο παράβασις. Συμβαίνει δὲ τὸ ἐπίρρημα πέντε σημαίνειν· αὐτό τε τὸ οἰκεῖον σημαινόμενον, καὶ τὴν στροφὴν καὶ ἀντίστροφον καὶ ᾠδὴν καὶ ἀντῳδήν· ἐπεὶ δὲ ἡ μὲν

28 In marg. ἴσως Εὐβουλίδην sed falso collat. Tzetz. π. τραγ. ποιήσ. Anecd. nostr. t. III. p. 343. 29 Deest aliquid.

Digitized by Google

στροφὴ τὴν ᾠδὴν σημαίνει, ἡ δὲ ἀντίστροφος τὴν ἀντῳδήν. Γένοιτο δ' ἂν σαφεστέρα ἡ τῶν τοιούτων διδασκαλία ὧδέπως. Ἐν ἐαρινῷ καιρῷ πολυτελέσι δαπάναις κατεσκευάζετο ἡ σκηνὴ τριωρόφοις οἰκοδομήμασι, πεποικιλμένη παραπετάσμασι καὶ ὀθόναις λευκαῖς
5 καὶ μελαίναις, βύρσαις τε παταγούσαις καὶ χειροτινάκτῳ πυρὶ, ὀρύγμασί τε καταγείοις καὶ ὑπογαίοις, καὶ ὑδάτων δεξαμεναῖς εἰς τύπον θαλάσσης, ταρτάρου, ᾅδου, κεραυνῶν καὶ βροντῶν, γῆς καὶ νυκτὸς, οὐρανοῦ, ἡμέρας καὶ ἀνακτόρων, καὶ πάντων ἁπλῶς· αὐλάς τε οὐ μικρὰς εἶχεν ἐξειργασμένας, καὶ ἀψῖδας εἰς τύπον ὁρῶν. Διὰ
10 μὲν οὖν ἀριστερᾶς ἀψῖδος ἐχώρουν, εἰ ὡς ἐκ πόλεως ἦσαν ὁδεύοντες ὡς πρὸς ἀγροὺς ἢ θέατρα· ἂν δὲ πρὸς πόλιν ὡς ἐκ θεάτρου ἢ ἀπ' ἀγροῦ, διὰ δεξιᾶς. Τοιαύτη μὲν ἡ τῆς σκηνῆς ἐργασία.

Τὰ σκηνικὰ δ' ἀπ' αὐτῆς καλούμενα δράματα καὶ πρακτικῶς ἐτελεῖτο καὶ λογικῶς. σύστασις δὲ τούτων ὑπῆρχε τὰ τῶν ὑπο-
15 κριτῶν πρόσωπα. Ταῦτα δὲ τοῖς μὲν τραγικοῖς καὶ σατυρικοῖς ἀνὰ δεκαὲξ ἦσαν. ὁ κωμικὸς δὲ εἶχεν εἴκοσι τέσσαρα· ἃ δὴ πρόσωπα ὑποκριτικὰ τῶν τριῶν σκηνικῶν ποιημάτων, τὰ οἰκεῖα τῷ καθ' ἑνὶ αὐτῶν καὶ οἰκείῳ ἠθροισμένα δρῶντα, ἡ χορὸς ἐκαλεῖτο. Διαιρεθεὶς δὲ ὁ χορὸς εἰς τμήματα δύο, ἡμιχόρια ὠνομάζετο, παραχρηστικῶς
20 δὲ καὶ χορός· εἰ δὲ καθ' ἕνα ἐτέμνετο, ὑποκριταὶ ἐκαλοῦντο κοινῷ ὀνόματι, διὰ τὸ μὴ δύνασθαι μιᾷ κλήσει περιειλῆφθαι, ὡς ὁ χορὸς καὶ τὰ ἡμιχόρια. Διαιροῦνται γὰρ τὰ μερικὰ ταῦτα εἰς πολλὰ, εἰς προλογίζοντας, εἰς ἀγγέλους, εἰς ἐξαγγέλους, εἰς κατασκόπους, εἰς φύλακας, εἰς ἥρωας, εἰς θεοὺς, καὶ εἰς ἄλλα μύρια.

25 Τούτων οὖν προσώπων τὸ ὅλον ἄθροισμα, ὃ καὶ χορὸς ἐκαλεῖτο, εἰσελθὸν εἰς τὴν ὀρχήστραν, ἣν ἔφασαν καὶ λογεῖον, (ἐκαλεῖτο δὲ ἡ εἰσέλευσις εἴσοδος, καὶ ἐπήλυσις, καὶ ἐπίβασις, καὶ πάροδος, καὶ παράβασις), εἰσελθὸν οὖν καὶ παραβὰν εἰς τὴν ὀρχήστραν πρὸς τοὺς ὑποκριτὰς τὸν λόγον ποιούμενον, τὸ πρόσωπον βλέπον εἶχε
30 πρὸς τὴν σκηνήν· ἐξελθόντων δὲ τῶν ὑποκριτῶν, πρὸς τὸ τοῦ δήμου μέρος ἐστρέφετο, ἢ τὸ δεξιὸν ἢ τὸ ἀριστερὸν· καὶ πάλιν ἀντεστρέφετο πρὸς τὸ ἕτερον, καὶ ἐλεγέ τι ἑκατέροις τοῖς μέρεσι· εἶτα ἐξήρχετο, καὶ τέλος τὸ δρᾶμα ἐλάμβανεν. Ταῦτα μὲν οὖν ἦσαν πρακτικὰ τέσσαρα μέρη τοῦ δράματος, παράβασις, στροφὴ, ἀντί-
35 στροφος καὶ ἔξοδος. καὶ λογικὰ δὲ μέρη αὐτῆς τέσσαρα, ἀντὶ

Digitized by Google

παραβάσεως ἤγουν πρώτης βάσεως, πρόλογος, ἀντὶ δὲ στροφῆς καὶ ἀντιστρόφου, ᾠδὴ καὶ ἀντωδὴ, ἐπίρρημα καὶ ἀντεπίρρημα, ἀντὶ δὲ ἐξόδου, ᾠδὴ καὶ ῥῆμα ἐξιτήριον· ταῦτα μὲν τὰ τέσσαρα μέρη πρακτικὰ καὶ λογικὰ τῶν δραματικῶν ποιημάτων ὑπῆρχε. Τῶν δὲ λυρικῶν συγγραμμάτων τρία ἦσαν τὰ μέρη· στροφὴ, ἀντίστροφος, καὶ ἔξοδος ἢ ἐξέλευσις, πρακτικά· λογικὰ δὲ, ᾠδὴ, ἀντῳδὴ καὶ ἐπῳδός. ἡ οὖν ἀντῳδὴ τῇ ᾠδῇ ἰσαρίθμους ἔχει στίχους, καὶ τοῖς αὐτοῖς μέτροις ἑκατέρα χρῆται· ὁ δὲ ἐπῳδὸς διάφορα ἐκείνων ἔχει καὶ τῷ ἀριθμῷ καὶ τῇ ποιότητι οὐδαμοῦ. Ἐφθέγγοντο δὲ καὶ οἱ λυρικοὶ πρὸς ἑκάτερα μέρη τοῦ δήμου ὁρῶντες, πρῶτον μὲν τὴν ᾠδὴν, εἶτα τὴν ἀντῳδὴν, ἐπὶ δὲ τῷ τέλει τοῦ ἐπῳδοῦ ἤγουν ὑστερεῳδήν τε καὶ ἐπίλογον, εἰς εὐχὰς τὸ πλεῖστον αὐτῶν περικλείοντας. προοίμιον δὲ τούτοις οὐκ ἦν ὡς ἐκείνοις, ὅτι ἅμα τῷ εἰσελθεῖν εἰς τὸ θέατρον πρὸς τὸν δῆμον στραφέντες ἅμα τὸ αὐτὸ ἔλεγον καὶ στροφὴν καὶ προοίμιον. Cætera desunt.

Digitized by Google

ANNOTATIONES.

(*a*) INSIGNE hoc opusculum suppeditavit mihi Cod. 2677. qui ita in Catalogo describitur:

" Codex Chartaceus, olim Tellerianus, quo continentur:
" 1°. Anonymi de syllabarum quantitate opusculum.
" 2°. Anonymi tractatus de metris, e variis scriptoribus col-
" lectus. Illius auctor ad extremi Constantinopolitani tem-
" pora referendus est, utpote qui Planudem laudet. 3°. He-
" phæstio de metris et poemate. Accedunt Scholia quæ in
" nonnullis ab editis discrepant. 4°. Joannes Tzetzes de
" metris, versibus politicis. 5°. Scholia quæ ad Hephæsti-
" onis calcem excudi solent; ibi autem nonnulla reperias ab
" editis diversa. 6°. Anonymi, Longini fortasse, epitome de
" metris. 7°. Excerpta, ubi de Eudemo Rhetore, Helladio
" Grammatico, Eugenio, Zosimo, Cecilio, Longino, Luperco
" Grammatico, Justino Sophista, Pacato Minucio, Pamphilo
" Grammatico, et Hesychio Milesio; nihil autem quod in
" Suida non legatur. 8°. Anonymus de Comœdia. Initium,
" *κωμῳδίαι λέγονται τὰ τῶν κωμικῶν ποιήματα.* Is codex sæ-
" culo decimo sexto exaratus videtur." Catalogi autem confector indicare neglexit, interesse quædam vacua folia inter cætera quæ Codice insunt et opusculum nostrum, quod diversa prorsus manu scriptum videtur et aliquantum recentiori: ut aliunde crediderim in unum volumen cum prioribus coaluisse.

Anonymus Auctor incipit eodem modo fere quo Schol. Dionys. Thrac. a Bekkero edit. (Anecd. Gr. p. 747.) multa etiam insunt quæ reperias in Platonii fragmentis *περὶ διαφορᾶς κωμῳδιῶν*, sed hæc copia longe superat, et peculiaria insuper habet, quæ de Bibliothecis Alexandriæ narrat, et de criticorum schola a Ptolemæo rege ibi instituta. Egregia autem maxime sunt quæ de Satyrico dramate servavit, et quæ rei huc usque obscuræ plurimum lucis affundunt. Insignia sunt etiam quæ de scena et omni theatrica supellectile narrat; ita ut maxime dolendum sit, non integrum tam notabile opusculum ad nos pervenisse. Quisquis enim fuit, videtur ex optimorum Gram-

Digitized by Google

maticorum fontibus sua hausisse, videlicet, ut ipse testatur, p. 8. e Dionysii, Cratetis et Euclidis libris.

(*b*) Priora jam scripseram, cum in manus mihi devenit egregia doctissimi viri Friedr. Ritschl dissertatio de Bibliothecis Alexandrinis &c. Bresslau, 8°. 1838. et perlecto insigni Scholio Plautino, quod illi hac disputatione instituenda fuit fons et argumentum, statim agnovi, nostrum ita convenire cum eo Scholio, cujus initium tantum a Meinekio vulgatum sciebam, Quæst. Scen. Spec. III. p. 3., ut ambo ex eodem fonte derivata fuisse necesse sit. Quod ut magis lectori evidens fiat, ei totum Scholion e laudata Dissertatione oculis subjiciam.

" Ex Cæcio in commento Comœdiarum Aristophanis Poetæ
" in Pluto, quam possumus opulentiam nuncupare. Alexander
" Ætolus et Lycophron Chalcidensis et Zenodotus Ephestius
" impulsu Regis Ptolemæi Philadelphi cognomento, qui mi-
" rum in modum favebat ingeniis et famæ doctorum hominum,
" Græcæ artis poeticos libros in unum collegerunt, et in ordi-
" nem redegerunt; Alexander tragœdias, Lycophron comœ-
" dias, Zenodotus vero Homeri poemata et reliquorum illus-
" trium poetarum. Nam Rex ille philosophis affertissimus et
" cæteris omnibus autoribus claris, disquisitis impensa regiæ
" munificentiæ ubique terrarum quantum valuit voluminibus,
" opera Demetrii Phalerii p̄hzxa senum duas bibliothecas
" fecit, alteram extra Regiam, alteram autem in Regia. In
" exteriore autem fuerunt milia voluminum quadraginta duo
" et octingenta. In Regia autem bibliotheca voluminum qui-
" dem commixtorum volumina quadringenta milia, simplicium
" autem et digestorum milia nonaginta, sicuti refert Calli-
" macus aulicus Regius bibliothecarius, qui etiam singulis
" voluminibus titulos inscripsit. Fuit præterea, qui idem
" asseveret, Eratosthenes non ita multo post ejusdem custos
" bibliothecæ. Hæc autem fuerunt omnium gentium ac lin-
" guarum quæ habere potuit docta volumina, quæ summa dili-
" gentia Rex ille in suam linguam fecit ab optimis interpre-
" tibus converti. Ceterum Pisistratus sparsam prius Homeri
" poesim ante Ptolemæum Philadelphum annis ducentis et
" eo etiam amplius, sollerti cura in ea quæ nunc exstant rede-
" git volumina, usus ad hoc opus divinum industria quattuor
" celeberrimorum et eruditissimorum hominum, videlicet, Con-

Digitized by Google

" cyli Onomacriti Atheniēn. Zopyri Heracleotæ et Orphei
" Crotoniatæ. nam carptim prius Homerus et non nisi diffi-
" cillime legebatur. Qum etiam post Pisistrati curam et
" Ptolemæi diligentiam Aristarchus adhuc exactius in Homeri
" elimandam collectionem vigilavit. Heliodorus multa aliter
" nugatur, quæ longo convitio Cecius reprehendit. Nam ol'
" LXXII. duobus doctis viris a Pisistrato huic negotio præ-
" positis dicit Homerum ita fuisse compositum. qui quidem
" Zenodoti et Aristarchi industria omnibus prælatam com-
" probarint, quod constat fuisse falsissimum. quippe cum
" inter Pisistratum et Zenodotum fuerint anni supra ducen-
" tos. Aristarchus autem quattuor annis minor fuerit ipso
" et Zenodoto atque Ptolemæo."

His autem cum Græco nostro grammatico collatis, facile patebit, Latina, etsi in plurimis cum illo congruant, nequaquam tamen ad verbum quadrare, immo differentias satis notabiles in rebus relatis exhibere; ex. gr. ubi Zenodotum Ephesium principio nominat, Callimachum vocat aulicum bibliothecarium, denique ubi mentionem injicit de Heliodoro a Cæcio reprehenso ob turbatam temporum rationem, in iis quæ de Pisistrati Homerica recensione tradiderat per Aristarchum facta. Hæc satis evincunt binos grammaticos ex eodem quidem fonte, sed seorsim et cum discrimine sua hausisse. Latinus suum quidem auctorem aperte indicat, ubi ait, se Cæcium in commentario in Aristophanis Plutum, sequi. Quis fuerit ille Cæcius, omnibus adhuc inauditus, non ad nos pertinet anquirere, sed si conjicere licet, ego Cæcilium Calactianum sub isto barbaro nomine latere potius crederem; nam etsi non de Comœdia illum scripsisse auctor est Suidas, de pluribus tamen fatetur egisse, quæ non recensuerit. Lepida autem est Dindorfii conjectura de Tzetze sub Cæcii nomine latitante, (Rheinische Mus. IV. p. 232.) sed quam amplecti nollem, nisi quis, et nostrum Græcum auctorem esse Cæcium, probare posset. Id autem clarissimo viro de Græcorum dramate tam bene merito concederem, Tzetzem nostrum, sed sero quidem, aspexisse, et, ab eo in aliquibus, ut infra monstrabo, edoctum fuisse. Non esse autem Tzetzem, qui "longo con-
" vitio Heliodorum reprehendit" et falsitatis arguit, quia Aristarchum Pisistrato æqualem fecerat, ipsius verba satis evincunt: *ἑβδομήκοντα καὶ δύο γραμματικοὶ σὺν Ἀριστάρχῳ ὑπὸ*

Digitized by Google

Πισιστράτου ἀξιωθέντες τὰ Ὁμήρου ποιήματα σποράδην φερόμενα συντεθείκεσαν, καὶ τὰς αὐτοῦ λέξεις .... ρίας ἐπεξηγήσαντο. Schol. Io. Tzetzæ ad Exegesin in Iliad. p. 125. In his etiam Heliodorum noster videtur sequi. Heliodoro autem multo junior est, quippe qui Proclum et Porphyrium laudat; si modo de Heliodoro agitur, celebri grammatico ab Hephæstione et Schol. ejus laudato. De hoc autem et cæteris ejusdem nominis omnino consulendus est Ritschl in prædict. dissert. p. 138. et seqq.

(*c*) Demetrium Phalereum impulisse regem Ptolemæum ad fundandam Alexandriæ Bibliothecam, præter nostrum affirmavit etiam Epiphanius de Ponder. II. p. 166. A. Ὁ γὰρ μετὰ τὸν Πτολεμαῖον δεύτερος βασιλεύσας Ἀλεξανδρείας Πτολεμαῖος, ὁ ἐπικληθεὶς Φιλάδελφος, ὡς προείρηται, φιλόκαλος τις ἀνὴρ καὶ φιλολόγος γεγένηται· ὅς τις βιβλιοθήκην κατασκεύασας ἐπὶ τῆς αὐτῆς Ἀλεξάνδρου πόλεως, ἐν τῷ Βρουχίῳ καλουμένῳ κλίματι· (καὶ ἔστι τοῦτο τῆς αὐτῆς πόλεως ἔρημον τανῦν ὑπάρχον·) ἐνεχείρησε Δημητρίῳ τινὶ τῷ Φαλαρηνῷ τὴν αὐτὴν βιβλιοθήκην, προστάξας συναγαγεῖν τὰς πανταχοῦ γῆς βίβλους, γράψας ἐπιστολὰς, καὶ προσλιπαρήσας ἕκαστον τῶν ἐπὶ γῆς βασιλέων τε καὶ ἀρχὴν, μὴ κατοκνῆσαι ἀποστεῖλαι, ποιητῶν τε λέγω καὶ λογογράφων, ῥητόρων τε, καὶ σοφιστῶν, καὶ ἰατρῶν, καὶ ἰατροσοφιστῶν, καὶ ἱστοριογράφων, καὶ λοιπῶν βίβλους.—Et huc facere videntur, licet maxime fabulosa sunt, quæ Symeon Logotheta in Chronico. Cod. Reg. 1712. narrat, de Colloquio Demetrii cum Ptolemæo rege de S. Scripturis. παρόντος καὶ Μενεδήμου φιλοσόφου καὶ Δημητρίου τοῦ Φαλήρεως, ἠρώτα ὁ βασιλεὺς (Πτολεμαῖος) ὅτι τοιούτων ὄντων τῶν θειῶν λόγων, πῶς οὐδεὶς ἱστορικῶν ἢ ποιητῶν ἐμνήσθη αὐτῶν· καὶ ἀπεκρίθη Δημήτριος, ὅτι οὐδείς ποτε ἐτόλμησεν τούτων ἅψασθαι. διὸ καὶ Θεόπομπον (Cod. θεόπεμπτον) θελήσαντα ἱστορῆσθαι περὶ αὐτῶν, καὶ παραφροσύνῃ κρατηθῆναι, καὶ ὄναρ ἰδεῖν, ὅτι τοῦτο αὐτῷ συμβέβηκε περιεργασαμένῳ τὰ θεῖα· καὶ Θεόδεκτον τὸν τῶν τραγῳδιῶν ποιητὴν ἐν ἑνὶ δράματι μνησθέντα τῶν ἱερῶν τούτων βιβλίων, τυφλωθέντα· ἑκατέρους δὲ ἀποσχομένους τοῦ τολμήματος, καὶ τὸ θεῖον ἐξευμενισαμένους ὑγιεῖς γενέσθαι.—Hæc autem αὐτολεξεὶ inveniuntur in Cedreno p. 165. qui innumera alia ex Logothetæ Chronico expilavit. Exempli gr. Cod. f. 23. Οἱ συγγραφεῖς Αἰγυπτίων καὶ Χαλδαίων Μανεθὼν ὁ τῶν Αἰγυπτίων ποιησάμενος συγγραφὴν, Βήροσσος ὁ τὰ Χαλδαϊκὰ συναγαγὼν, Μῶχός τε καὶ Εστιεὸς καὶ πρὸς τούτοις Αἰγύπτιος Ἱερώνυμος· οἱ δὲ τὰ Φοινικὰ συγγραψάμενοι, Ἡσίοδός (Cod. ἰσίοδος) τε καὶ Ἑκαταῖος (Cod.

Digitized by Google

ἀκτεὸς) Ἑλλανικὸς (Cod. ἐλαϊκὸς) καὶ Ἀκουσίλαος, Ἔφορός τε καὶ Νικόλαος. Cf. Cedren. p. 11. qui etiam mutuatus est omnia quæ narrat de Perseo, Cadmo et ejus Natis ubi etiam Euripidis Antiopen laudat. ὁ μὲν Εὐριπίδης τῷ ἔθει τῶν ποιητῶν μυθολογῶν τὸν Δία φησὶν εἰς σάτυρον μεταβληθέντα τὴν Ἀντιόπην φθεῖραι (φθῆραι Cod.), ἐξ ἧς ὁ Ἀμφίων καὶ ὁ Ζῆθος (ζήθων Cod.) οἱ μουσικοί. κ. τ. λ. Cedren. p. 25. His omnibus autem Annalium scriptoribus idem credo fuit fons, nempe Joannis Antiocheni Chronicon, cujus fragmenta multa habet Suidas et plura etiam edidit Valesius in Exc. Constant. Porphyr. Sed ut, quæ de Demetrio Phal. supra dixi, absolvam, notabo illum postea Ptolemæo displicuisse, et in carcerem etiam ab eo injectum esse. Diog. Laert. v. 78. Cic. pro. Rabir. Postum. c. 9. apud Clinton Fast. Hellen. An. B. C. 283. p. 185. Potuit autem fieri, ut concilium de moliendis Alexandriæ Bibliothecis et Museo, jam, regnante Ptolemæo Sotere, agitatum fuerit, cum Demetrius magno apud eum favore vigeret; et notandum est, Philadelphum per duos annos a patre in regno sociatum esse. Clinton. Fast. Hellen. t. II. p. 379.

(*d*) Duplicem fuisse Bibliothecam affirmat etiam Epiphanius de Ponder. II. p. 168. B. οὕτως αἱ βίβλοι εἰς Ἑλληνίδα ἐκτεθεῖσαι ἀπετέθησαν ἐν τῇ πρώτῃ βιβλιοθήκῃ τῇ ἐν τῷ Βρουχίῳ οἰκοδομηθείσῃ· ἔτι δὲ ὕστερον καὶ ἑτέρα ἐγένετο βιβλιοθήκη ἐν τῷ Σεραπίῳ μικροτέρα τῆς πρώτης, ἥτις καὶ θυγάτηρ ὠνομάσθη αὐτῆς· ἐν ᾗ ἀπετέθησαν αἱ τοῦ Ἀκύλα, καὶ Συμμάχου καὶ Θεοδοτίωνος καὶ τῶν λοιπῶν ἑρμηνεῖαι, μετὰ διακοσιοστὸν καὶ πεντηκοστὸν ἔτος. Plurali numero etiam Athenæus V. p. 203. E. Περὶ δὲ βιβλίων πλήθους καὶ βιβλιοθηκῶν κατασκευῆς, καὶ τῆς εἰς τὸ μουσεῖον συναγωγῆς, τί δεῖ καὶ λέγειν.—Majorem autem fuisse intra regiam, et ergo cum museo conjunctam, patet ex nostro. Cf. quæ de his disputavit Parthey, das Alexandrinische Museum, Berlin, 8vo. 1838.

(*e*) Hæc simul faciunt volumina 532000. qui numerus fere cum Josephi rationibus congruit. Aulus autem Gellius VI. 17. et Ammianus Marc. (xxii. 16.) septingenta millia ibi conservata esse affirmant: de his autem, ut et de genere librorum, quos noster ἀμιγεῖς et συμμιγεῖς vocat, omnino consulendus Ritschl. in laud. dissertat. p. 21. et seqq. et Parthey. Alexandr. Mus. p. 65. et seqq. Majorem Bibliothecam postea crematam esse primo Alexandrino bello, narraverunt Plutarch. Vit. Cæsar.

Digitized by Google

Aul. Gell. loc. cit. et Seneca qui quadringenta millia librorum incensa tradidit. de Tranq. Anim. c. 9. Servata est autem, ut videtur, minor Bibliotheca.

(*f*) De primo Bibliothecario a Ptolemæo instituto non consentiunt auctores antiqui; nam alii Zenodotum, alii Aristophanem eum præfecisse narrant. Cf. de hac re disputata a Clinton. Fast. Hellen. t. ii. Append. p. 380. et Ritschl in Opusc. laudato. p. 75.

(*g*) Hæc misere lacera sunt et depravata; et parum ad locum sanandum juvant quæ ex margine codicis describere conatus sum. Illud autem mihi persuasum habeo, non in verbis *ἐπὶ κογκύλω*, unde Plautinus Scholiasta inauditum illud "Concyli" sibi finxit, prima etiam ei sede assignata, ubi ultimam debuisset, sed in illo *καγ* cui asterisci notam apposuit codicis scriba. Anceps admodum ergo est conjectura cuivis aliud nomen reponenti nullus autem dubito, quin ultima *ἐπὶ κογκυλω* ad *ἐπικὸν κύκλον* aut *ἐπικῷ κύκλῳ* revocanda sint.

Hæc scribenti adsunt doctissimi Viri C. Bened. Hase literæ qui, denuo inspecto Codice, marginalem scripturam, præclare, ut solet, redintegravit:

Ceci figure la marge du MS. *νόδωρω λίγκορ λίωνι.*

"Les mots en question, dans le *Cod. Reg.* N°. 2677, me "semblent figurés ainsi:

ὀνομακρίτῳ αθηναίω ϛ

καγ ἐπὶ κογκυλω. ∽ω. *ὕϛερον.*

"L'accent sur *καὶ*, l'*iota* souscrit et l'esprit doux d' "*Ἀθηναίῳ* manquent, et bien que j'aie presque détaché le "feuillet, je vois que les initiales de chacune des trois lignes "de la scholie marginale sont détruites. Je crois néan-"moins, sauf meilleur avis, qu'il faut lire— *Ἀθη]νοδώρῳ ἐπίκ]λην Κορδυ]λίωνι.*

"L'anachronisme est sans doute énorme: "Athénodore surnommé Cordylion, contempo-"rain de Caton d'Utique, n'a pu être chargé par Pisistrate "de la rédaction définitive des chants d'Homère. Mais la "personne qui a transcrit l'opuscule dont il s'agit, me paraît "avoir été un Grec de la fin du xve siècle; or vous savez, "monsieur, que ces Byzantins, même lettrés, n'étoient pas "forts en histoire littéraire. Notre copiste voulant corriger "un passage, altéré sans doute depuis longtemps puisqu'il "l'étoit déjà à l'époque où vécut le scholiaste de Plaute, aura "pensé à Athénodore parce que le Byzantin en question avoit

Digitized by Google

" quelque notion confuse du stoïcien bibliothécaire de Pergame,
" sans connaître au juste le temps où celui-ci avoit vécu.
" Votre correction, monsieur, . . . ἐπικῷ κύκλῳ, est bien autre-
" ment probable ; peut-être pourroit-on lire aussi . . . κυκλικῷ :
" le véritable nom de ce poète cyclique (Καρκίνῳ ???) seroit
" alors caché sous les syllabes και ἐπί. C'est une conjecture
" que, bien timidement, j'ose vous soumettre."

Hoc solum adjiciam præstantissimi Viri monito, revera potuisse Athenodorum Cordylionem a nostro grammatico citari, non ut Homeri redactorem, sed ut auctorem unde sua de Pisistratea recensione traxerat.

(*h*) Nostro non multum discrepat Schol. Aristid. ὑπὲρ τῶν τεττάρων, t. iii. p. 444. Dind. Ἄλλοι δὲ λέγουσιν ὅτι ἐκωμῴδουν ὀνομαστὶ τοὺς ἄνδρας μέχρις Εὐπόλιδος· περιεῖλε δὲ τοῦτο Ἀλκιβιάδης ὁ στρατηγὸς καὶ ῥήτωρ· κωμῳδηθεὶς γὰρ παρὰ Εὐπόλιδος, ἔρριψεν αὐτὸν ἐν τῇ θαλάττῃ ἐν Σικελίᾳ συστρατευόμενον, εἰπὼν, " βάπτε με ἐν θυμέλῃσιν, ἐγὼ δέ σε κύμασι πάντου βαπτίζων " ὀλέσω νάμασι πικροτάτοις." Sed parum verosimile est, Alcibiadem elegiaco usum fuisse metro dum comicum objurgaret. Cf. Platon. π. διαφ. κωμῳδ. p. xxxiii. Meinek. Quæst. Scen. I. p. 43. et alios auctt. cit. a Runkel. Fragm. Eupolid. Βάπται, p. 99.

(*i*) Hæc omnino conferenda sunt cum iis quæ ex Tzetze vulgavi Anecd. iii. p. 337. περὶ διαφορᾶς ποιητῶν. ibi Tzetzes dixerat v. 9 ist. pag.

σατυρικὸν δὲ Πραττίναν οἶδα μόνον.

Cf. Schol. Lycophr. Proleg. Nostro autem grammatico inspecto, sic postea errorem suum agnovit. Τοῦτο εἶπον ἠπατημένος τοῖς ἐξηγουμένοις Εὐριπίδην καὶ Σοφοκλέα γράψασιν οὕτω· " τὸ δρᾶμα " τὸ τῆς Ἀλκηστίδος Εὐριπίδου, καὶ ὁ Ὀρέστης καὶ ἡ Σοφοκλέους " Ἠλέκτρα, καὶ ὅσα τοιαῦτα, σατυρικά εἰσι καὶ οὐ τραγικὰ, ἀπὸ " συμφορῶν γὰρ καὶ δακρύων εἰς χαρὰν καταντῶσι." οὕτω μὲν οὖν ἔγραψα περὶ τῶν σατύρων, τούτοις ἠπατημένος· ἐντυχὼν δὲ σατυρικοῖς δράμασιν Εὐριπίδου, αὐτὸς μόνος ἐπέγνων ἐκ τούτων σατυρικῆς ποιήσεως καὶ κωμῳδίας διαφοράν· ἡ μὲν οὖν κωμῳδία δριμέως τινῶν καθαπτομένη, διαβολαῖς, ἐπιλοιδορίαις κινεῖ γέλωτα· ἡ δὲ σατυρικὴ ποίησις ἄκρατον καὶ ἀμιγῆ λοιδορίας ἔχει τὸν γέλωτα, πάνυ ἡδύτατον, οἷον τὸν ἐν θυμέλαις.

Nullus autem dubito, quin ad nostri fragmentum, solas Græcorum satyrici dramatis reliquias, spectet vanissimus

Digitized by Google

homo, cum more suo jactabundus prædicet, ἐντυχὼν σατυρικοῖς δράμασιν Εὐριπίδου, αὐτὸς μόνος ἐπέγνων κ. τ. λ.

(*k*) Pauca admodum antehac nota erant fragmenta Sylei, Philone Judæo præcipue servata et Stobæo; neque inde satis colligi poterat hoc drama satyrici fuisse argumenti. Jam vero a nostro patet et hujus dramatis et omnis generis maxime ludicra indoles.—Hinc etiam cernitur τὸ τῆς Ἀλκηστίδος κωμικώτερον, quia ibi Hercules inducitur tantisper μανικὸς, hic vero μανικώτατος.

(*l*) Incertum est, an de Dionysio Thrace intelligendum est, aut alio ejusdem nominis grammatico.

(*m*) De Cratete præclaro Pergamenæ Scholæ grammatico consulendus imprimis Meineke Quæst. Scen. Spec. iii. p. 5.

(*n*) Solus præter nostrum quod sciam, hujus grammatici meminit Tzetzes π. διαφ. ποιητῶν. Anecd. nostr. t. iii. p. 343. Cf. autem quos citat Muller in Rheinische Museum, t. v. p. 358. not. Jul. Pol. III. 82. e Cod. Jungerm. et VI. 161.

Digitized by Google

Cod. 2720. Chart. form. in fol. Sæc. XV. Cont exc. div. e poet. præcipue Epigrammatist. Proverb. Georg. Cypr. et alior. tum multa grammaticalia a nobis postea adhibenda; et f. 87.

Εἰ μὲν δὴ πάντα τις Αἰσχύλῳ βούλεται τὰ περὶ τὴν σκηνὴν εὑρήματα προσνέμειν, ἐκκυκλήματα καὶ περιάκιους[1] καὶ μηχανὰς, ἐξώστρα τε καὶ προσκήνια καὶ διστεγίας, καὶ κεραυνοσκοπεῖα καὶ βροντεῖα καὶ θεολογεῖα καὶ γεράνους, καί που καὶ ξυστίδας καὶ βατραχίδας, καὶ πρόσωπα καὶ κοθόρνους, καὶ ταυτὶ τὰ ποικίλα, σύρματά τε καὶ καλύπτραν καὶ κόλπωμα καὶ παράπηχυ καὶ ἀργηνὸν, καὶ ὑποκριτὴν ἐπὶ τῷ δευτέρῳ τῶν τρίτων· ἢ καὶ Σοφοκλῆς ἔστιν ὃ τούτων προσεμηχανήσατο καὶ προσεξεῦρεν. ἔστι τοῖς βουλομένοις ὑπὲρ τούτων ἐρίζειν καὶ ἕλκειν ἐπ' ἄμφω τὴν φήμην τοῦ λόγου. τήν γε μὴν γλυκύτητα τὴν τῶν ἐπῶν, καὶ τὴν φαιδρότητα καὶ τὴν καλλιφωνίαν, καὶ τὴν ἐν τοῖς μέλεσι σωφροσύνην, καὶ τὰς ἐπὶ τοῖς δράμασι συμπλοκὰς, οὔτ' ἂν αὐτὸς αἰσχυνθείην Σοφοκλεῖ νέμων· καὶ τὸν Ἀριστοφάνην ἀποδέχομαι λέγοντα,

Σοφοκλέους τοῦ μέλιτι κεκραμένου
ὥσπερ καὶ δίσκου[2] περιέλειχεν τὸ στόμα.

Cod. 1773. Chart. f. 4°. Sæc. XV. Cont. Diogenian. Proverb. et var. grammaticalia. et f. 106. v. hoc fr. quod ex Euclidis comment. in tragœdiam profectum puto coll. Tzetz. π. διαφ. ποιητ. Anecd. nostr. t. iii. p. 344.

Τῆς τραγικῆς ποιήσεως εἴδη εἰσὶ δέκα· πρόλογος, ἄγγελος, ἐξάγγελος, πάροδος, ἐπιπάροδος, στάσιμος, ὑπερμακτικὸς[3], ἀμοιβαῖος, σκηνικός. καὶ πρόλογος μὲν οὖν ἐστὶν εἱρμὸς τὰ γεγονότα ἢ τὰ ἐσόμενα δηλῶν· ἄγγελος δὲ ὁ τὰ ἔξω τῆς πόλεως πεπραγμένα τοῖς ἐκτὸς τῆς οἰκίας δηλῶν· πάροδος δέ ἐστιν ᾠδὴ χοροῦ γινομένη ἅμα τῇ εἰσόδῳ, ὥσπερ ἐν Ὀρέστῃ,

σίγα, σίγα λευκὸν ἴχνος ἀρβύλης·

[1] Cod. aut περιάκιους aut περιακισις. sed. leg. cred. περικύκλους. [2] jam καδίσκου leg. esse perspexeram antequam in Aristoph. fragm. ita editum vidi a Dindorf. e Dione Chrys. Orat. LII. t. ii. p. 273. Reisk. ibi autem legitur κεχρισμένου, ut et in Sophocl. vita. [3] Leg. ὑπορχηματικὸς.

Digitized by Google

καὶ ἐν Ἀλκμαίωνι τῷ διὰ Κορίνθου, " φίλε, φίλε, πρόβατε, μόλε " τὶς ὅδε ποδαπὸς ὁ ξένος Κορίνθιος ἔμολεν ἀγχίαλος[4]."

Ἐπιπάροδος δέ ἐστιν, ὅταν ἕτερος χορὸς ἀφικνεῖται τοῦ προτέρου παρελθόντος· στάσιμος δὲ, ὅταν χρὴ λέγειν στάσιμον, ὡς ἐν τῷ Ἱπολύτῳ Εὐριπίδης,

ὠκεανοῦ τις ὕδωρ πέτρα λέγεται.

ὑπόρχημα δ' ἂν εἴη[5] μᾶλλον τῶν σατύρων· ἐκεῖνοι γὰρ ᾄδοντες ἅμα καὶ ὀρχοῦνται· ἀμοιβαῖον δέ ἐστι τὸ πρόλογον ἐξ ἀμοιβῆς λεγόμενον· σκηνικὸς δέ ἐστιν, ὅτε τῶν ὑποκριτῶν εἰς ὠδὴν φέρηται.

4 Vid. de hoc fr. Eurip. Dind. quæ tentavit Hermann. et Muller Rheinische Mus. t. v. p. 361. qui sic instituit,

φίλαι, φίλαι, πρόβατε, μόλετε·
τίς ὅδε, ποδαπὸς ὁ ξένος Κορινθίοις
ἔμολεν ἀγχιάλοις.

5 In marg. ἐπὰν ὁ χορηγὸς ᾠδαρχεῖν λέγεται τὸ δὲ ἂν εἴη.

Digitized by Google

ΠΕΡΙ ΟΡΝΙΘΩΝ[1].

Ἐπειδὴ τῆς γῆς ἁπάσης ἔχοντι καὶ τοῦ πελάγους οἴακας σοφῷ τε εἶναι καὶ φιλομαθεῖ δέδωκεν εὖ ποιῶν ὁ Θεὸς, καὶ τοῖς πολλοῖς ἐθέλεις ἅπερ οἶσθα προσθεῖναι, πανθ' ὅσα περὶ πτηνῶν τῷ ποιητῇ Διονυσίῳ συγγέγραπται, φέρε δὴ καὶ ταύτην σοι τὴν ὑπουργίαν ἐκπληρώσωμεν. ὡς ἂν τῶν ὀρνίθων εἰδείης τούστε ὑγρᾶς τροφῆς ἔρωτι, ποταμοῖς, ἢ λίμναις, ἢ καὶ τῇ θαλάσσῃ χαίροντας, καὶ τοὺς τοῖς ὄρεσι, ἢ τοῖς πεδίοις[2] ἐφιπταμένους· ὀνομάζειν τε ἔχοις ἕκαστον ἤθη καὶ τέχνας καὶ ἰσχὺν, καὶ πόθους αὐτῶν· καὶ τοὺς τῆς ἄγρας τρόπους ἐξεπιστάμενος. τερπνὴ δέ τις καὶ οὐκ ἄχαρις θέα, ταχὺν ὄρνιν ἰδεῖν αἱρεθέντα βρόχου δεσμοῖς, ἢ δένδρου μέν τινος ἐφιζήσαντα κλάδῳ· καλάμῳ δὲ, ὃν ἰξῷ τις ἐξαλείψας θηράτης ἀνατείνει, συγκολλώμενόν τε καὶ καθελκόμενον· ἢ πρὸς θάμνους μέν τινας, ὥσπερ δὴ ἀναπαύσεως ἀφικόμενον, τοῖς δὲ πολυτρήτοις κόλποις ἐνσχεθέντα τῶν λίνων, ὥστε ὀλέθριον καὶ τελευταίαν αὐτῷ γενέσθαι τὴν διανάπαυσιν· καὶ μὴν κακεῖνο σοφὸν καὶ χαρίεν τὸ ἐπιτήδευμα· τῆς ὥρας ἤδη τῆς χειμερινῆς ἐπελθούσης, δένδρον τι κλάδοις τε καὶ φύλλοις[3] ἀλλοτρίοις ἐπικαλύψαντες, καί τινας μεταξὺ τῶν κλάδων ῥάβδους ἐνθέντες ἐπιχρισθείσας ἰξῷ κατὰ τῶν πεδίων ἱστῶσι κλωβοὺς[4] ἀπαρτήσαντες· τοῖς δὲ ὄρνεις ἔνεισιν οἳ πρὸς τὴν ἄγραν τοῖς θηραταῖς ἀναγκαῖοι· τοὺς γὰρ λοιποὺς ταῖς ᾠδαῖς ἀναπείθουσι πλη-

[1] Hoc opusculum solas nobis, ut opinor, reliquias præbet poematis, quod scripserat poeta quidam Dionysius de Avibus; idem forsan cujus Λιθιακὰ laudant Suidas in Διονύσιος Κορίνθιος, et Eustathius Epist. ad Joann. Ducam, idemque fortasse qui Περιηγητὴς audit. Duobus libris absolutum fuisse videtur; quorum unum de terrestribus, alterum de aquatilibus tractabat. Descripsi e Cod. 1843. Chart. Sæc. XIII. qui continet plurima Scholia in Aristot. Categorias, in Porphyrium et Ammonii Prolegomena et Alexandr. Aphrod. in Topic. Aristot. Intervenit autem fol. 54. hoc Opusculum περὶ Ὀρνίθων; et cum cætera omnia eadem optimaque manu scripta sint, illud diversa et pessime quidem exaratum est.

[2] παιδίοις Cod. [3] φίλοις Cod. [4] Sic.

Digitized by Google

σιάσαντας τοῖς κλάδοις ἐπικαθῆσθαι τοῖς νόθοις· τοῖς δὲ ἅμα τῷ ξυνιζῆσαι καὶ τότε θηρᾶσθαι συμβαίνει. καὶ μὴν καὶ πάγαις ἐστὶν ἰδεῖν τῶν πτηνῶν πλεῖστα θηρώμενα· τιθέναι δὲ αὐτὰς τροφήν τινα ἐμβαλόντες ὑπὸ τὰς θάμνους εἰώθασι· καὶ καθ' ἑτέρους ἁλίσκονται τρόπους· γνώσῃ δὲ ἕκαστον, εἴπερ ἵλεως ἀκούοις, ἐν τάξει 5

Γένη μὲν δὴ πλεῖστα πτηνῶν τὸν ὑγρὸν ἀέρα διίπταται.

Περὶ Γρυπῶν[4].

Πάντων δὲ χρὴ προκρίνειν τοὺς ἀετούς, ἐπεὶ μηδὲν ὑπὲρ γρυπῶν[5] σαφὲς ἐστὶν εἰπεῖν· οὗς φασιν ἐν τοῖς τῶν πλουσίων 10 Ἀριμασπῶν ἕλεσι τρεφομένους χρυσὸν ἐκ τῆς γῆς ἀγείρειν ὀρύσσοντας· τοὺς Ἀριμάσπας δὲ τούτους, οὐχὶ δύο τοὺς ὀφθαλμούς, ἀλλ' ἕνα ἕκαστον ἔχειν φασίν.

Περὶ Ἀετῶν.

Τῶν ἀετῶν δὲ τὸ γένος καὶ τὴν ἰσχὺν ἐπιστάμεθα, καὶ ὅσον 15 τῶν λοιπῶν ὑπερτεροῦσιν ὀρνέων, ὡς καὶ τοῖς τοῦ Διὸς σκήπτροις ἀγχοῦ τὸν κεραυνὸν ἐπικαθῆσθαι πιστεύεσθαι. ἵπτανταί γε μὴν καὶ ὑπὲρ τὸν ἄερα καὶ πρὸς αὐτὸν τὸν αἰθέρα εὐκόλως, καὶ ὀξὺ δεδόρκασι μέχρι τῆς γῆς· ἢ τάχα καὶ δι' αὐτῆς, ὡς μηδὲ τὰ μικρὰ ζωύφια λανθάνειν αὐτοὺς τροφῆς χρήζοντας, κἂν θάμνοις 20 ἐπικαλύπτοιντο. ἀρνῶν δὲ νευρῶν καὶ τῶν ταχυτάτων λαγωῶν σαρξὶν ἥδονται· καὶ νεκρὸν οὐκ ἂν φάγειεν, εἰ μὴ παρ' αὐτῶν τι ζῶον ἀποκτανθῇ καταληφθέν. ἐς δὲ τὸ τ̄ νόσος[6] ἄκος, τὰς χελώνας ἐσθίουσι, καὶ ὅσα γε εἰς ποτὸν ἀπόχρη τὸ τῶν θηρωμένων αἷμα ζώων αὐτοῖς· ὥστε οὐκ ἂν ὕδωρ πίοιεν. καὶ τὰς ἄκρας οἰκοῦσι τὰς 25 ἐν τοῖς ὄρεσι περιφανεῖς τε καὶ ὑψηλάς· εἴτε ἀναπαύλης δέοιντο μετὰ θηρᾶς, εἴτε τοῖς τέκνοις οἰκοδομεῖν βούλοιντο καλιὰς, ὡς ὀλιγάκις ἐπὶ τὰ πέδια διαφέρεσθαι τῶν πετρῶν ἀφιπτάμενοι. τὰ πολλὰ δὲ αὐτῶν ἐγγύθεν βλέπειν τὸν οὐρανόν· ἢν δὲ ἀποτεκεῖν δέῃ, κομίσαντές τινα λίθον ταῖς κοίλαις ἐντιθέασι καλιαῖς, ἵνα ἐν 30 καιρῷ τίκτωσι, καὶ μὴ τὸ τικτόμενον πρὸ τῆς ὥρας ἀτέλεστον ὠθοῖτο ὑπὸ ἰσχύος. οὐ μὴν ἔστι τι σαφὲς περὶ τοῦ λίθου τούτου

[4] Γυπῶν Cod. [5] Sic. [6] Leg. ταῖς νόσοις.

Digitized by Google

γινώσκειν· ἄλλοι μὲν ἀπὸ τῶν Καυκασίων ὄρων, οἱ δὲ ἀπὸ τῆς τοῦ ὠκεανοῦ φασὶν ὄχθης κομίζεσθαι, λευκὸν ὑπερφυῶς ὄντα καὶ μεστὸν ἔνδοθεν[6] πνεύματος· τικτούσῃ δὲ ἥτις αὐτὸν γυναικὶ περιάψοιεν, ὀλισθαίνειν διακωλύσει τὸ βρέφος· κἂν ἐν λέβητι
5 παφλάζοντος ὕδατος ἐπιψαύσει, τὴν τοῦ πυρὸς νικήσει πάντος ἰσχύν. καὶ γνησιότητος δὲ τῶν τέκνων μέλλει σφόδρα αὐτοῖς· καὶ πρὸς ἀνισχανότητα τὸν ἥλιον ἐναντίᾳ πτήσει κρίνουσι τὰ τεχθέντα· καὶ τὸ νικηθὲν ὑπὸ τῆς αὐγῆς ἢ καταμύσαν οὐκ ἂν γνήσιον νομισθείη, νόθον δέ· καὶ τῆς καλιᾶς ἐξελαύνεται, καὶ τῶν
10 ἄλλων ὀρνίθων οἶκτος αὐτῷ τροφὴν χωρηγεῖ, ὡς τοὺς παῖδας τρέφειν τοὺς ὀρφανοὺς τῶν αὐτῶν περιττοῖς γειτνιῶντες εἰώθασι· τήν τε τῆς πενίας ἀνάγκην ἰώμενοι καὶ τὴν χρεῖαν. οὐ μὴν ἡ τοιάδε τροφὴ τοὺς νεοττοὺς ποτὲ ἤγαγεν εἰς τὴν τῶν πατέρων ἀλκήν.

Περὶ Ἅρπης.

15 Τὰς ἅρπας δὲ οὐδὲ ἰδεῖν συνεχῶς τοῖς ἀνθρώποις ἐστί· τὰς τραχυτάτας γὰρ οἰκοῦσι πέτρας· καὶ τοῖς νεοττοῖσιν ἐπὶ ταῖς ὑψηλαῖς φάραγξι ποιοῦσι τὰς καλιάς· τοῖς κρημνοῖς ἀντὶ πρέμνων ἢ κλάδων ἐπικαθήμεναι. φιλοῦσι δὲ τὰ τέκνα ὑπερφυῶς· καὶ εἰ λαθών τις ἀγροῖκος ἅρπης νεοττὸν ἀποκλέψειεν, ὑπερόψεται μὲν
20 θρηνοῦσα τροφῆς, οὐκ ἀποπτήσεται δέ που τῆς καλιᾶς· ὀδυρμὸν πάντα ἐμπλήσει, καὶ γυναῖκά τις ἂν εἴποι θρηνεῖν· καὶ δακρύων ἐπιρροῇ τὰς παρειὰς[7] αὐτῆς ἐπικλύσει· πτερῶν δὲ αὐταῖς εἰσὶ αἵτε παριαὶ καὶ ὁ ἀνθερέων μεστὸς, ὥστε τι γένειον μέχρι τῆς δειρῆς[8] ἐπιδεικνύναι. καὶ τοῦτο ταῖς ἅρπαις ἴδιον σημεῖόν ἐστι·
25 μόναι δὴ ὀρνίθων λίθοις τρέφονται, καὶ τοῖς τῶν πάλαι τεθνηκότων θηρίων ὀστέοις, εἰ μὲν καταπιεῖν δύναιντο, ἡδέως ἅμα τὸ προστυχὸν παραπέμπουσαι· τὰ μείζονα δὲ τοῖς ποσὶ συλλαμβάνουσαί τε καὶ ἀνιπτάμεναι, καὶ κατὰ τῶν πετρῶν ἀφιεῖσαι πολλάκις, ὥστε ἀποκωλύει κισσός.

Περὶ Γυπός.

30 Οἱ γύπες δὲ μίγνυνται μὲν ἐπεμβάντες ἀλλήλοις, μάτην δὲ, καὶ οὐκ ἄν ποτε συνουσιάζοντες οὕτω παιδοποιήσαιεν· ἀλλ' ἡνίκα

6 ἔνθοθεν Cod. 7 παριὰς Cod. 8 δηρῆς Cod.

Digitized by Google

ἂν σχοῖεν πρὸς τὸν τῶν ὠῶν τόκον, ἐπιτηδείως κατὰ τὰ θηρία τὰς τίγρεις τὴν αἰδῶ πρὸς τὸν ζέφυρον ἀποστρέψαντες, ὑπὸ τῇ πνοῇ γαμοῦνται, καὶ φασὶ ἐντεῦθεν αὐτοῖς ταχείας εἶναι τὰς κατὰ τὴν νωσημὴν[9] ἀντιλήψεις· εἰ καὶ πόρρω που τελευτήσει ἔτι ζῶον. καὶ ἀκόρεστοι δὲ τροφῆς ὑπὲρ τοὺς λοιποὺς πάντας ὄρνεις εἰσὶν, ὡς καὶ πολεμεῖν ὑπὲρ αὐτοῖς πρὸς ἀλλήλους· καὶ τὸν ἰσχύει κρείσσονα τοὺς ἄλλους ἀποδιώκειν· τὴν μὲν τῶν πτερύγων προβαλλόμενοι ἄτε ἄσπιδα, τῇ δὲ τοὺς λοιποὺς ἀπελαύνοντα· οἱ δὲ, ἢν κορεσθεὶς οὗτος ἀποχωρήσειε, κοινῇ ταῖς τροφαῖς ἐφορμῶσι, μέχρις ἄν τις αὐτῶν τοὺς ἀσθενεστέρους ἀποδιώξῃ· ῥαδιὼς δὲ οὐδεὶς ἂν εὕροι γυπῶν καλιάς· γίνονται γὰρ ἐν τόποις, εἰς οὓς ἐλθεῖν ἀμηχανώτατόν ἐστι. τῇ δὲ τῶν τεθνηκότων ὑπερχαίροντες δυσοδμίᾳ, τοσοῦτον ἀπεχθάνονται πρὸς τὰ μύρα, ὥστε οὐδ' ἂν κτήνους ἅψαιντο τεθνεῶτος, εἴτις αὐτοῦ τὰς σάρκας ἐπαλείψει μύρῳ[10].

Περὶ Ἱέρακος.

Ἱεράκων δὲ γένη πλείω· καὶ ταχεῖς μὲν ἄλλοι πρὸς θῆραν, περιστεραῖς μάλιστα[11] καὶ φάσσαις ὀλέθριοι· οἱ δὲ τὰς ὄρνεις τὰς ἐλάσσους αἱροῦσιν· ἕτεροι δὲ ἀργότατοι, καὶ πρὸς τὰς πτήσεις ὀκνώδεις, ὥστε τρέφεσθαι παρὰ ἑτέρων ἐθέλειν, καὶ ὀψὲ τοῦ καιροῦ πρὸς ἄγραν ὁρμᾶν, καὶ βατράχοις ἐπιτίθεσθαι μόνοις· καὶ τοῖς ἀνθρώποις δὲ ἄλλοι κοινωνοῦσι τῆς θήρας δεαλοῖς τε ἐχόμενοι, καὶ τὰ θηρώμενα τῶν ὀρνίθων φοβοῦντες· κορυδοῖς δέ εἰσιν οὗτοι καὶ χελιδόσι πολέμιοι· καὶ ταυτί γε αὐτοὺς συγγενεῖς ἄν τις εἴποι Τηρέως. καὶ ἀμβλυωττοῦσιν ὑπὲρ πᾶν ἕτερον γένος ὀρνέων, ὡς καὶ θεραπείαν τοῦ πάθους ἐπίστασθαι· γάλα δέ ἐστι θριδακίνης ἀγρίας, ἣν ἀποτέμνειν τοῖς ἱέραξιν ἔθος ὑπὲρ ἰάσεως.

Περὶ Ἰκτίνοτ.

Τῶν ἰκτίνων δὲ οὐδὲν ἄν τις ἀναιδέστερον εἴποι· ὁρμῶσι γὰρ πολλάκις καὶ ἐπ' αὐτὰς τῶν ἀνθρώπων τὰς χεῖρας, καὶ διαφθείρουσι τῶν κατοικιδίων ὀρνίθων τοὺς νεοττοὺς, καὶ λυποῦσι μάλιστα τὰς γυναῖκας· τίνουσι μέντοι τὴν προσήκουσαν δίκην, ἐν ῥητῷ τοὺς πόδας τινὶ τοῦ ἔτους καιρῷ σφόδρα ἀθλίως ἀλγοῦντες· φασὶ

[9] Sic. [10] μοίρῳ Cod. [11] μάλλιστα Cod.

Digitized by Google

δὲ αὐτοὺς μηδὲ τῇ ῥοιᾷ ποτὲ ἐπικαθῆσθαι τῶν δένδρων, μηδὲ ὁρᾶν ἐθέλειν αὐτό. καὶ ἄπιστος μὲν, κρατεῖ δὲ λόγος περὶ αὐτῶν, ὅτι γαμετήν τις ὑποβάλλων ἀνὴρ, θυγατέρα τε ἐξ αὐτῆς ἔχων ὄνομα Σίδην, εἶδεν εἰς τὴν κόρην αἰσχρῶς, ὥστε τοῦ πατρὸς τὴν μίξιν
5 ἐκείνην ἐκκλίνουσαν, τῷ τῆς μητρὸς ἑαυτὴν ἐπισφάξαι τάφῳ· εἶτα τῶν θεῶν φασὶ τὸ πάθος ἐλεησάντων, ἀνῆκαν φεύγειν ἄποθεν τὰς τῆς συμφορᾶς ὑπομνήσεις, καὶ οὐκ ἐθέλειν ἐπικαθῆσθαι τῷ δένδρῳ.

Περὶ Μέμνονος.

Οἱ δὲ ὄρνεις οἱ μέμνονες γένος μὲν τῶν μελαντάτων Αἰθιόπων[12]
10 εἰσί· τὴν δὲ Αἰθιοπίαν[13] καταλείποντες, ὡς πρὸς γονὴν αὐτῇ ποιεῖν καλιὰς, (τὰ γὰρ ὠὰ πάντως εὐθὺς ὁ ἥλιος καταφλέγει) πρὸς τὸν Βορρὰν καὶ τὴν Θράκην ὁρμῶσιν· εἰς δὲ τὸν Ἑλλήσποντον ἀφικόμενοι· καὶ ἀλλήλους[14] καὶ τοῦ ἀπὸ τῶν πτερύγων ἤχου ἀσπίδων ἄν τις ἀπεικάσειε κτύπον· εἶτα τῆς μάχης λήξαντες παρὰ τὸ
15 ὄρος τὸν Αἴσιπον[15] ἀπολούονται, κονίζονταί τε ἐπὶ τῆς ψάμμου περιστρεφόμενοι· καὶ τῷ τάφῳ τοῦ Μέμνονος ἐφιζήσαντε ἐν αὐταῖς κόνιν ἐπὶ τοῦ Μέμνονος σπείρουσι τάφῳ· δεικνύντες οἶμαι κἀντεῦθεν, ὡς ἐξ ἀνδρῶν μεταβληθέντες εἰς ὄρνεις, οὔτε τῆς βασιλικῆς τιμῆς οὔτε τῆς πολεμικῆς ὀλιγωροῦσι[16] μελέτης.

20 Περὶ Κοράκων.

Ὑπὲρ δὲ τῶν κοράκων ἡμῖν ταῦτα ἰστέον, ὡς ἐκ πάντων ὀρνέων μόνοι τοῖς παισὶ ποτὸν οὐ χορηγοῦσι, ῥηγνυμένου τοῦ ἀνθερεῶνος εὐθὺ μετὰ τὴν μίξιν αὐτοῖς· τιμωρίαν τοῦτο παλαιᾶς τινὲς φασὶν ἁμαρτάδος· ὕδωρ γὰρ ἐνεγκεῖν κελευσθεὶς, ἡνίκα ἐκ Τρίκκῃ[17]
25 τὸν Ἀσκλήπιον ἔτικτε Κορωνὶς, τοῦ κελευσθέντος ὑπεριδὼν ἐλαγνεύετο· καὶ διὰ τοῦτο μῆνις Ἀπόλλωνος εἰς ὄρνιν τε αὐτὸν μέλανα τρέπει, καὶ δίχα ποτοῦ ποιεῖ τὰς ῥίνας αὐξάνεσθαι· κἀντεῦθεν εἶναι τοῖς νεοττοῖς λυπηρότατον· καινόν γε μὴν καὶ τοῦτο ἐπὶ τῶν κοράκων ἐστίν· οὐ μίγνυνται, πρίν τινα ταῖς θηλείαις
30 ᾠδὴν ὥσπερ γαμήλιον παρακρῶξαι· αἰδαιπεισθῆσαι[18] οὕτω συνουσιάζονται.

12 ἐθιόπων Cod. 13 ἐθιαπίαν Cod. 14 Sic. 15 Leg. credo παρὰ τὸν ῥόον τοῦ Αἰσήπου. 16 ὀληγοροῦσι Cod. 17 Cod. τρίκῃ. 18 Leg. αἳ δὲ πεισθεῖσαι

Digitized by Google

Περὶ Κορώνης.

Ταῖς δὲ κορώναις, οὐ κατὰ τὰ λοιπὰ πάντα πτηνὰ τῶν ὠῶν ῥαγέντων ἔμπροσθεν ἐπὶ τὸ στόμα, ἀλλ' ἐξόπισθεν, πρῶτα προβάλλοντες τὰ σκέλη προίασι οἱ νεοττοί.

Περὶ Πέρδικος.

Τῶν ἐλάφων οἱ πέρδικες αὐρῶσιν[18] ὑπερφυῶς, συννέμεσθαί τε αὐτοῖς, καὶ οὐδὲ ἀποφοιτᾶν που βούλονται παρομαρτοῦσι καὶ συνθέουσι, καὶ τοῖς νώτοις ἐπικαθημένοι διαξεαυτοῦσι[19] τὰς τρίχας αὐτῶν, ὡς καὶ ἁλίσκεσθαι προσιόντας ἀσμένως, ἢν εἰκόνα ἐλάφου δείξειεν ἀγρευτής. ὑπὲρ ἀφροδισίων δὲ ἀγωνίζονται πρὸς ἀλλήλους· καὶ πρὸς μὲν τὰς μίξεις αὐτοὺς παροτρύνει τὸ ἔαρ· νεμόμενοι δὲ ἐν ταῖς ὕλαις ἀγεληδὸν, εἰ φανείη θήλεια, διίστανται καὶ πολεμοῦσιν ἀλλήλοις, καὶ γίνεται τοῦ κεκρατηκότος ἡ θήλεια· ὁ δὲ ἀναβοᾷ καὶ γέγηθεν, ὥσπερ χρυσὸν ἢ κόρην ἤ τι γέρας ἕτερον ἐκ πολέμου λαβὼν ἀριστεύς· ἀλλ' οὐδὲ θάλπειν τὰ ὠὰ ταῖς θηλείαις ἐπιτρέπουσι, καὶ ὑποκλέπτουσι δὲ αὐτὰ πρὸς τὴν μίξιν σπεύδοντες· καίτοι κἀκεῖναι πολλάκις ὡς ἀσελγεῖς ὀλιγωροῦσι παιδοτροφίας· καὶ δόλερον τὸ γένος ἐστὶν, ὡς καὶ τοὺς νεοττοὺς γινώσκειν ὅπως ἄνδρα χρὴ προίοντα ἐξαπατᾶν φύλλοις ἢ βώλοις ἤ τινι τῶν προστυχόντων[20] καλυψαμένους· ὃ καὶ τοῖς ἁλιεῦσι ποιοῦσι οἱ πολύποδες, αἷς ἂν προσερείσωνται πέτραις ἀφομοιούμενοι.

Περὶ Αἰγίνθου.

Πλέον ἢ[21] ὑπερφιλοῦσι τὰς ἐλάφους οἱ πέρδικες, μισοῦσι τοὺς ὄνους αἱ αἴγινθοι· κἂν ἐπὶ φυτοῦ καλιᾶς οὔσης αἰγίνθου τρέφονται νεοττοὶ, τῷ δένδρῳ πλησιάσας ὄνος ἀνερεῖ[22] πάντως αὐτοὺς, καὶ ὀγκησάμενος τὴν κύουσαν αἴγινθον ἀμβλῶναι ποιεῖ.

Περὶ Κόκκυγος.

Ὁ κόκκυξ ὁ πρῶτος τῶν λοιπῶν[23] πτηνῶν ἡμῖν τὸ ἔαρ ἀγγέλλων, αὐτὸς μὲν καλιὰν οὐ ποιεῖ, τὰ δὲ τῶν ἑτέρων ὀγνίθων ὠὰ κατεσθίει, καὶ ἐν ἀλλοτρίᾳ τεκὼν ἀφίσταται καλιᾷ· καὶ θάλπει

18 Sic. Leg. ἐρῶσιν. 19 Leg. vid. διαξαίνουσι. 20 προσιοντων στιχ. Cod. 21 ἢ om. in Cod. suppl. 22 Sic. 23 λοπῶν Cod.

Digitized by Google

μὲν ἕτερος δι' ἄγνοιαν τὰ τεχθέντα, μέχρις ἂν τῶν ὠῶν ἴδῃ προκυψάντων· τῆς δὲ ἀπάτης αἰσθομενος ἀπολείπει τὲ αὐτὰ, καὶ ἕτεραν ποιεῖται καλιάν. ὁ δὲ κόκκυξ ἐλθὼν τροφὴν τότε τοῖς ἑαυτοῦ δίδωσι νεοττοῖς.

Περὶ Δρτοκολάπτοτ.

Τοῖς δρυοκόλαψι δὲ καινόν τι παρὰ τῶν θεῶν δέδοται δῶρον. εἰ καλιάν τις αὐτῶν ἐπιφράξειε λίθοις καὶ ξύλοις· πόαν τινὰ πρὸς τοῦτο ἐγνωσμένην αὐτοῖς ἀνελόμενοι, καὶ τῷ τῆς καλιᾶς προαγόντες στόματι, ἀνοίγουσί τε αὐτὴν, καὶ πάντας ἀποκινοῦσι τοὺς φήνας· καὶ τὰς κλεῖς δὲ τῶν θυρῶν εὐμαρῶς ὁ τὴν πόαν ἐκείνην ἐπιστάμενος διαλύει.

Περὶ Αἰγιθαλοῦ.

Τοὺς αἰγιθαλοὺς οἱ ποιμένες μισοῦσιν, ὅτι τῶν αἰγῶν, ἃς ἂν τεκούσας ἴδοιεν, ταῖς θηλαῖς ὑπερχαίρουσι· τότε γάλα αὐτῶν ὡς ἔριφοι προϊόντες ἐξέλκουσι, καὶ πρὸς τὸν τόκον αὐτὰς εἰς τὸν ἑξῆς βλάπτουσι χρόνον.

Περὶ Γαλτκός.

Αἵ γε μὴν γλαῦκες ἐπὶ τῶν προβάτων δρῶσαι ταυτὸν οὐδέμιαν φέρουσι βλάβην· ἀλλ' ἐκεῖνο ἱστέον περὶ αὐτῶν, ὅτι τοὺς μύρμηκας ἀποκωλύειν[24] τῶν ἰδίων βουλόμεναι νεοττῶν, ἐν τῇ καλιᾷ καρδίαν ἔχουσι νυκτερίδος, ὡς τῶν μυρμήκων ἀπολείπειν καὶ τοὺς ἑαυτῶν φολεοὺς ἐρουμένων, εἰ νυκτερίδος τις ἐπ' αὐτοῖς θείη καρδίαν.

Περὶ Ἰκτέροτ.

Ἴκτερός τις ὄρνις ἀπὸ τῆς χροιᾶς ὀνομάζεται· ὃν εἰ τῷ πάθει τοῦτο τις ἀνὴρ ἐχόμενος ἴδοι, φεύξεται ἰᾶσαι αὐτίκα τὴν νόσον.

Περὶ Κίσσης.

Τὰ δὲ τῆς κίσσης πρὸς τὰς τῶν φωνῶν μιμήσεις πῶς ἄν τις εἴποι πλεονεκτήματα; καὶ πόσα ἂν εἶνται ζῶα, δείξειε φθεγγομένη. μηκᾶσθαι ἔριφόν ποτε κίσσης ἀκούων ὠήθην, καὶ ὡς τῆς μητρὸς χωρισθέντα περὶ τὸ δένδρον ἐζήτει, ἐφ' οὗ καθίστο κίσσα βοῶσα[25]· μηκηθμὸς[26] εὐθὺς καὶ μόσχου ὤμην, εἶτα ὡς πρόβατον ἐβληχᾶτο, καὶ τὸν τοῦ ποιμένος τέλος ἐμιμήσατο συριγμὸν, ᾧ

[24] ἀποκολύειν Cod. [25] βιῶσα Cod. [26] μικιθμὸς Cod.

Digitized by Google

μετὰ τὴν νομὴν ἐπὶ ποτὸν ἄγει τὰ πρόβατα· ὥστε ὀψέ ποτε ἐπὶ τῶν κλάδων ἰδὼν μεταλλομένην αὐτὴν, ἀπεθαύμασα[27] πήλικα μέχρι καὶ τῶν ὀρνέων ἐστὶ τὰ θεῖα δωρήματα.

Περὶ Ψιττακοῦ.

Τοῖς ψιττακοῖς δὲ, οὓς οὐκ ἐν ξυλίνοις κλωβοῖσιν ἀλλ' ἐν σιδηροῖς φρουρεῖν ἀναγκαῖον, μέχρι καὶ τῆς ἡμετέρας γλώσσης ὁδήγησε[28] τὰς μιμήσεις ἤφησεν.

Περὶ Ἀηδόνος.

Καὶ ταῖς ἀηδόσι θαυμαστὴν τινὰ ᾠδῆς δέδωκεν ἁρμονίαν· αἳ καὶ τοὺς νεοττοὺς ᾠδαῖς μᾶλλον ἢ τροφαῖς ἄλλαις ἐκτρέφουσι· γνησίους μὲν τοὺς εὐφθόγγους ἡγούμεναι, καὶ θεραπείας ἀξιοῦσαι παντοίας· ἀποκτείνουσι δὲ τοὺς ἀφθόγγους, ὡς οὐκ ἀξίαν γενεὰν τῶν Ἀττικῶν ἀηδόνων· ὃ δὴ καὶ τῆς ἐλευθερίας αὐταῖς ἐρῶντα τοσοῦτον ἐντίθησι, ὥστε εἰ λήφθειεν[29], μήτε ᾄδειν ἐθέλειν, καὶ τὴν γλῶσσαν ἀποτέμνειν εὐθύς.

Περὶ Χελιδόνος.

Συνήθεις μάλιστα καὶ ὁμωρόφιοι τοῖς ἀνθρώποις αἱ χελιδόνες εἰσίν. εἰς μὲν ὄρνιθας ἀμειφθεῖσαι ἠνίκα ἦν ἀνὴρ ὁ Θρᾷξ ἔτι Τηρεύς· ὡς δὲ μεταβαλόντα κἀκεῖνον εἶδον εἰς ὄρνιν, τὰ πτηνὰ φυγοῦσαι, πρὸς τὰς τῶν ἀνθρωπίνων ἦλθον οἰκήσεις· ἀλλ' οὐδὲ τοῦ Βορᾶ, οὐδὲ ἄλλων τῶν ἐκ Θράκης ἀνέμων στέργουσι τὴν πνοὴν, καὶ τὰς καλιὰς ἐκ τῶν τοιούτων πνεύματων οἰκοδομοῦσιν ἀπεστραμμένας. τοὺς νεοττοὺς δὲ τρέφουσι οὕτως ἐν τάξει, ὥστε εἰ δεξάμενός τις τροφὴν μεταβάλῃ τὸν τόπον, οὐκ ἂν δοῖεν αὖθις πρὶν ἀναδράμοι. εἴγε μήν τις αὐτῶν τὰ τέκνα ἀποτυφλώσειε, τὴν χελιδονίαν βοτάνην κατατεμοῦσαι τῷ στόματι, καὶ τὸν ἐξ αὐτῆς χυλὸν κατατεμοῦσαι[30] τοῖς ὄμμασι, τῆς πηρώσεως ἀπωθοῦνται τὴν βλαβήν.

Περὶ Σελακίδος.

Πολυβορώτατον ὄρνεον ἡ σελακὶς, καὶ μετὰ πλείστης εὐχῆς ἀφικνούμενον τοῖς ἀγροίκοις, ἣν τοὺς καρποὺς ἀκρίδων ἔδηται

[27] ἀπεθαύμασαν Cod. [28] Sic. [29] λείφθειεν Cod. [30] καταχέουσαι vid. leg.

Digitized by Google

πλῆθος· ὅτι τὰς μὲν φαγοῦσαι, τὰς δὲ καὶ ἀπὸ μόνης τῆς σκιᾶς ἀναιροῦσαι· ἐκκρίνουσι δὲ ἃς καταφαγοῦσαι ῥαδίως αὐτίκα· καὶ πορθουμένοις ἄνδρασι ξενικὴν ἄν τις[31] εἴποι συμμαχίαν ἐληλυθέναι. ἀλλ' εἰ τῆς χάριτός τις τὰς ὄρνεις ἀποστερήσειε, διαφέ-
5 ρουσιν αὗται τὸν σωθέντα καρπόν· κἂν ἀποκτείνει τις σελακίδα φρενοβλαβὴς, οὐκέτ' ἂν, ὑπ' ἀκρίδων τὸν καρπὸν κειρομένων, εἰς[32] τὴν χῶραν ἐκείνην ἔλθοιεν βοηθοί.

Περὶ ἰύγγων.

Αἱ δὲ ταῖς φαρμακίσι γυναιξὶ προσφιλεῖς ἴυγγες τροφῆς ὧδε
10 μεταλαμβάνουσι. τὰς μακρὰς γλῶσσας, ὥσπερ οἱ ἁλιεῖς, ἐκτείνασαι, καὶ εἰς ἀτραπόν τινα ἐμβάλλουσαι μυρμήκων, ὡς ἐπὶ κρώσιν[33] σπεύδοντας ὑποδέχονται ἀκριβῶς· εἶτα τὴν γλῶσσαν κατὰ μικρὸν ἕλκουσαι τοὺς ἁλόντας ἐσθίουσι. συνεχῶς δὲ τοὺς τραχήλους[34] κινοῦσι, ὡς οἱ τῶν ἄνδρων διαδεχόμενοί τε, καὶ θηλυ-
15 δρίαι βακχεύειν ἐπὶ τῆς τελευτῆς τῆς Ῥέας εἰώθασι.

Περὶ Τρυγόνος.

Σωφρονοῦσιν ὑπὲρ πᾶν ὄρνεον αἱ τρυγόνες, καὶ γάμον στέργουσιν ἕνα· καὶ τελευτησάσης τῆς ὁμόζυγος οὐκ ἄν ποτε ὁ περιὼν ἑτέρᾳ μιχθείη.

20

Περὶ Περιστερᾶς.

Ταῖς περιστεραῖς δὲ γάμος εἷς ἀπόχρη, μίχθειεν δ' ἂν ἀλλῇ, τῆς προτέρας τελευτησάσης. καὶ συνουσίας δὲ ἀρχὴν ποιοῦνται τὸ φίλημα· καὶ πρεσβύτερα μὲν οὐκ ἂν πρὸς τῆς τῶν χειλῶν ἐμβολῆς ἀνάσχοιτο μίξεως· αἱ δὲ νέαι πολλάκις πρὸς τὴν συνου-
25 σίαν καὶ δίχα τῶν φιλημάτων ὁρμῶσιν· εἰ δὲ μὴ παρεῖεν θήλειαι, παρὰ τὸν κοινὸν τῶν ὀρνέων νόμον ἐπιβαίνουσιν ἀλλήλοις οἱ ἄρρενες, καὶ ὠὰ τίκτουσι οὐδὲν πρὸς νεοττῶν γονὴν ἐπιτήδεια.

Περὶ Ὄρνιθος Κατοικιδίου.

Καὶ τὰς κατοικιδίους ὄρνιθας ἴσμεν ἀλεκτρυόνων χωρὶς καὶ ἐν
30 ταῖς τῶν γυναικῶν χερσὶ θερμαινόμενας ἀποτίκτειν ὠά. πρὸς εὐτοκίαν αὐταῖς, ἣν ὀδύνωνται, χρήσιμον ἐκ τῆς γῆς τῷ στόματι κάρ-

31 ἄντοις Cod. 32 εἰ Cod. 33 Sic. Leg. βρῶσιν. 34 τραχύλους Cod.

Digitized by Google

φος λαβεῖν, καὶ ἐπιτιθέναι τοῖς νώτοις. ὑπὲρ πάντα δὲ τὰ πτηνὰ τοὺς ἀλεκτρυόνας[28] ἴσμεν χαίρειν μάχαις καὶ συνουσίαις· φωτὶ δὲ μάλιστα χαίρουσι, καὶ προαγγέλλουσι τὴν ἡμέραν, ὡς ἡλίῳ κεχαρήκεναι· καὶ τὰς τῶν γαμετῶν ὀδύνας παρηγοροῦσι τῇ κοινωνίᾳ τῶν πόνων· ὥστε ἠρεμαῖόν τι καὶ λεπτὸν προσᾴδειν εἰς παραμυθίαν αὐταῖς. 5

Περὶ Κοσσύφων.

Πρὸ δὲ τῶν λοιπῶν πάντων ὀρνίθων ἐπὶ χειμῶνος ὄντος ὁ κόσσυφος ἀποτίκτει, καὶ χαίρει μύρταις καὶ δάφναις καὶ κυπαρισσων ἄλσεσι, καὶ ταῖς εὐθαλέσι λευκαῖς, πευκαῖς τε καὶ πλατάνοις, καὶ ταῖς διπλόθριξι πίτυσι καὶ κισσοῖς. δύο δέ ἐστι γένη κοσσύφων· καὶ οἱ μὲν πάντῃ[29] μέλανες, οἱ δὲ κηρῷ τὰ χείλη προσεοικότες, καὶ τῶν ἑτέρων μᾶλλον πρὸς τὰς ᾠδὰς ἐπιτήδειοι. 10

Περὶ Ταώ.

Τὸ καλλὸς δὲ ὁ ταὸς τὸ οἰκεῖον τεθαύμακε· καὶ εἰ καλόν τις αὐτὸν ὀνομάσειεν, εὐθὺς τῶν πτερῶν τὰ ἄνθη μεμιγμένα χρυσῷ ὥσπερ τινα λειμῶνα δείκνυσιν ἀνάστησας, περιάγων εἰς κύκλον αὐτὰ διατεταγμένοις ὄμμασι· τὰ δὴ κατὰ τῆς οὐρᾶς λάμπουσιν ὥσπερ ἄστερες αὐτῷ. καὶ εἰ προσιδών τις ἐπαινέσειεν[30] ἐπὶ τῷ κάλλει, καὶ διὰ τῆς φωνῆς αὐτίκα φιλοτιμήσεται· σκώψαντος δέ τινος τὴν οὐρὰν κατακρύψει μυσσῶν ὥσπερ τὸν φιλολοίδορον. φρουρὸς οὗτος ἦν τῆς Ἰοῦς[31], ἡνίκα Ἥρα κατ' αὐτῆς ἐχαλέπηνεν. Ἑρμῆς δὲ ἀνεῖλεν αὐτὸν, καὶ τελευτήσαντος, ἀνῆκεν ὄρνιν ἡ γῆ, τῶν ὀφθαλμῶν ἔχοντα σημεῖα τῶν πρόσθεν. 15 20

Περὶ Πορφυρίωνος.

Ἔστι τι πορφυρίων ἀπὸ τῆς χροιᾶς λεγόμενον ὄρνεον, ἐρυθρὸν αὐτὸ τὸ ῥάμφος ἐστι· καὶ κατὰ τῆς κεφαλῆς ὥσπερ τινὰ πίλον ἔχει, ὁποίους οἱ τοξόται Πέρσαι φοροῦσιν· τοῖς κατοικιδίοις ὀρνέοις ἴσος εἰς μέγεθος, πλὴν ὅτι χρῆται σκέλεσι μακροτέροις οὗτος. οὐκ ἄν ποτε εἰς μίξιν ἔλθοι παρόντος ἢ ὁρῶντος ἀνδρὸς· φύσει γὰρ σώφρων ἐστὶ, καὶ εἰ ζηλεύσειεν[32], ἀνιᾶται ὡς μηδὲ ὁρᾶν ἄνδρα 25 30

28 ἀλεκτριόνας. 29 παντι Cod. 30 ἐπενέσειεν Cod. 31 υἱοῦς Cod. 32 Sic.

Digitized by Google

θέλειν τῇ ἑαυτ . . ετη[33] προσιόντα. εἰ δὲ μοιχείας[34] αἴσθοιτο[35], καὶ ἀθυμεῖ τοσοῦτον ὡς διαφθείρεσθαι[36].

Περὶ Ὀρτυγος.

Οἵδε ὄρτυγες, ᾧ τὰς νομὰς τὰς προτέρας ἀπολιμπάνουσι, 5 συνήπτανταί τε ἀλλήλοις σθῇ[37] τὴν θάλασσαν ὁρμῇ παραμείβουσι, πτηνῶν ὄντες ὀξύτατοι, καὶ δειλοὶ τοσοῦτον ὥστε φρίττειν τοῦ πελάγους τὴν ὄψιν, καὶ τὰ βλέφαρα ἐπιμυειν, καὶ τοῖς ἱστίοις πολλάκις τῶν νεῶν περιρρήγνυσθαι, καὶ τούτων παρὰ τὸν αὐτὸν θηρασθ * * τρόπον. ὡς δ' ἂν εἴδεῖεν πρότερον[38] διεληλύθασιν 10 ἢ οὔπω τὸ πέλαγος πειρασαι τοῖς[39] τοῖος δὲ τρόπος ἐξηύρηται. τρεῖς ἕκαστος λίθους βραχεῖς ἐπὶ τοῦ στόματος φέρει, καθένα τε ἀφίησι, ἀκροώμενος πότερον εἰς ὕδωρ ἐμπέπτωκε· καὶ δὴ πτήσεως μακροτέρας· εἰ δὲ κατὰ τῆς γῆς ἐνήνεκται, καιρὸς ἥκει διαναπαύσεως.

15 Περὶ Πελαργοῦ.

Μεθίστανται δὲ ὀρνέων γένη πολλὰ, ὥστε αὐτῶν τάτε τῆς ἐκδημίας καὶ τὰ τῆς ὁδοιπορίας μέτρα γιγνώσκεσθαι πλὴν μόνων τῶν πελαργῶν· ὑπὲρ ὧν, οὐκ ἄν τις ἀκριβῶς εἰδὼς εἴποι, πόθεν ἥκουσιν, ἢ ποῦ πάλιν ἐπανίασιν. οἱ μὲν γὰρ ἐκ Λυκίας αὐτοὺς, 20 οἱ δὲ ἔρχεσθαι ἐξ Αἰθιοπίας φασὶν, ὅθεν τὸ μυρίον ὕδωρ τοῦ Νείλου τοὺς ἐν Αἰγύπτῳ καρποὺς ποιεῖ πλατυνόμενον. θαυμαστοὶ δὲ καὶ ἀγχίνοι εἰσὶν, ἤν τε φυλάξασθαι βλάβην, ἤν τε ἐκτίσαι δέῃ χάριν εὐεργεσίας· καίτοι περὶ αὐτῶν τοιόνδε ἐξακήκοα. Λίθῳ τις σκέλος ἔκλασε πελαργοῦ· ὁ δὲ ἐπὶ τῆς αὐτοῦ πλάγιος 25 ἔπεσε καλιᾶς· εἶτα γυναῖκες ἀσθενοῦντα αὐτὸν καὶ σκάζοντα θεασάμεναι ἰάσαντο λαβοῦσαι. καὶ βαδίζων ἤδη, νικηθέντος τοῦ πάθους, σὺν τοῖς λοιποῖς ἀπέπτη. καὶ πάλιν ἐλθόντος ἔαρος εἰς τὴν αὐτὴν ὥρμησεν οἰκίαν, ὡς γνωσθῆναι μὲν ἀπὸ τῶν τῆς χωλείας σημείων, ἡσθῆναι δὲ τὰς γυναῖκας, ὅτι παρ' αὐτὰς ἧκεν[40] 30 ἄσμενος. τοῖς μακροῖς δὲ χείλεσιν ἐπικύψας ἐκεῖνος, λίθον τῶν

33 ἑαυτοῦ γαμετῇ. 34 μιχείας Cod. 35 ἔσθοιτο Cod. 36 διαφείρεσθαι. 37 καὶ σύναμα. 38 Leg. πότερον. 39 Leg. περάσαιτο αὐτοῖς. 40 ἥμεν Cod.

Digitized by Google

τιμίων περικαλλέστατον πρὸς τοῖς ποσὶν ἥμεσε τῶν γυναικῶν. αἱ δὲ ἔγνωσαν, ὡς εἰς χάριτος ἀμοιβὴν καὶ ἀνδρῶν πολλάκις εἰσὶν οἱ πελαργοὶ προθυμότεροι.

Ἐν Ἰταλίᾳ δέ τοι λέγεται συμβῆναι τοιοῦτον. νεοττοὺς τινῶν πελαργῶν ὄφις ἀπὸ τῆς γῆς κατήσθιεν ἀνερπίζων· καὶ πάλιν εἰς 5 τὸ δεύτερον ἔτος τὸν ἕτερον τοῖς αὐτοῖς διέφθειρε τόκον. ἡ δὲ στειλάμενοι πρὸς τὴν ξένην, καὶ τὸν τρίτον ἥκοντες, καινόν τινα ὄρνιν καὶ οὐκ ὀφθέντα πρότερον ἐπηγάγοντο[38]· βραχύτερον μὲν αὐτῶν, ῥάμφος δὲ ἀπὸ τῆς κεφαλῆς ὀξὺ καὶ μέγιστον ὥς τι προβαλλόμενον ξίφος. πῶς ἄρα τῶν νεοττῶν αὐτῶν τὴν δυσποτμίαν 10 ἀγγείλαντες, τοῖσι δὲ πρὸς τὴν ἐπικουρίαν ἐλθεῖν πείσαντες ἐπαγγελίαις ἢ λόγοις. εἰ μὴ ἄρα τις ἄγνωστα ἡμῖν πρὸς ἀλλήλους φθέγγεσθαι λέγοι τούς τε ὄρνεις καὶ τὰ θηρία. ὁ δὲ τέκνων μὲν οὐκ ὄντων ἔτι τοῖς πελαργοῖς ἐπὶ τὰς αὐτὰς νομὰς εἴη τοῖς κεκληκόσι. νεοττευσάντων δὲ, τοὺς μὲν ἀφίπτασθαι πόρρω. καὶ 15 τροφὰς κομίζειν ἔδει τοῖς νεοττοῖς καὶ τῷ φύλακι. τὸν δὲ ἐπὶ τῆς καλιᾶς μένειν ἐπιόντα τὸν ὄφιν. καὶ μικρὸν ὕστερον ἐκ τοῦ φωλεοῦ προσελθὼν ἀνεσόβει τοὺς νεοττοὺς, ὧν ὁ σύμμαχος προσιστήκει, καὶ παίει δὲ τῷ ῥάμφει τὸν ὄφιν. ὁ δὲ οὐχ ὑπείξας, ἀλλὰ καὶ τὸν ὁλκὸν ἀναστήσας, πρόστε τὴν οὐρὰν ἐρεισάμενος ἀντετάτ- 20 τετο[39]· καὶ πληγὴν πάλιν δεξάμενος, εἶτα ἀντιταχθεὶς ταῖς σπείραις περιβαλεῖν τὸν ὄρνιν ἠπείγετο, μάτην πλείστοις χρώμενος ἑλιγμοῖς. ὁ γὰρ ὄρνις ὑπέφυγε ῥαδίως τοῖς πτεροῖς κουφιζόμενος. καὶ τοὺς νεοττοὺς ὁ μὲν ἀνελεῖν ἔσπευδεν, ὁ δὲ σῶσαι· μέχρις πρὸς τὸ τῶν τραυμάτων πλῆθος ὁ ὄφις ἀπειπὼν διεφθάρη· δακών 25 γε μὴν τὸν ὄρνιν ἐν τῇ συμπλοκῇ, καὶ τὸν ἰὸν αὐτῷ τῶν ὀδόντων ἐκχέας, ὡς καὶ τὰ πτερὰ πάντα αὐτῷ διαρρυεῖσαι[40]. τοῦ καιροῦ τῆς ἄγαν συστροφῆς ἥκοντος, οἱ μὲν λοιποὶ πάντες ἀφίπταντο πελαργοὶ, οἷς δὲ τῆς πρὸς τὸν σεσωκότα τοὺς νεοττοὺς ἐμελέτησεν ἀμοιβῆς, σὺν αὐτοῖς ἔμενον[41] τοῖς νεοττοῖς, μέχρις ἐκεῖνον 30 νεα περιφυῆναι πτερὰ, καὶ συναπελθεῖν ὑπῆρξεν αὐτοῖς.

38 ἐπιγάγοντο Cod. 39 ἀνετάττετο Cod. 40 Sic. 41 ἔμενον Cod. rec. m. ἔμενεν.

Digitized by Google

Περὶ Φοίνικος.

Ἀκήκοα δὲ, ὡς παρὰ τοῖς Ἴνδοις ὄρνις εἴη, γονέων ἄτερ καὶ μίξεως χωρὶς ὑφιστάμενος, φοίνιξ ὄνομα, καὶ βιοῦν φασιν ἐπιπλεῖστον καὶ μετὰ πάσης ἀφοβίας αὐτὸν, ὥστε οὔτε τόξοις οὔτε λίθοις οὔτε καλάμοις ἢ πάγαις τῶν ἀνδρῶν τι κατ' αὐτῶν ποιεῖν πειρωμένων· ὁ δὲ θάνατος αὐτῷ τὴν ἀρχὴν ποιεῖ τῆς ζωῆς· ἣν γάρ ποτε γηράσας πρὸς τὰς πτήσεις ἑαυτὸν ἴδῃ[42] νωθέστερον, ἢ τὰς αὐγὰς τῶν ὀμμάτων ἐλασσουμένας, ἐφ' ὑψηλῆς πέτρας κάρφης συλλέξας πυράν τινα τῆς τελευτῆς, ἢ καλιὰν συντίθησι τῆς ζωῆς· ἣν[43], ἐν μέσῳ καθημένου τοῦ φοίνικος, ἡ τῶν ἡλιακῶν ἀκτίνων καταφλέγει θερμότης· οὕτω δὲ διαφθαρέντος αὐτοῦ, νέος ἐκ τῆς τέφρας αὐτοῦ γίνεται φοίνιξ, καὶ τοῖς πατρῴοις ἔθεσι χρῆται, ὥστε ὑπὸ τῆς ἡλιακῆς μόνης αὐγῆς, πατρός τε καὶ μητρὸς χωρὶς, τὸν ὄρνιν γίνεσθαι τοῦτον.

ΛΟΓΟΣ Β.

Λεκτέον δὲ περὶ τῶν ἀμφιβίων ὀρνέων, ὅσοι τῇ θαλάσσῃ χαίρουσι, καὶ ταῖς ἀκταῖς ἐφιζάνουσι, καὶ πρὸς τοῖς αἰγιαλοῖς ποιοῦνται τὰς καλιάς· ὧν ἐστι γένη πλείω τε καὶ ποικίλα· οὐ γὰρ ἐλάττους τρέφει τῆς γῆς ὄρνεις ἡ θάλασσα· οὐ μὴν μία φύσις τούτοις τε καὶ τοῖς χερσαίοις ἐστίν· ἀλλὰ τοῖς μὲν ἐπὶ ταῖς σαρξὶν ἀραιότερα κεῖται πτερὰ, καὶ πρὸς τὴν ταχεῖαν χρήσιμα πτῆσιν· πυκνὰ δὲ καὶ οὐδαμῶς πεφυκότα βρέχεσθαι περισκέπει τοὺς ἀμφιβίους, ὥστε νήχεσθαι αὐτοῖς ἀδιαβρόχοις ἐξεῖναι· καὶ πόρους ἔχουσιν ἐπὶ τῶν στομάτων πλατεῖς, δι' ὧν τὸν ληφθέντα ἰχθὺν παραπέμπουσιν εἰς τὴν γαστέρα εὐκόλως· ἀλλὰ καὶ στεγανοὶ τοῖς πλείστοις ποδὲς εἰσὶν, οἷς ἐπὶ τῶν ὑδάτων οἷα κωπαῖς[44] χρῶνται νηχόμενοι[45].

Περὶ Ἁλιαιετοῦ.

Καὶ φύσις μὲν αὐτοῖς οἵδε[46] κοινὴ, δυνάμει δὲ ὑπερβάλλουσι τοὺς λοιποὺς πάντας οἱ ἁλιαίετοι· τὸ μὲν εἶδος τοῖς χερσαίοις

42 ἴδει Cod. 43 ἣν Cod. 44 κοπαῖς Cod. 45 νυχόμενοι. 46 Sic.

Digitized by Google

ἀετοῖς ἐοικότες, βορᾷ[46] δὲ χρώμενοι θαλαττίᾳ, καὶ τοὺς ἰχθῦς μάλιστα θηρῶντες ἐκείνους, οἳ πλεῖν δοκοῦσιν ἐπ' ἄκρων ὑδάτων νηχόμενοι[47], ὥστε καὶ μέρος αὐτοῖς ἐκφανὲς εἶναι τοῦ σώματος· οὐ μὴν ἀεὶ χρηστὸν αὐτοῖς τὸ τῆς ἄγρας τέλος ἐστί. τοῖς γὰρ μείζοσι πολλάκις ἰχθύσι καὶ καμπύλας τῶν ὀνύχων ἐπιβάλλοντες ἀκμὰς, πρὸς μὲν τὸν ἄερα αὐτοὺς οὐκ ἰσχύουσιν ὡς βαρεῖς ἀνασπᾶσαι· καθελκόμενοι δὲ αὐτοὶ διαφθείρονται θᾶττον ἢ διαφθείρουσι, πρὸς τὸν τῆς θαλάσσης πυθμένα τῆς ὀδύνης τοὺς ἰχθῦς ἐπειγούσης· τῶν δὲ οὐκ ἰσχυόντων διαπαρέντας ἅπαξ ὑπεκλύσαι τοὺς ὄνυχας. τούτους φασὶ νόθους παῖδας ἀετῶν εἶναι χερσαίων, καὶ τῶν πατρῴων καλιῶν διὰ τοῦτο ἐξελήλασθαι· εἶτα ὑπό τισι τραφέντας ἄλλοις ὀρνέοις, τὰς ἐπὶ τῆς γῆς ἐκκλίνειν διατριβὰς, καὶ τοῖς πελάγεσιν ὑπερχαίρειν. οἱ ἁλιεῖς δὲ αὐτοὺς ὡς δυκτήν τινα καὶ αἴσιον[48] ὄψιν ἀσπάζονται.

Περὶ Καταράκτου.

Ὄρνις δέ τις ἔστιν ὡς οἱ τῶν λάρων ἐλάσσονες, ἰσχυρὸς δὲ καὶ τὴν χροιὰν λευκὸς, καὶ τοῖς τὰς φάσσας ἀναιροῦσιν ἱέραξι προσόμοιος, ὃς ὀνομάζεται καταράκτης. τῶν νηχομένων γὰρ τηρήσας τινας ἰχθύων, ὁρᾷ δὲ καὶ μέχρι τοῦ τῆς θαλάττης βυθοῦ, πρὸς ὕψος ἑαυτὸν αἴρει, καὶ τὰ πτερὰ πάντα συστείλας, εἰς τὸν πόντον οἷα πίπτων ἴεται, διατεμὼν τὸν ἄερα, παντὸς ἂν εἴποι τις ὀξύτερον. καὶ δύεται μέχρις ὀργυίαν[49] ἢ καὶ πλέον. ἔσθ' ὅτε συλλαβών τε τὸν ἰχθὺν ἀνασπᾷ καὶ ἱπτάμενος ἔτι πάλλοντα κατεσθίει. τοῖς σκοπέλοις δὲ καὶ τοῖς αἰγιαλοῖς ἐφιζάνει, καὶ ταῖς χοιράσι πέτραις, αἳ μικρὸν ὑποκύπτουσι τῆς θαλάσσης. καὶ πρὸς ποτὸν οὐ κατὰ τοὺς λοίπους ὄρνεις χρῆται ποταμοῖς ἢ πηγαῖς, ἀλλ' ὕδατι θαλασσίῳ· καὶ βρύα ὑπὸ τῶν πετρῶν τοῖς ᾠοῖς ὑποστρώννυσι· οὔτε θάλπων, καὶ τοῖς ἀνέμοις αὐτὰ διαπαντὸς ἐπιτρέπων. καίτοι καὶ ἐπὶ τοῖς ᾠοῖς τοιόνδε δρῶσιν οἱ καταράκται· οἱ μὲν ἄρσενες ἀναλαβόντες οἷς ἔνεστιν ἄρσενα, αἱ δὲ θήλειαι δὲ ὁμοίως τὰ θήλεα, καὶ τοῖς ποσὶν ἐπισφίγξαντες πρὸς τὸν ἀέρα ἀνίπτανται, καὶ κατὰ τοῦ πελάγους φέρεσθαι ἀφιᾶσιν· εἶτα πρὸς τὸ ὕδωρ ἑπόμενοι θᾶττον ἐξαρπάζουσι τοῦ πελάγους αὐτὰ, συνεχῶς τοῦτο ἔν τισι

46 βορρᾷ Cod. 47 νηχόμενοι Cod. 48 ἔσιον Cod. 49 ὀργίαν Cod.

Digitized by Google

ποιοῦντες ἡμέραις· οὕτω τε ἡ φορὰ θερμήνασα τῶν ὠῶν προσφέρει τοὺς νεοττούς. οἱ δὲ τὸ φῶς ἰδόντες, εὐθὺς ἐπὶ τῶν καλιῶν οὐχ ἀνέχονται διατρίβειν, ἀλλὰ τῇ τῶν τεκόντων ἕπεσθαι πτήσει φιλονεικοῦσιν· εἶτα οἱ γονεὶς ἀπολαβόντες αὐτοὺς πάλιν εἰς τὸν
5 βυθὸν ἀφιᾶσι, καὶ πάλιν ἁρπάζουσιν ἠπειγμένως, ἐλαφρίζοντες[50] τὸν πόνον αὐτοῖς· οὕτω γὰρ ἂν θᾶττον τῆς πατρῴας θήρας τὸν τρόπον ἐκδιαδέχθειεν. καί τις ἂν αὐτοὺς εἰκάσειε παισὶν ἐπὶ γεωργίαν ἑπομένοις γεγηρακότι πατρί· ὧν ὁ μὲν ἐπιθεὶς βουσὶν ἄροτρον ἀνατέμνει τὴν γῆν, ὁ δὲ ἡγεῖται, σίτον ἐπίσπορον ἐκχέων·
10 ἐργαζομένοις δὲ ὁ πατὴρ ἐφέστηκε, διδάσκων ἅμα καὶ γεγηθώς. οἱ καταράκται δὲ νέοι μὲν ὄντες ἔτι τοὺς βραχεῖς ἁρπάζουσι τῶν ἰχθύων, καὶ οὐδὲ τῶν ἀκτῶν ἵπτασθαι πόρρω θαρροῦσιν· αὐξηθέντες δὲ τοῖς μείζοσιν ἐφοπλίζονται· καὶ τῶν ἀμφιβίων πάντων κάκιον τελευτῶσιν ὀρνέων· ὑπὸ γήρως γὰρ αὐτοῖς τῆς ὄψεως ἀμβλυν-
15 θείσης, ἡγοῦνται μὲν ἐπὶ τὸ πέλαγος φέρεσθαι, τῆς ἄγρας ἐφιέμενοι τῆς συνήθους· πέτραις δὲ καὶ κρημνοῖς περιρηγνύμενοι διαφθείρονται.

Περὶ Τροχίλοι.

Καὶ οἱ τροχίλοι δὲ τῶν ἀμφιβίων ὀρνέων εἰσὶ, καὶ πρὸς τοῖς
20 αἰγιαλοῖς τρέχουσι οὕτω πολλάκις, ὡς ὀξύτερον αὐτῶν τῆς πτήσεως εἶναι τὸν δρόμον· ἔχουσι γὰρ καὶ τὴν προσηγορίαν ἐντεῦθεν. τοῖς μεγάλοις δὲ οὐκ ἐπιχείρουσιν ἰχθύσι, ἀλλ' ἀπόχρη θήρα καρκινάδος αὐτοῖς, ἢ συλλαβεῖν ἄλλό τι τῶν ὁπόσα πρὸς τοὺς αἰγιάλους ἐκφέρει τὰ κύματα. νέμονται οἱ ἄρσενες μετ' ἀλλήλων,
25 καὶ χωρὶς πάλιν αἱ θήλειαι· καὶ τοῦ ἄρρενος ἐπιστάντος ἐπειγόμεναι πρὸς συνουσίαν αἱ θήλειαι, πρότεραι τοῖς ἄρρεσιν ἐφορμῶσι· καὶ μικρόν τι παρ' αὐτοῖς οἷον ᾄδουσι τετριγυῖαι, οὕτω τε ἐκκαλοῦνται πρὸς μίξιν· καὶ τῇ προτροπῇ μόλις ἐνδόντες οἱ ἄρρενες, μίγνυνται, μέχρις ἂν πεποιηκέναι ὠὰ διὰ τῆς μίξεως οἰηθῶσι, καὶ
30 πρὸς τὰς αὐτῶν πάλιν ἕκαστοι χωροῦσι νόμας[51]· τῶν ἀρρένων μὲν οὐδὲ μικρὸν ἔτι λόγον τῆς τῶν παίδων ἐκτροφῆς ποιουμένων, οὐδὲ τῆς μίξεως μνήμην· τῶν θηλειῶν δὲ ἐπὶ τοῖς νεοττοῖς καμνούσων, καὶ πρὸς ἀλλήλας τὴν σπουδὴν νεμομένων· αἱ μὲν γὰρ τὰ ὠὰ

50 ἐλαυριζοντες Cod. 51 νόμον Cod.

Digitized by Google

θαλποῦσαι, μένουσιν ἐν ταῖς καλιαῖς· αἱ δὲ τροφὴν συγκομίζουσι ταῖς θαλπούσαις· καὶ δρῶσι τοῦτο ἀμοιβαδὸν, τὰ ὠὰ τῇ τῶν πτερῶν θερμαινοῦσαι παραψαύσει· εἶτα ἐπὶ τὸν αἰγιαλὸν τοὺς νεοττοὺς ἄγουσιν αὐξηθέντας, ἐν ᾧ τοῖς ἄρρεσι νέμεσθαι φίλον· καὶ μερισθέντες οὕτως ἕπονται τοῖς τε ἄρρεσι καὶ ταῖς θηλείαις 5 οἱ παῖδες· ὥστε ἐοικέναι προβάτοις ὑπὸ τῶν ποιμένων μετὰ τὰς ἐν ταῖς νομαῖς συμμίξεις χωριζομένοις.

Περὶ Λάρου.

Οἱ λάροι ἀνθρώποις εἰσὶ προσφιλέστατοι, καὶ πλησίον αὐτῶν οἰκοῦσιν ὡς συνηθέστατοι· καὶ εἰ θεάσαιντο σαγήνην ἁλιέας ἐξέλ- 10 κοντας, ὡς κοινωνοὶ τῆς ἄγρας πλησιάζουσι τοῖς ἀκάτοις· καὶ περὶ τὰ δίκτυα κεκραγότες, μοῖραν ἀπαιτοῦσι τῆς θήρας· καὶ παρέχουσιν οἱ γριπεῖς, κατὰ τῆς θαλάττης ῥίπτουντες τῶν ἰχθύων τινάς· οἱ δὲ τούς τε ῥιπτομένους ἐπιδραμόντες ἐσθίουσι· καὶ εἴ τινες διεκφύγοιεν, ἄλλοι τῶν λίνων ἐκδέχονται μάλα ἑτοίμως 15 αὐτούς· ὥστε εἶναι δόξαν, ὅτι ποτὲ γεγονότες ἄνδρες, καὶ πρῶτοι θήραν τὴν θαλασσίαν εὑράμενοι, καὶ θεῶν βουλήσει μεταβληθέντες εἰς ὄρνεις, τῆς παλαιᾶς ἔτι μέμνηνται ἐπιστήμης, οὐ πόρρω τῶν πόλεων καὶ τῶν λιμένων ἱπτάμενοι. πλείω δέ ἐστι γένη τῶν λάρων· καὶ οἱ μὲν αὐτῶν λευκοί τε εἰσὶ, καὶ ὡς αἱ περι- 20 στεραὶ βραχεῖς· οἱ δὲ τούτων μέν εἰσι μείζους καὶ ἰσχυρότεροι, πυκνοτάτοις δὲ πτεροῖς περισκέπονται· καί τινες ἔτι καὶ τούτων εὐμεγεθέστεροι· λευκὰ δέ ἐστι καὶ τούτοις πτερὰ, πλὴν ὅσον ἐπὶ ταῖς ἀκροτάταις πτέρυξι καὶ τοῖς τραχήλοις μελαίνονται. καὶ τούτοις ἅπαντες οἱ λοιποὶ λάροι νομῆς τε καὶ ἕδρας παραχωροῦσι, 25 καὶ ὡς βασιλεῦσιν ὑπείκουσι· καὶ γηράσκουσι δὲ αὐτοῖς κυανὰ[51] γίνεται πτερὰ, καὶ κατὰ τῶν πετρῶν, ἐν αἷς μάλιστα ὕδωρ τῆς γῆς πότιμον ἀπορρεῖ, νεοττεύουσιν· ὥστε τοὺς παῖδας θαλασσίᾳ μὲν τροφῇ, γλυκεῖ δὲ ὕδατι χρῆσθαι, μέχρις ἂν αὐξηθέντες ἰσχύσωσιν ἀφίπτασθαι τῶν καλιῶν· τότε δὲ καὶ τροφῇ καὶ ποτῷ χρή- 30 σονται θαλασσίῳ. πρὸς δὲ νήξεως τάχος οὐκ ἂν ὄρνις ἕτερος ἐρίσειε λάρῳ.

51 Sic.

Digitized by Google

Περὶ Αἰθτιῶν.

Αἱ δὲ αἰθυῖαι τροφῆς μὲν ἀεὶ πλείστης ὀρέγονται, καὶ οὐκ ἄν ποτε λιμώττουσαι κορεσθεῖεν· τοὺς δὲ ἐσθιομένους ἰχθύας εὐθὺ διὰ τῆς ἕδρας ἐκκρίνουσι, ὡς καὶ ζῶντας ἀποπέμπειν ἔκτογε[52]. καὶ μόναι τῶν ἀμφιβίων ὀρνίθων καὶ ταυτὸν θηρῶσί τε καὶ ἵπτανται καὶ ἐσθίουσι, καὶ μάλιστα τοὺς γόγγρους καὶ τὰς ἐγχέλυς καὶ τοὺς ἄλλους δὲ ἰχθύας, οἷς ὀλισθηρὸν[53] σῶμά ἐστιν· ἄλλα καὶ μένουσιν ἐπὶ πλεῖστον ὑποβρύχιοι καταδῦσαι, καὶ τοὺς ἰχθύας διώκουσιν ὡς δέλφινες[54] ἢ κύνες· καὶ οὐκ ἐν τοῖς πελάγεσι μόνον, ἀλλὰ καὶ ἐν ταῖς λίμναις εἰσὶ, μάλιστα εἰ ταράχη τις ὑπ' ἀνέμων ἔχοι τὴν θάλασσαν· τότε γὰρ οὐκ ἐθέλουσιν ἐνδιατρίβειν αὐτῇ· καὶ μόνας ταύτας ἐκ πάντων φασὶ τῶν πτηνῶν, μήτε ἀφιέναι φωνὴν, μήτε ἀκούειν δύνασθαι.

Περὶ Πελεκίνοτ.

Καὶ τοὺς πελεκίνους, οἷς εἰσὶν οἱ τράχηλοι μήκιστοι, τροφῆς ἔχει πόθος οὐ μείων· ἀλλ' οὐ πάντι κατὰ τὰς αὐθυίας τῷ σώματι καταδύουσι· ὡς οἱ κυβιστῶντες δὲ τοὺς μὲν τραχήλους συνεχῶς ὑπὲρ θαλάσσης δεικνύουσι, καὶ τοὺς ἀπαντῶντας κατεσθίουσι πάντας ἰχθύας, μεγίστῳ χάσματι προσδεξάμενοι. καί τις κόλπος αὐτοῖς ἐξήρτηται πρὸς τῶν στέρνων, εἰς ὃν ἅπασαν τὴν τροφὴν ἐπειγόμενοι τέως ἐμβάλλουσιν, οὔτε τῶν κτενῶν οὔτε τῶν σκληρῶν μυῶν ἀπεχόμενοι· σὺν δὲ αὐτοῖς τοῖς σκέπεσιν τέως τὸ προστυχὸν παραπέμποντες, εἶτα ἀνιμώμενοι πάλιν ἅπαντα τεθνεῶτα· καὶ οὕτω τὰς μὲν σάρκας ἐσθίοντες, τὰ δὲ ὄστρακα πόρρω ῥιπτοῦντες· μεμυκότα[55] γὰρ ἐν τῷ ζῆν, μετὰ τὴν τελευτὴν ἀνοίγνυται καὶ διΐσταται.

Περὶ Ἀλκύονος.

Τῶν ἀλκυόνων[56] δὲ οὐκ ἂν εἴποι τις εἰς φωνὴν ὄρνις ἴδιον οὐδὲ τοῖς θεοῖς τοῖς θαλαττίοις προσφιλέστερον· οἳ καὶ γαλήνην αὐταῖς τὰ κύματα παύοντες, καὶ ἀπνοίαν παντελῆ παρὰ τὸν καιρὸν χαρίζονται τῶν ὀδῦνων[57]· ἐν ἡμέραις ἑφεξῆς ἑπτὰ τικτούσαις τε καὶ ἐκτρεφούσαις τοὺς νεοττούς. Νηρηΐδων δὲ εἶναι τοῦτο δῶρον ἐπὶ

52 Sic. 53 ὀλησθηρὸν Cod. 54 δέλφηνες. 55 μεμυκῶτα Cod.
56 ἀλκίονων Cod. 57 ὠδίνων voluit.

Digitized by Google

φιλανδρίᾳ πιστεύεται, ὅτι τὸν αὐτῆς ἄνδρα Κήϋκα ἐν τῷ πελάγει διαφθαρέντα θρηνοῦσά ποτε ἀσχέτως ἡ Ἀλκύων[57], μετεβλήθη μὲν εἰς ὄρνεον, τοῦ δὲ πάθους οὐκ ἐπιλέλησται. φιλοῦσι δὲ οὕτω τὴν θάλασσαν, ὡς παρ' αὐτοῖς τοῖς κύμασι τιθέναι τὰς καλιὰς, καὶ τὰ μὲν στέρνα βρέχειν, τὴν οὐρὰν δὲ ἐπιτιθέναι τῇ χέρσῳ. ἀλλ' 5 οὔδε κάρφη τῆς γῆς κατὰ τοὺς λοιποὺς ὄρνεις, βρύα δὲ καὶ ἀμπελίδας καὶ βόστρυχας καὶ ὠτακίδας καὶ βοτάνας ἑτέρας ἐκ τοῦ πελάγους συλλέξασαι ποιοῦνται τὰς καλιάς. καὶ εἰ τὸν ἄρρενα τελευτῆσαι συμβαίνῃ, βορᾶς ἀπεχόμεναι καὶ ποτοῦ παντὸς ἐπιπολὺ θρηνοῦσι καὶ διαφθείρονται· καὶ τὰς ᾠδὰς δὲ εἰ κατα- 10 παύειν μέλλοιεν Κήϋξ συνεχῶς ἐπὶ ποῦσαι[58] σιγῶσι. Κήϋκος δὲ φωνῆς μήτε ἐγὼ, μήτ' ἄλλος ἀκούσειε[59] τις· φροντίδας καὶ τελευτὰς σημαίνει καὶ δυστυχήματα· διόπερ αὐτοὺς ἐν νυκτὶ νέμεσθαι, παρὰ τὰ μέρη τῶν λιμνῶν καὶ τῶν ποταμῶν διάγειν τὰ ἐρημότατα πεποίηκεν ὁ Ζεὺς, ὡς ἂν μὴ τοῖς ἄνδρασι διενοχλοῖεν. 15

Περὶ Ἐρωδιοῦ.

Φίλτατοι δέ εἰσιν οἱ ἐρωδιοὶ τοῖς ἀνθρώποις καὶ προσημαίνουσι θήραν[60] τε καὶ χειμῶνα, μάλιστα πρὸς ἐκεῖνο τὸ μέρος, ὅθεν ἂν μέλλῃ σφοδρότατος ἄνεμος πνεῖν, ἐπὶ τοῖς στήθεσι τὰς κεφαλὰς κατακλίνοντες. ναύτης γοῦν οὐκ ἄν ποτε ἑκὼν ἐρωδιὸν ἀποκτείνειεν, 20 ἐπειδὴ πιστεύονται τοῖς ἁλιεῦσιν ἐν τῇ θαλάττῃ σημαίνειν, ὅποσα τοῖς θηραταῖς ἐπὶ τῆς γῆς οἱ ἱέρακες. φασὶ δὲ αὐτοὺς καὶ ἠνίκα μία τροφὴ ἦν τοῖς ὀρνέοις πρώτη, βορὰν ἐκ τῶν ὑδάτων εὑρεῖν, καὶ παρ' αὐτῶν τοὺς λοιποὺς πάντας ἐκδιδαχθῆναι. ἐπὶ δὲ τῇ τέχνῃ μεγαλαυχήσαντας, καὶ οὐδὲ αὐτὸν εἰπόντας ὑπὲρ νήξεως ἐρίζειν 25 δύνασθαί σφισι τὸν Ποσειδῶνα, τὴν ἐπιστήμην ἀποβαλεῖν, τοῦ θεοῦ μηνίσαντος[61]· ὃ καὶ τῷ Θαμύρᾳ φασὶ μέγα ἐπὶ ταῖς ᾠδαῖς φρονοῦντι πεποιηκέναι τὰς Μοῦσας. ἐντεῦθεν οὖν οἱ μὲν λοιποὶ πάντες ὄρνεις ἐς τὸ ὕδωρ δύναντες θηρεύουσι τοὺς ἰχθύας· οἱ δὲ ἐρωδιοὶ τοῦ νήχεσθαι στερηθέντες ἐπὶ τοῖς αἰγιαλοῖς ἑστῶτες 30 ἀγρεύουσι· σοφόν τι μηχανώμενοι καὶ χάριεν πρὸς τὴν τῶν ἰχθύων ἀπάτην. ἵστανται ἐπὶ τῶν ἡλιακῶν ἀκτίνων ἀπεναντίον, ὡς μὴ τὴν σκιὰν αὐτῶν τοὺς ἰχθύας ὁρῶντας ἐκκλίνειν. καὶ ἐστὶν αὐτῶν γένη

57 ἀλκηὼν Cod. 58 Sic. 59 ἀκούσει Cod. 60 Leg. θέρος
61 μηνύσαντος Cod.

Digitized by Google

μύρια· οἱ μὲν γὰρ βραχεῖς τε εἰσὶ καὶ λευκοὶ, ἄλλοι δὲ ποικίλοι καὶ μείζονες· μέσοι δὲ ἕτεροι· καὶ τοῖς μὲν οὐκ ἔστιν ἐπὶ τῆς κεφαλῆς πλόκαμος, ἄλλοις δὲ ὥσπερ τις βόστρυχος ἀπηώρηται. καὶ ζῶντες ἅπαντες ἐκ θαλάσσης, ἐπὶ τῆς γῆς ποιοῦνται τὰς καλίας.

Περὶ Ἱμαντόποδος.

Οἱ δὲ ἱμαντόποδες λεπτοῖς μὲν σχέλεσι χρῶνται, καὶ ἔχουσι τὴν προσηγορίαν ἐκ τούτου· καινὸν δὲ ἐπ' αὐτῶν ἐστὶν, ὅτι τὴν κάτωθεν γένυν ἔχοντες πεπηγυῖαν, μόνην κινοῦσι τὴν ἄνωθεν.

Περὶ Κέπφοτ.

Κέπφον δὲ ἕτερον ὄρνεον ἐκ τῆς κουφότητος οἱ ἁλιεῖς ὀνομάζουσι· τὸ γὰρ ὕδωρ ἄκρον τοῖς ποσὶν ἐπιτρέχει· καὶ σημαίνει τοῖς ἁλιεῦσιν ἐπιτυχίας. διατρίβουσι δὲ ἔνθ' ἀμείνους τῶν ἰχθύων ὦσιν ἀγέλαι, καὶ μάλιστα τοῖς θύνοις ἕπονται· ὅτι τοὺς βραχυτέρους οὗτοι κατατέμνοντες τοῖς ὀδοῦσιν ἰχθύας, σάρκας τινὰς, αἷς οἱ κέπφοι τρέφονται, καταλιμπάνουσιν ἐν τοῖς ὕδασι. καὶ μὴν καὶ δελφῖσιν ἀκολουθοῦσι, τροφὴν τὸ αἷμα ποιούμενοι τῶν ἰχθύων, οὓς ἂν ἀποκτείνουσιν οἱ δελφῖνες· καὶ αὐτὴν δὲ τὴν θαλάσσης ἄχνην ἐσθίουσι· καὶ οὐκ ἄν τις τοὺς κέπφους ἀργοῦντας ἢ καθεύδοντας οὔτε ἐπὶ τῆς γῆς ῥαδίως οὔτε ἐπὶ τῆς θαλάσσης θεάσαιτο· ἀλλ' ἢ θηρῶσιν ἢ πέτονται· καὶ τὰς βροντὰς οὕτω δεδίασιν, ὥστε εἰ βροντῆς ἀκούσαιεν, ἐκ τοῦ ἀέρος πίπτειν εἰς θάλασσαν· εἴτε παρ' αὐτῆς, εἴτε, παρὰ τοῦ ἀέρος τίκτονται· καὶ γὰρ ἡ γῆ τινὰς καρπὸς ἐπὶ ταῖς βρονταῖς ἀνίησιν αὐτομάτως.

Περὶ Ἐλαφίδος.

Ἐλαφὶς δὲ ὄρνις ἐστὶ τὰ πτερὰ πάντα ἐπὶ τοῖς νώτοις[60] ἐλάφων ἔχων ἐοικότα θριξί· καὶ τρέφεται κατὰ τοὺς χερσαίους ἴλυγγας, τὴν γλῶσσαν μηκίστην οὖσαν ὥσπερ ὁρμιὰν εἰς τὸ ὕδωρ ἐπιπολὺ καθιεῖσα· οὕτω τε κατὰ μικρὸν ἐπὶ τὸν λαιμὸν ἀνέλκουσα τὸν ἰχθὺν ἀπατηθέντα καὶ ἐπιψαύσαντα· καὶ πρὸς ταύτην μοι δοκοῦσι ἰδόντες πρῶτον οἱ ἁλιεῖς τῶν μακρῶν καλάμων ἀπαρτῆσαι τριχὰς ἱππίους.

60 νότοις Cod.

Digitized by Google

Περὶ Κολύμβων, Θραικὸς, Δυτίνου, Κίρρεως.

Τοῖς κολύμβοις δέ ἐστιν ἄγαν τὸ νήχεσθαι φίλον· καὶ οὐδ' ἂν ὕπνου χάριν ἢ τροφῆς ἐπὶ τὴν γῆν ἔλθοιεν, οὐδὲ χειμὼν αὐτὰς ἢ νὺξ τοῦτο συναναγκάζει· ἀλλ' ἐπὶ τῶν κυμάτων εἰσὶ, τὸ κρύος μὴ δεδοικότες· καὶ νήχονται τῶν ἀνέμων ἀπεναντίον, ὡς ἂν μὴ τῇ σφοδρότητι βιασθέντες ἐπὶ τὴν γῆν ποτὲ καὶ παρὰ γνώμην ἐξενεχθεῖεν. ταυτὸν δὲ καὶ οἱ θράκες ὀνομαζόμενοι καὶ οἱ δύτινοι ποιοῦσιν ὄρνεις, ἐπὶ τὴν γῆν μόνην ὡς πιστότεραν, ἡνίκα ἂν τίκτωσιν, ἐξίοντες. Ἡ δὲ κίρρις ἀξίαν τῶν ἀσεβημάτων δίδωσι δίκην· ὅτι τοῦ Μινῶος ἐρασθεῖσα καὶ τὸν πορφυροῦν τοῦ πατρὸς πλοκάμον[61] ἐκτεμοῦσα τὴν πατρίδα εἵλετο προδοῦναι τῷ Μίνωι· ὁ δὲ τὴν προδοσίαν καὶ μετὰ τὴν νίκην μεμψάμενος, ἀπέδυσέν[62] τε αὐτὴν τῆς νέως, καὶ κατὰ τῆς θαλάττης εἴασε φέρεσθαι· καὶ μεταβέβληται μὲν οὕτως εἰς ὄρνεον αὕτη· μισεῖται δὲ παρὰ πάντων ὀρνέων· κἂν ἁλιαίετος αὐτὴν θεάσηται πλανωμένην, εὐθὺς ἐπιθέμενος διαφθείρει.

Περὶ Θεοκόρνου.

Εἷς τῶν ἀμφιβίων ὀρνίθων ἐστὶ καὶ ὁ θέοκορνος, ὃς ἐξ ἀετῶν εἶναι νόθος καὶ ἱεράκων πιστεύεται. τὴν γονὴν δὲ αὐτοῦ τοιάνδε παλαιός τις βούλεται λόγος. ἔστι τι γένος οὕτω μάχλον ἱέρακος ὡς ἐν ταῖς ἐαριναῖς ὥραις πᾶσαν ἀποτίθεσθαι τὴν ἰσχὺν, καὶ παρὰ τῶν βραχυτάτων στρουθῶν καταδάκνεσθαι· τοῦ θέρους δὲ ἐπελθόντος, καὶ τὸν ἀέρα τοῦ σειρίου φλέγοντος, ἀναλαμβάνει τὴν δύναμιν· καὶ τοὺς μὲν στρουθοὺς κρίζων φοβεῖ, καὶ συλλαμβάνων ἐσθίει· καὶ δοκεῖ πως αὐτοῖς τὰς ὕβρεις ἐγκαλεῖν τὰς προτέρας. εἰ δὲ ἀετοῦ θηλείας ἀκούσει, προσίπταται αὐτῇ, καὶ μίγνυται πολλάκις ἐξαπατήσας· ἡ δὲ ὑπὸ τοῦ χείρονος ὄρνιθος εἰς τὸ κύειν ἐλθοῦσα, οὔτε θάλπειν ἀξιοῖ τὰ τεχθέντα ὠὰ, καὶ ὡς ἂν λάθοι πόρρω που τῶν ἀετῶν ἵπταται τῶν ἀρρένων· εἰ γὰρ αἴσθοιντο[63], διαφθείρουσιν ἐξελαύνοντες ἐπὶ τῇ μοιχείᾳ πάντως αὐτήν· τῶν ἡλιακῶν δὲ ἀκτίνων[64] θερμαινούσων[65] τὰ ὠὰ, οἱ νεοττοὶ προκύψαντες τοὺς ἀμφιβίους εἰσὶν ἰχθυσιν ὀλέθριοι.

61 πλοκάμοις Cod. 62 ἀπέδησέν Cod. 63 ἔσθοιντο Cod.
64 ἀκτήνων Cod. 65 θερμενούσων Cod.

Digitized by Google

Περὶ Γύγου.

Καὶ γύγης ὄρνις ἐστιν ἀναβοᾶν[66] ἀεὶ ᾄδειν τοῦτο δοκῶν· καὶ τὴν προσηγορίαν ἔχειν ἐντεῦθεν, ὃς τοὺς ὄρνεις ἐν νυκτὶ κατεσθίει τοὺς ἀμφιβίους· καὶ ἐκείνου γλῶσσαν εἴ τις ἀποτέμοι χαλκῷ, καὶ φαγεῖν δοίη[67] τὸ μήπω λαλοῦν τι παίδιον, πάντως αὐτοῦ τάχεως λύσει τὴν σιωπήν.

Περὶ Γεράνου.

Σοφὰ δὲ πλεῖστά ἐστι τῶν μέγιστα κλαγγανόντων γεράνων βουλεύματα· καὶ τοῦτο ἱστέον περὶ αὐτῶν. συλλεχθείσας ἅπασας, ὅταν μέλλωσιν ἀπολιμπάνειν τὴν Θρᾴκην, ἁγνίζει μία καὶ ἀνακράζει· οὕτω τε ἀφίπτανται πᾶσαι, τῆς μιᾶς μελλούσης, ἥπερ[68] αὐτὰς ἥγνισεν ἀθροισθείσας. τὰς πρεσβυτέρας δὲ ἐν τῇ πτήσει τάττουσι πρώτας, ὡς ἂν μὴ κάμνοιεν, ἀκολουθεῖν τοῖς νέοις ἀναγκαζόμεναι. καὶ κραυγὴν ἀφιᾶσιν ὑπὲρ τοῦ μὴ ἀπ' ἀλλήλων χωρίζεσθαι· καὶ εἴτινος καμνούσης αἴσθοιντο, δύο τὴν κεκμηκυῖαν ἑκατέρωθεν ταῖς πτέρυξι λαβοῦσαι ὑποκουφίζουσιν, καὶ ἐπὶ τὸν νῶτον φέρουσι, τὸν τῆς ὁδοιπορίας παραμυθούμεναι πόνον· κατὰ τάξιν δὲ ὡς ἀνδρῶν ἐπὶ πόλεμον ὡρμημένων ἵπτανται στῖφος· καὶ οὕτω ἀθροισθεῖσαι καὶ ἀποτείνασαι[69] πάλιν εἰς μῆκος λίθους φέρουσι[70], οὓς ἐξαιρῶσαι γινώσκουσιν, εἴτε ἐπὶ τῆς γῆς, εἴτε ἐπὶ τῆς θαλάσσης αὐταῖς ἵπτησις ἀνύεται· καὶ χαίρουσι ταῖς εὐδίαις· κἂν χειμῶνα αἴσθοιντο, τῇ γῇ προσορμίζονται μέχρι[71] σταθερᾶς πάλιν εὐδίας καὶ νυκτὸς ἐπιλάβοιεν. ἐπὶ τοὺς ποταμοὺς σπεύδουσι, καθέζονταί τε ἐν μέσοις τοῖς ἐκείνων γηλόφοις, οὓς ὥσπέρ τινας νήσους περιρρεῖ τὸ ὕδωρ περισχιζόμενον. καὶ ποιοῦσι τοῦτο φόβῳ τῶν ἐπιβουλευόντων θηρίων· ὡς ἢ διελθεῖν τὸ ὕδωρ οὐκ ἰσχυόντων, ἤ τινα ποιούντων ἦχον, ὃς ἐξαναστήσει τε καὶ εἰς φυγὴν τρέψει πάντως αὐτάς. καθεύδουσί τε ἐφ' ἑνὸς σκέλους ἑστῶσαι, καὶ τὰς κεφαλὰς ταῖς πτερυξὶν ἐπικαλύπτουσι. φύλακες δέ εἰσιν αὐταῖς πάντως καὶ ἡγεμόνες οἱ περινοστοῦντες· καὶ εἴτε ἀνδρὸς αἴσθοιντο[72] προσιόντος, εἴτε θηρίου, βοῶσι μέγα καὶ τὴν ἔφοδον σημαίνουσι ὡς ἂν φθάσαιεν ἀποδρᾶσαι.

66 ἀναβοὰν Cod. 67 Corr. Cod. ⲟⲩⲱⲁϩ̀ δοιει. 68 εἴπερ Cod. 69 Sic. 70 est parv. lac. 71 μέχρη Cod. 72 ἔσθοιντο Cod.

Digitized by Google

Περὶ Χηνός.

Καὶ οἱ χῆνες δὲ ὁμοίως ἔχουσι τῆς τε πτήσεως ἡγεμόνας καὶ τοῦ ὕπνου φρουροὺς ἀναβοῶντας ἀεὶ· καὶ γὰρ ἀτερπεστάτῃ φωνῇ χρώμενοι, σφόδρα ὀλιγάκις σιγῶσιν, ὡς καὶ λίθους ἐντιθέναι τοῖς στόμασι, ὅτε δέῃ σιγῆς, ὡς οὐχ ἑτέρως καρτεροῦντας αὐτήν. ποιοῦσι δὲ τοῦτο φόβῳ τῶν ἀετῶν· ἡνίκα ἂν τὸ ὄρος δέῃ διαπτῆναι τὸν Ταῦρον. καὶ ταῦτα μὲν εἰσὶ συνετώτατοι, πρὸς δὲ τὰς νομὰς ἄφρονες· τῶν τόπων γὰρ εἰ καὶ καλλίστης ἐν αὐτοῖς νομῆς τύχοιεν, ῥᾷστα ἐπιλανθάνονται, καὶ διὰ τοῦτο εἰσὶν ἐν πλάναις ἀεί. καίτοι κέρδος αὐτοῖς ἐκ τῆς τοιαύτης πλάνης ἐστὶν, οὕτως γὰρ ἁλίσκονται[73] ῥαδίως παρὰ τῶν τηρεῖν τὰς τῶν ὀρνέων διατριβὰς, καὶ ῥίπτειν ἐπὶ τοῦτο[74] σπέρματα εἰωθότων, ὡς διὰ τὴν λήθην ἐπὶ τοὺς αὐτοὺς τόπους ἀφικνούμενοι.

Περὶ Κύκνου.

Οἱ κύκνοι δὲ ἐπὶ τοῖς λειμῶσι καὶ ταῖς ἀκταῖς τρέφονται, καὶ ταῖς λίμναις· καὶ ἀντηχοῦσι ταύταις ᾄδουσιν οἵτε σκόπελοι καὶ αἱ φάραγγες. καὶ μουσικωτάτους πάντων τούτους ἴσμεν ὀρνίθων, καὶ ἱεροὺς καλοῦσιν Ἀπόλλωνος. ᾄδουσι δὲ οὐχὶ θρηνῶδες ὥσπερ αἱ ἀλκυόνες, ἀλλ' ἡδύ τε καὶ μελιχρὸν, καὶ οἷον αὐλοῖς ἢ κιθάραις[75] χρώμενοι· καὶ εὐσθενεῖς δέ εἰσι, καὶ πρὸς τὰ ὕψη πολλάκις ἱπτάμενοι πρὸς τοὺς ἀετοὺς μάχονται, εἴτε αὐτοῖς ἐπιχειροῖεν, εἴτε τοῖς νεοσσοῖς· οὐ μὴν ἄρχονται μάχης ἀλλὰ τὴν εἰρήνην στέργουσι, μέχρις ἂν ᾄδειν ἐξῇ· τοῦτο γὰρ καὶ τροφῆς[76] ἡγοῦνται γλυκυτέρον.

[73] Leg. οὐκ ἁλ. [74] τούτω Cod. [75] κιθάρες Cod. [76] τροφὴν Cod.

Cætera in Codice desunt, nullo tamen apparente defectus indicio. Hæc porro, ut in eo exstant, exhibere potius duxi, quam ex Eutecnii ut vocant paraphrasi recensere, ut nostri Codicis indoles seorsim melius dijudicetur. Hanc autem paraphrasin Eutecnii abnegandam esse, jure, ut opinor, arbitratus est Schneiderus, quoniam nullius Codicis manuscripti auctoritate huic assignari videtur. (Vid. Adnott. in fine Oppian. ed. 1776.) Sed utcunque de hoc credendum sit, extra omne dubium nostro Codice probatum est, Poema de Avibus et Ancupio, Dionysium, non Oppianum, habuisse auctorem.

Digitized by Google

Cod. 1642. Chart. Sæc. XV. Cont. Xenoph. multa et Platon. Appian. Exc. Civ. Bell. et f. 276, v.

Τοῦ Φιλῆ κυροῦ Μανουὴλ τοῦ Ἐφεσίου στίχοι εἰς τὸν βασιλέα Ἀλέξανδρον.

5 Ὁ μὲν τύχη δείκνυσι, καλύπτει χρόνος·
ὃ δὲ χρόνος δίδωσιν, ἁρπάζει φθόνος.
ἀλλὰ τὸν Ἀλέξανδρον αἰδοῖ τῶν πόνων
τύχη μὲν ἀπέφηνε παντὸς βελτίω·
χρόνος δὲ λαβὼν ὑπέρεσχε τοῦ φθόνου.
10 αἱ γὰρ ἀγαθαὶ τῶν φιλοστόργων φύσεις
λαθεῖν εὐγενῶς οὐκ ἐῶσι τὸν μέγαν.
ἐπείπερ αἱ μὲν δεξιοῦνται τοῖς λόγοις,
αἱ δὲ χρόαις γράφουσι τὸν στεφανίτην.
Παγκόσμιος γὰρ εὐτυχεῖ τοῦτον πίναξ
15 τοῖς ἀνδραγαθήμασιν ἐστηλωμένον.
ἐγώ γε μὴν τὸν ἄνδρα καὶ πρὶν θαυμάσας,
νῦν μᾶλλον ὑμνῶ τῆς πολυζήλου τύχης.
ἔτι γὰρ ἡβῶν τῶν γερόντων ἐκράτει,
καὶ χρημάτων ἤσκησεν ὑπεροψίαν·
20 ἀρχὴν ἑαυτῷ παγγενῆ θησαυρίσας,
καὶ πταιστὸς ὢν ἄπταιστος εὐθὺς εὑρέθη·
καὶ γυμνάσας τὸ σῶμα τοῖς ὑπὲρ φύσιν
μόνος τὸ πᾶν κατέσχεν ἀπτέρῳ τάχει.
αὐτῷ δὲ τῆς γῆς οὐκ ἀποχρώσης ὅλης,
25 καὶ δευτέραν δήπουθεν ἐζήτει κτίσιν.
κἂν εἶχεν αἰθὴρ δυσμενεῖς ἀπροσμάχους
ἐκ μηχανῆς ἂν εἷλε κἀκείνους τάχα.
πλουτεῖ δὲ νυνὶ καὶ τελευτήσας φίλους
οὓς ἂν περιὼν ἦγεν αὐτὸς ἐν φίλοις.
30 Πατρικιώτης μαρτυρεῖ λέγοντί μοι.
καὶ τόνδε γὰρ ἔδειξε λαμπρὸν ὁ χρόνος
ἐν τῇ καθ' αὑτὸν ὀλβιούμενον φύσει.
ὃς ὢν φιλαλέξανδρος ἁπάντων πλέον

Digitized by Google

μᾶλλον δὲ φιλότιμος ἐκ τῶν πρακτέων,
μικροῦ μὲν αὐτὸν πανταχοῦ ζῶντα βλέπει,
καὶ τὴν πρὸς ἐχθροὺς δραστικὴν τύχην πνέει·
φανεὶς ἐφ' ἡμῶν συμφυὴς Ἡφαιστίων.
γράφειν δὲ καὶ πρὸς μέτρον ὑπήλειψέ με 5
τὰς τοῦ μοναρχήσαντος ἀνδραγαθίας.
ἐτίμα γὰρ δὴ καὶ τὰ μέτρα τῶν στίχων
ὁ φιλομουσότατος εὐθὺς ἐκ βρέφους·
πάντως δὲ ναρκᾶν οὐδαμῶς ἦν τὸν φίλον,
τοσοῦδε θεσπίζοντος ἀνδρὸς τὸ γράφειν, 10
καὶ τὸν πολυθρύλλητον ἐκφράζειν βίον.
ὃ γὰρ ἐκεῖνος ἔδρα τοὺς παλαιτέρους,
τοῦτ' αὐτὸς ἀντείληφεν ἐκ τῶν ὑστέρων·
καὶ τοὺς λόγους μάλιστα σεμνύνειν θέλων,
ἐν τῇ δυνάμει τῶν λόγων σεμνύνεται. 15
πλὴν ἀλλὰ νικᾷ πανταχοῦ καὶ τοὺς λόγους.
καὶ γὰρ τὸ νικᾶν ὥσπερ ἐξ ἔθους ἔχων
ὁ τρισαριστεὺς ἀντιπίπτει τοῖς κρότοις.
οὐ μὴν σιγῇ τὸν ἄνδρα παρελθεῖν δέον,
ὃς καὶ πρὸς ἐχθροὺς εὐμενὴς ἦν ἔσθ' ὅτε, 20
παντὸς μέσους ἄγευστον ἀθρῶν τὸ κράτος.

Τοῦ Αὐτοῦ, μεταφραστικοὶ ἀπό τινος τοῦ Λουκιανοῦ λόγων εἰς εἰκόνα ἔχουσαν ἐζωγραφημένην τὸν τοῦ Ἀλεξάνδρου γάμον.

Θάλαμος ἰδοὺ νυμφικὴν φέρων κλίνην,
ἐφ' ἧς ἀτέχνως εὐπρεπὴς ἡ Ῥωξάνη, 25
σκοπεῖ δὲ τὴν γῆν ὡς ὑπ' αἰδοῦς ἡ κόρη,
μὴ πρὸς τὸν Ἀλέξανδρον ἑστῶτα βλέπῃ.
Ἔρως δέ τις πάρεστιν ἐξ ὀπισθίου,
καὶ τῆς κεφαλῆς τὴν καλύπτραν ἑλκύσας,
τῷ νυμφίῳ δείκνυσι τὴν ποθουμένην. 30
ἄλλος δ' ἀφαιρεῖ τοῦ ποδὸς τὴν ἀρβύλην,
δουλοπρεπεῖ σχήματι καμφθεὶς εἰς γόνυ.
ταύτην γὰρ ἂν βούλοιτο καὶ κατακλίνειν.

Digitized by Google

ἄλλος δὲ τῆς χλανίδος αὐτὸς ἁρπάσας,
ἕλκει πρὸς αὐτὴν ἐμβριθῶς τὴν Ῥωξάνην.
ὁ γοῦν βασιλεὺς γειτνιῶν τῇ παρθένῳ,
πρὸ τοῦ γάμου στέφανον εὐθὺς εἰσφέρει.
5 καὶ νυμφαγωγῶν συμπαρῆν Ἡφαιστίων·
ὃς ἀπερεισθεὶς εἰς τὸ μειρακύλλιον,
τὸ φαιδρὸν, ὦ βέλτιστε, καὶ βρύον τόδε,
πρὸς γὰρ τὸν ὑμέναιον ἡ τέχνη βλέπει,
γαμηλίου δείκνυσι πυρσοὺς λαμπάδος.
10 ἄλλοι δ' ἔρωτες αὖθις ἡδεῖς ἐκτόπως,
ἐν τοῖς ὅπλοις παίζουσι τοῖς τοῦ νυμφίου.
οἱ μὲν γὰρ αὐτῶν, ὡς ὁρᾶν ἔχεις, δύο,
κατωμαδὸν σύρουσιν ἐκ τῆς ἀσπίδος,
λαβόντες αὐτῆς τὰς ἀπὸ σκύτους πέδας.
15 εἷς δ' ἄλλος εἰσδὺς ὕπτιον τὸν θώρακα,
τάχα τὸν ἐσμὸν ἐκταράξει τῶν φίλων.
ὅταν δ' αὐτὸν ἡ ῥοπὴ τούτους φέρῃ.
πλὴν οὐ γραφὴ καὶ μῦθος ἁπλῶς ἃ βλέπεις·
ἀλλ' ἔστιν εὑρεῖν ἀπὸ τῶν ὁρωμένων,
20 ὡς αὐτὸς Ἀλέξανδρος ἐλθὼν εἰς γάμους
τῶν ἀρεϊκῶν εἴχετο σπουδασμάτων.

Digitized by Google

Hoc Solonis fragmentum, licet jam notum sit, (Sol. Frag. 14. Ed. Gaisf.) repetere non gravabor propter varietatem lectionis; reperi in Cod. 1843. Sæc. XIII. f. 334. ad calc. Alexandr. Aphrod. in Top. Aristot.

Ἡρωελεγεῖα Σόλωνος πρὸς περίστασιν ἡλικιῶν. 5

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων
φύσας, ἐκβάλλει πρῶτον ἕπτ' ἂν ἔτεσιν.
τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσει θεὸς ἕπτ' ἐνιαυτούς,
ἥβης δὲ φαίνει σήματα γεινομένης.
τῇ τρίτῃ δὲ γένει ἀεξομένων ἐπὶ γυιῶν 10
λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης.
τῇ δὲ τετάρτῃ παῖς τις ἐν ἑβδομάδεσσιν ἄριστος
ἰσχὺν, ᾗ τ' ἄνδρες σήματ' ἔχουσ' ἀρέτης.
πέμπτῃ δ' ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι,
καὶ παίδων ζητεῖν ἐξοπίσω γενέην. 15
τῇ δ' ἕκτῃ κατὰ πάντα καταρτύεται νόος ἄνδρος,
ἐν δ' ἔρδειν ἔθ' ὅμως ἔργ' ἀπάλαμνα θέλει.
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μετ' ἀρίσταις,
ὄκτω δ' ἀμφότερον τεσσερεκαίδεκ' ἔτη.
τῇ δ' ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ' αὐτοῦ 20
πρὸς μεγάλην ἀρέτην γλῶσσά τε καὶ σοφίη.
τῇ δεκάτῃ δ' εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο,
οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου·

Ὁ μὲν οὖν Σόλων οὕτως· Ἱπποκράτης δὲ ἡλικίας ἑπτὰ εἶναί φησι, κ. τ. λ. 25

Digitized by Google

BIBLIOTHECA REGIA

ΕΚ ΤΟΥ ΠΑΠΠΟΥ[a].

Περὶ φθόγγων. περὶ διαστημάτων. περὶ γενῶν. περὶ συστημάτων. περὶ τόνων. περὶ μεταβόλων. περὶ μελοποιίας.

ΦΘΟΓΓΟΣ μὲν οὖν ἐστι φωνῆς πτῶσις ἐμμελὴς ἐπὶ μίαν τάσιν. διάστημα δὲ τὸ περιεχόμενον ὑπὸ δύο φθόγγων ἀνομοίων, ὀξύτητι καὶ βαρύτητι. γένος δέ ἐστι ποιὰ τεττάρων φθόγγων διαίρεσις. σύστημα δέ ἐστι τὸ ἐκ πλειόνων ἢ ἑνὸς διαστημάτων συγκείμενον. τόνος δέ ἐστι τόπος τὶς τῆς φωνῆς δεκτικὸς συστήματος ἁπλατής. μεταβολὴ δέ ἐστιν ὁμοίου τινὸς εἰς ἀνόμοιον μετάθεσις. μελοποιΐα δέ ἐστι χρῆσις τῶν ὑποκειμένων τῇ ἁρμονικῇ πραγματείᾳ· πρὸς δὲ τὸ οἰκεῖον ἑκάστης ὑποθέσεως.

Ταῦτα δὲ θεωρεῖται ἐκ φωνῆς ποιότητι, ἧς κινήσεις εἰσὶ δύο. Ἡ μὲν συνεχής τε καὶ λογικὴ καλουμένη· ἡ δὲ διαστηματική τε καὶ μελῳδική. ἡ μὲν οὖν συνεχὴς κίνησις τῆς φωνῆς, τάς τε ἐπιτάσεις καὶ τὰς ἀνέσεις ἀφανῶς ποιεῖται, μηδαμοῦ ἱσταμένη ἢ μέχρι σιωπῆς. ἡ δὲ διαστηματικὴ κίνησις τῆς φωνῆς, ἐναντίως κινεῖται τῇ συνεχεῖ· μονάς τε γὰρ ποιεῖ καὶ τὰς μεταξὺ τούτων διαστάσεις· ἐναλλὰξ αὐτῶν ἑκάτερον τιθεῖσα. τὰς μὲν οὖν μονὰς τάσεις καλοῦμεν, τὰς δὲ μεταβάσεις τὰς ἀπὸ τάσεων ἐπιτάσεις διαστήματα. τὰ δὲ ποιοῦντα τὴν τῶν τάσεων διαφορὰν ἐπίτασίς ἐστι καὶ ἄνεσις· ἀπὸ τελέσματος δὲ τούτων ὀξύτης καὶ βαρύτης. τὸ μὲν γὰρ δι' ἐπιτάσεως γινόμενον, εἰς ὀξύτητα ἄγει· τὸ δὲ δι' ἀνέσεως εἰς βαρύτητα. ὀξύτης δὲ τὸ δι' ἐπιτάσεως γινόμενον ἀποτέλεσμα. βαρύτης δὲ τὸ δι' ἀνέσεως· ἀμφοῖν γὰρ συμβέβηκε τὸ τετάσθαι. καλοῦνται δὲ τάσεις καὶ φθόγγοι. τάσεις μὲν ἀπὸ τῶν καθαπτῶν ὀργάνων, παρὰ τὸ τετάσθαι· φθόγγοι δὲ, ἐπεὶ ὑπὸ φωνῆς ἐνεργοῦνται. φθόγγοι δὲ εἰσὶ τῇ μὲν τάσει ἄπειροι, τῇ δὲ δυνάμει καθ' ἕκαστον γένος δεκαοκτώ. γένη δέ ἐστι τρία, διάτονον, χρῶμα,

[a] Hoc Pappi Fragmentum de Musica descriptum est e Cod. 2460 Chart. Sæc. XVI. fol. 52 v. exstat vero aliis in Bibliothecis, nempe in Cod. 260 Bibl. Reg. Neapol. Catal. Salv. Cyrill. vol. II. p. 342. et in Vatican. Montfauc. Bibl. Bibliothecarum t. II. p. 11 B.

Digitized by Google

ἁρμονία. καὶ μελῳδεῖται τὸ μὲν διάτονον, ἐπὶ μὲν τὸ βαρὺ, κατὰ τὸν τόνον καὶ τόνον καὶ ἡμιτόνιον, καὶ τόνον καὶ τόνον· τὸ δὲ χρῶμα ἐπὶ μὲν τὸ βαρὺ, κατὰ τριημιτόνιον καὶ ἡμιτόνιον καὶ ἡμιτόνιον· ἐπὶ δὲ τὸ ὀξὺ, ἐναντίως, κατὰ ἡμιτόνιον καὶ ἡμιτόνιον, καὶ τριημιτόνιον· ἡ δὲ ἁρμονία ἐπὶ μὲν τὸ βαρὺ, κατὰ δίτονον καὶ δίεσιν καὶ δίεσιν. ἐπὶ δὲ τὸ ὀξὺ ἐναντίως, κατὰ δίεσιν καὶ δίεσιν, καὶ δίτονον.

Εἰσὶ δ' οἱ μὲν ἐν τῷ διατόνῳ φθόγγοι οἵδε· προσλαμβανόμενος ὑπάτη ὑπατῶν, παρυπάτη ὑπατῶν, λιχανὸς ὑπατῶν διάτονος ὑπάτη μέσων, παρυπάτη μέσων· λιχανὸς μέσων, διάτονος μέση νήτη συνημμένων, παρανήτη συνημμένων, διάτονος νήτη συνημμένων, παραμέση τρίτη διεζευγμένων, παρανήτη διεζευγμένων, διάτονος νήτη διεζευγμένων, τρίτη ὑπερβολαίων, παρανήτη ὑπερβολαίων, διάτονος νήτη ὑπερβολαίων.

Ἐν δὲ χρώματι οἵδε· προσλαμβανόμενος ὑπάτη ὑπατῶν, παρυπάτη ὑπατῶν, λιχανὸς ὑπατῶν, χρωματικὴ ὑπάτη μέσων, παρυπάτη μέσων, λιχανὸς μέσων, χρωματικὴ μέση τρίτη συνημμένων, παρανήτη συνημμένων, χρωματικὴ νήτη συνημμένων, παραμέση τρίτη διεζευγμένων, παρανήτη διεζευγμένων, χρωματικὴ νήτη διεζευγμένων, τρίτη ὑπερβολαίων, παρανήτη ὑπερβολαίων, χρωματικὴ νήτη ὑπερβολαίων.

Ἐν δὲ ἁρμονίᾳ οἵδε· προσλαμβανόμενος ὑπάτη ὑπατῶν, παρυπάτη ὑπατῶν, λιχανὸς ὑπατῶν, ἐναρμόνιος ὑπάτη μέσων, παρυπάτη μέσων, λιχανὸς μέσων, ἐναρμόνιος μέση τρίτη συνημμένων, παρανήτη συνημμένων[1], ἐναρμόνιος νήτη συνημμένων, παραμέση τρίτη διεζευγμένων, παρανήτη διεζευγμένων, ἐναρμόνιος νήτη διεζευγμένων, τρίτη ὑπερβολαίων, παρανήτη ὑπερβολαίων.

Κατὰ δὲ μίξιν τῶν γενῶν, οἵδε· προσλαμβανόμενος ὑπάτη ὑπατῶν, παρυπάτη ὑπατῶν, λιχανὸς ὑπατῶν ἐναρμόνιος, λιχανὸς ὑπατῶν χρωματικὴ, λιχανὸς ὑπατῶν διάτονος, ὑπάτη μέσων, παρυπάτη μέσων, λιχανὸς μέσων ἐναρμόνιος, λιχανὸς μέσων χρωματικὴ, λιχανὸς μέσων διάτονος, μέση τρίτη συνημμένων, παρανήτη συνημμένων ἐναρμόνιος, παρανήτη συνημμένων χρωματικὴ, παρανήτη συνημμένων διάτονος, νήτη συνημμένων, παραμέση νήτη διεζευγμένων, παρανήτη διεζευγμένων ἐναρμόνιος, παρανήτη διεζευγμένων χρωματικὴ,

[1] συνημμένον Cod.

Digitized by Google

παρανήτη διεζευγμένων, διάτονος νήτη διεζευγμένων, τρίτη ὑπερβολαίων, παρανήτη ὑπερβολαίων, ἐναρμόνιος παρανήτη ὑπερβολαίων, χρωματικὴ παρανήτη ὑπερβολαίων, διάτονος νήτη ὑπερβολαίων.

Τῶν δὲ ἐξηριθμημένων φθόγγων οἱ μέν εἰσιν ἑστῶτες, οἱ δὲ κι-
5 νούμενοι· ἑστῶτες μὲν οὖν εἰσιν, ὅσοι ἐν ταῖς τῶν γενῶν διαφοραῖς οὐ μεταπίπτουσιν, ἀλλὰ μένουσιν ἐπὶ μιᾶς τάσεως· κινούμενοι δὲ, ὅσοι τοὐναντίον πεπόνθασιν· ἐν γὰρ ταῖς τῶν γενῶν διαφοραῖς μεταβάλλουσι, καὶ οὐ μένουσιν ἐπὶ μιᾶς τάσεως.

Εἰσὶν οὖν οἱ μὲν ἑστῶτες ὀκτὼ οἵδε· προσλαμβανόμενος, ὑπατὴ
10 ὑπατῶν, ὑπάτη μέσων, μέση, νήτη συνημμένων, παραμέση, νήτη διεζευγμένων, νήτη ὑπερβολαίων. κινούμενοι δὲ οἵδε, οἱ ἀναμέσων τούτων πάντες. τῶν δὲ ἑστώτων οἱ μέν εἰσι βαρύπυκνοι, οἱ δὲ ἄπυκνοι, καὶ περιέχοντες τὰ τέλεια συστήματα· βαρύπυκνοι μὲν οὖν εἰσι πέντε οἵδε· ὑπάτη ὑπατῶν, ὑπάτη μέσων, μέση, παραμέση, νήτη διεζευγ-
15 μένων· Ἄπυκνοι καὶ περιέχοντες τὰ τέλεια συστήματα οἱ λοιποὶ τρεῖς οἵδε, προσλαμβανόμενος, νήτη συνημμένων, νήτη ὑπερβολαίων. Τῶν δὲ κινουμένων, οἱ μέν εἰσι μεσόπυκνοι, οἱ δὲ ὀξύπυκνοι, οἱ δὲ διάτονοι· μεσόπυκνοι μὲν οὖν εἰσι πέντε οἵδε, παρυπάτη ὑπατῶν, παρυπάτη μέσων, τρίτη συνημμένων, τρίτη διεζευγμένων, τρίτη
20 ὑπερβολαίων· ὀξύπυκνοι δὲ ὁμοίως κατὰ γένος πέντε· ἐν μὲν ἁρμονίᾳ, οἱ ἐναρμόνιοι· ἐν δὲ χρώματι, οἱ χρωματικοί[2]. τὸ γὰρ διάτονον οὐ μετέχει πυκνοῦ.

Εἰσὶν οὖν οἱ μὲν ἐν τῇ ἁρμονίᾳ οἵδε, λιχανὸς ὑπατῶν ἐναρμόνιος, παρανήτη συνημμένων ἐναρμόνιος, παρανήτη διεζευγμένων ἐναρμό-
25 νιος, παρανήτη ὑπερβολαίων ἐναρμόνιος· ἐν δὲ τῷ χρώματι οἵδε, λιχανὸς ὑπατῶν χρωματικὴ, λιχανὸς μέσων χρωματικὴ, παρανήτη συνημμένων χρωματικὴ, παρανήτη διεζευγμένων χρωματικὴ, παρανήτη ὑπερβολαίων χρωματική. ἐν δὲ τῷ διατόνῳ οἵδε, λιχανὸς ὑπατῶν διάτονος, λιχανὸς μέσων διάτονος, παρανήτη συνημμένων διάτονος,
30 παρανήτη διεζευγμένων διάτονος, παρανήτη ὑπερβολαίων διάτονος.

Τῶν δὲ διαστημάτων διαφοραί εἰσι πέντε· ἥτε μεγέθει ἀλλήλων διαφέρει, καὶ ᾗ κατὰ γένος, καὶ ᾗ τὰ σύμφωνα τῶν διαφώνων, καὶ τὰ ἀσύνθετα τῶν συνθέτων, καὶ τὰ ῥητὰ τῶν ἀλόγων· ἡ μὲν οὖν κατὰ μέγεθός ἐστι, καθ' ἣν ἃ μέν ἐστι μείζονα τῶν διαστη-

[2] χρωματικὴ Cod.

Digitized by Google

μάτων, ἃ δὲ ἐλάττονα, οἷον δίτονον, τόνος, ἡμιτόνιον· διὰ τεσσάρων, διὰ πέντε, διὰ πασῶν, καὶ τὰ ὅμοια· ἡ δὲ κατὰ γένος, καθ᾽ ἣν ἃ μέν ἐστι τῶν διαστημάτων διατονικὰ, ἃ δὲ χρωματικὰ, ἃ δὲ ἐναρμόνια· ἡ δὲ τοῦ συμφωνοῦ καθ᾽ ἣν ἃ μέν ἐστι τῶν διαστημάτων σύμφωνα, ἃ δὲ διάφωνα· σύμφωνα μὲν οὖν ἐστὶ διὰ τεσσάρων, διὰ πέντε, διὰ πασῶν, καὶ τὰ ὅμοια. διάφωνα δὲ τὰ ἐλάσσονα τοῦ διὰ τεσσάρων πάντα, καὶ τὰ μεταξὺ τῶν συμφώνων πέντε· ἐλάττω μὲν οὖν ἐστὶ τοῦ διὰ τεσσάρων δίεσις, ἡμιτόνιον, τόνος, δίτονον· μεταξὺ δὲ τῶν συμφώνων τρίτονον, τετράτονον, πεντάτονον, καὶ τὰ ὅμοια.

Ἔστι δὲ συμφωνία μὲν κρᾶσις δύο φθόγγων, ὀξυτέρου καὶ βαρυτέρου· μὴ ὥστε ἢ καθαρθῆναι, ἀλλὰ τραχῦναι τὴν ἀκοήν. ἡ δὲ τοῦ συνθέτου[3] ἐστὶ διαφορὰ, καθ᾽ ἣν ἃ μὲν ἐστὶ τῶν διαστημάτων ἀσύνθετα, ἃ δὲ σύνθετα. ἀσύνθετα μὲν οὖν διαστήματά ἐστι τὰ ὑπὸ τῶν ἑξῆς φθόγγων περιεχόμενα, οἷον, ὑπάτης καὶ παρυπάτης, καὶ λιχανοῦ καὶ μέσης· ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν λοιπῶν διαστημάτων. σύνθετα δὲ τὰ ὑπὸ τῶν μὴ ἑξῆς, οἷον, μέσης καὶ παρυπάτης, μέσης καὶ νήτης, παραμέσης καὶ ὑπάτης.

Ἔστι δέ τινα κοινὰ συνθέτου καὶ ἀσυνθέτου διαστήματα, τὰ ἀπὸ ἡμιτονίου μέχρι διτόνου. τὸ μὲν γὰρ ἡμιτόνιόν ἐστι ἐν ἁρμονίᾳ σύνθετον, ἐν δὲ χρώματι καὶ διατόνῳ ἀσύνθετον. ὁ δὲ τόνος ἐν μὲν χρώματι σύνθετος, ἐν δὲ διτόνῳ ἀσύνθετος. καὶ ἡμιτόνιον, καὶ τριημιτόνιον ἐν μὲν χρώματι ἀσύνθετον, ἐν δὲ διατόνῳ σύνθετον· τὸ διτόνιον ἐν μὲν ἁρμονίᾳ ἀσύνθετον, ἐν δὲ χρώματι καὶ διτόνῳ σύνθετον· τὰ δὲ ἐλάττω τοῦ ἡμιτονίου πάντά ἐστιν ἀσύνθετα· ὁμοίως δὲ καὶ τὰ μείζω τοῦ διατόνου πάντα σύνθετα.

Ἡ δὲ τοῦ ῥητοῦ καὶ ἀλόγου διαφορά ἐστι καθ᾽ ἣν τῶν διαστημάτων, ἃ μέν ἐστι ῥητὰ, ἃ δὲ ἄλογα. ῥητὰ μὲν οὖν ἐστὶ, ὧν οἷόν τέ ἐστι τὰ μεγέθη ἀποδιδόναι· οἷον τόνον, ἡμιτόνιον, δίτονον, τρίτονον καὶ τὰ ὅμοια. ἄλογα δὲ παραλάττοντα ταῦτα τὰ μεγέθη ἐπὶ τὸ μειζον ἢ ἐπὶ τὸ ἔλαττον ἀλόγῳ τινὶ μεγέθει.

Γένη δέ ἐστι τρία τὰ προειρημένα.

Πᾶν οὖν ἔστω μέλος ἤτοι διατονικὸν, καὶ χρωματικὸν, ἢ ἐναρμόνιον ἢ κοινὸν, ἢ μικτὸν ἐκ τούτων. διατονικὸν μὲν οὖν ἐστὶν τὸ τῇ διατονικῇ[4] διαιρέσει[5] χρώμενον· χρωματικὸν δὲ τὸ τῇ χρωματικῇ· ἐναρμόνιον δὲ

[3] Sic. [4] διατονικὴ Cod. [5] διαιρεσῃ Cod.

Digitized by Google

τὸ τῇ ἐναρμονίῳ· κοινὸν δὲ τὸ ἐκ τῶν ἑστώτων φθόγγων συγκείμενον· μικτὸν δὲ τὸ ἐν ᾧ δύο ἢ τρεῖς χαρακτῆρες γενικοὶ ἐνφαίνονται, οἷον διατόνου καὶ χρώματος, ἢ διατόνου καὶ ἁρμονίας, ἢ χρώματος καὶ ἁρμονίας, ἢ καὶ διατόνου καὶ χρώματος καὶ ἁρμονίας. Γίνονται δὲ
5 αἱ τῶν γενῶν διαφοραὶ, παρὰ τοὺς κινουμένους τῶν φθόγγων. κινεῖται δὲ ἡ μὲν λιχανὸς ἐν τονιαίῳ τόπῳ· ἡ δὲ παρυπάτη ἐν διεσκιαίῳ[6]. λιχανὸς μὲν οὖν ἐστι ὀξυτάτη ἡ τόνον ἀπὸ τοῦ ἑτέρου ἀπέχουσα τῶν τὸ τετράχορδον περιεχόντων· βαρυτάτη δὲ ἡ δίτονον· ὁμοίως δὲ καὶ ὑπαρυπάτη ἐστί· βαρυτάτη μὲν ἡ δίεσιν ἀπὸ τοῦ βαρυτέρου
10 τῶν τὸ τετράχορδον περιεχόντων ἀπέχουσα· ὀξυτάτη δὲ ἡμιτόνιον ἀπέχουσα.

Χρόα δέ ἐστι, γένους εἰδικὴ διαίρεσις· χροαὶ δέ εἰσιν αἱ ῥηταὶ καὶ γνώριμοι ἓξ, ἁρμονίας μία, χρώματος τρεῖς, διατονου δύο. ἡ μὲν οὖν τῆς ἁρμονίας τῇ αὐτῇ τοῦ γένους διαιρέσει κέχρη-
15 ται· μελῳδεῖται γὰρ κατὰ δίεσιν τεταρτημόριον καὶ δίεσιν τὴν ἴσην καὶ δίτονον· τῶν δὲ χρωματικῶν διαιρέσεων βαρυτάτη μέν ἐστιν ἡ τοῦ μαλακοῦ χρώματος χρόα· μελῳδεῖται δὲ κατὰ δίεσιν τριτημόριον τόνου, καὶ δίεσιν τὴν ἴσην, καὶ τὸ ἴσον τόνῳ καὶ τῷ ἥμισει τρίτῳ· τὸ δὲ ἡμιόλιον κατὰ δίεσιν ἡμιολίαν τῆς ἐναρμονίου
20 διέσεως καὶ δίεσιν τὴν ἴσην, καὶ ἑπτὰ τεταρτημορίων διέσεων ἀσύνθετον διάστημα· τρεῖς γὰρ ἑπτὰ, εἴκοσι καὶ ἕν· τὸ δὲ τονιαῖον χρῶμα τῇ αὐτῇ τοῦ γένους κέχρηται. μελῳδεῖται γὰρ κατὰ ἡμιτόνιον καὶ ἡμιτόνιον καὶ τριημιτόνιον.

Κέκληται δὲ τὰ εἰρημένα χρώματα ἀπὸ τῶν ἐνυπαρχόντων αὐτοῖς
25 πυκνῶν. τόγε γὰρ τονιαῖον ἀπὸ τοῦ ἐνυπάρχοντος καὶ αὐτῷ κατὰ σύνθεσιν τόνου καὶ ἡμιόλιον ἀπὸ τοῦ ἐλαχίστου πυκνοῦ ὡσαύτως χρῶμα· ἐπειδὴ τὸ ἐν αὐτῷ πυκνὸν χρῶμα ἀνιέταί τε καὶ κλύεται[7]. τῶν δὲ διατονικῶν διαιρέσεων τὸ μὲν διάτονον μαλακὸν καλεῖται· τὸ δὲ, σύντονον· ἡ μὲν οὖν τοῦ μαλακοῦ διατόνου χρόα μελῳδεῖται κατὰ
30 ἡμιτόνιον καὶ τριῶν διέσεων ἀσύνθετον διάστημα, καὶ πέντε διέσεων ὁμοίως ἀσύνθετον διάστημα· ἡ δὲ τοῦ συντόνου διατόνου τῇ αὐτῇ τοῦ γένους ἐπικοινωνεῖ διαιρέσει. μελῳδεῖται γὰρ κατὰ ἡμιτόνιον καὶ τόνον. δείκνυνται δὲ καὶ δι' ἀριθμῶν αἱ χρόαι τὸν τρόπον τοῦτον. ὑποτίθεται γὰρ ὁ τόνος εἰς δώδεκά τινα ἐλάχιστα μόρια διαιρούμενος·

6 Sic. 7 Sic.

Digitized by Google

ὧν ἕκαστον δωδεκατημόριον τόνου καλεῖται. ἀναλόγως δὲ τῷ τόνῳ καὶ τὰ λοιπὰ διαστήματα· τὸ μὲν γὰρ ἡμιτόνιον εἰς ἓξ δωδεκατημόρια· ἡ δὲ δίεσις, ἡ μὲν τεταρτημόριος εἰς τρία· ἡ δὲ τριτημόριος εἰς τέσσαρα· ὅλον δὲ τὸ διὰ τεσσάρων εἰς τριάκοντα. ἡ μὲν οὖν ἁρμονία μελῳδηθήσεται, κατὰ τριῶν δωδεκατημορίων μέγεθος καὶ τριῶν, καὶ $\overline{\kappa\delta}$· τὸ δὲ μαλακὸν χρῶμα κατὰ τέσσαρα καὶ $\overline{\delta}$, καὶ $\overline{\kappa\delta}$ καὶ $\overline{\kappa\beta}$· τὸ δὲ ἡμιόλιον χρῶμα κατὰ τέτταρα ἥμισυ καὶ τέσσαρα ἥμισυ καὶ κά· τὸ δὲ τονιαῖον χρῶμα κατὰ $\overline{\varsigma}$ καὶ $\overline{\varsigma}$ καὶ $\overline{\iota\eta}$· τὸ δὲ μαλακὸν



διάτονον κατὰ $\overline{\varsigma}$ καὶ $\overline{\theta}$ καὶ $\overline{\iota\epsilon}$· τὸ δὲ σύντονον κατὰ $\overline{\varsigma}$ καὶ $\overline{\iota\beta}$ καὶ $\overline{\iota\alpha}$.

Τῶν δὲ συστημάτων διαφοραί εἰσι ζ'. τέσσαρες μὲν αἱ αὐταὶ τοῖς διαστήμασιν, ἥτε κατὰ μέγεθος καὶ ἡ κατὰ γένος· καὶ τοῦ συμφώνου καὶ ἡ τοῦ ῥητοῦ καὶ ἀλόγου· τρεῖς δὲ ἴδιαι τῶν συστημάτων διαφοραί εἰσιν, ἡ τοῦ ἑξῆς καὶ ὑπερβατοῦ, καὶ ἡ τοῦ συνημμένου καὶ διεζευγμένου, καὶ ἡ τοῦ ἀμεταβόλου καὶ ἐμμεταβόλου. μεγέθει μὲν οὖν διαφέρει τὰ μείζω συστήματα τῶν ἐλαττόνων, καθάπερ τὸ διὰ πασῶν τοῦ τριτόνου, ἢ διὰ πέντε ἢ διὰ τεσσάρων ἢ τῶν ὁμοίων· γένει δὲ διατονικὰ τῶν ἐναρμονίων ἢ χρωματικῶν· ἢ τὰ χρωματικὰ ἢ ἐναρμόνια τῶν λοιπῶν· τῇ δὲ τοῦ συμφώνου καὶ διαφώνου διοίσει τὰ ὑπὸ τῶν συμφώνων φθόγγων περιεχόμενα τῶν ὑπὸ διαφώνων. σύμφωνα δέ ἐστιν ἐν τῷ ἀμεταβόλῳ συστήματα ἓξ ἐλάχιστον μέν, τὸ διὰ τεσσάρων τόνων δύο ἡμίσεος· οἷόν ἐστι τὸ ἀπὸ ὑπάτης ὑπατῶν μέσων· δεύτερον δὲ τὸ διὰ πέντε τόνων τριῶν ἡμίσεος, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ ὑπάτην μέσων· τρίτον δὲ τὸ διὰ πασῶν τόνων ἓξ, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ μέσων· τέταρτον δὲ τὸ διὰ πασῶν καὶ διὰ τεσσάρων τόνων ὀκτὼ ἡμίσεος, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην συνημμένων ἢ παρανήτην διεζευγμένων διάτονον· πέμπτον τὸ διὰ πασῶν καὶ διὰ πέντε τόνων ἐννέα ἡμίσεος, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην διεζευγμένων· ἕκτον τὸ δὶς διὰ πασῶν τόνων δώδεκα, οἷόν ἐστι τὸ ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην ὑπερ-

Digitized by Google

βολαίων. τὸ δὲ συνημμένων σύστημα πρόεισι μέχρι τετάρτου συμφώνου· πρῶτον γὰρ ἐν αὐτῷ τὸ διὰ τεσσάρων· δεύτερον, τὸ διὰ πέντε· τρίτον τὸ διὰ πασῶν καὶ διὰ τεσσάρων· ὁ δὲ τῆς φωνῆς τόπος, αὔξεται μέχρι τοῦ ὀγδόου συμφώνου, ὅπερ ἐστὶ διὰ πασῶν
5 καὶ διὰ τεσσάρων καὶ διὰ πασῶν καὶ διὰ πέντε· διάφωνα δέ ἐστι τά τε ἐλάττω τῶν διὰ τεσσάρων καὶ μεταξὺ τῶν εἰρημένων συμφώνων πάντα.

Γίνεται δὲ καὶ σχήματα τοῦ αὐτοῦ μεγέθους ἐκ τῶν αὐτῶν ἀσυνθέτων συγκείμενα καὶ ἀριθμοῦ, εἴπερ ἡ τάξις ἀλλοίωσιν
10 λάβοιεν ὑπάρχοντός τινος ἀνομοίου· τὰ γὰρ ἐξ ἴσων πάντων ἢ ὁμοίων σχημάτων ἀλλοίωσιν οὐ ποιεῖ. τοῦ μὲν οὖν διὰ τεσσάρων τρία ἐστὶν εἴδη· πρῶτον μὲν τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οἷόν ἐστι τὸ ἀπὸ ὑπάτης ὑπάτων ἐπὶ ὑπάτων μέσων· δεύτερον τὸ ἀπὸ μεσοπύκνων περιεχόμενον, οἷόν ἐστι τὸ ἀπὸ παρ-
15 υπάτης ὑπατῶν ἐπὶ παρυπάτων μέσων· τρίτον δὲ τὸ ἀπὸ ὀξυπύκνων περιεχόμενον, οἷόν ἐστι τὸ ἀπὸ λιχανοῦ ὑπατῶν ἐπὶ λιχανὸν μέσων. ἐν μὲν οὖν ἁρμονίᾳ καὶ χρώματι πρὸς τὴν τοῦ πυκνοῦ σχέσιν τὰ σχήματα τῶν συμφώνων λαμβάνεται. ἐν δὲ διατόνῳ ἐπὶ πυκνοῦ οὐ γίνεται. διαιρεῖται δὲ τὸ γένος τοῦτο, εἰς ἡμιτόνια καὶ
20 τόνους· ὑπάρχει δὲ ἐν τῇ διὰ τεσσάρων συμφωνίᾳ, ἡμιτόνιον μὲν ἕν, τόνοι δὲ δύο· ὁμοίως δὲ κἀν τῷ διὰ πέντε, ἡμιτόνιον μὲν ἓν, τόνοι δὲ τρεῖς· ἐν δὲ τὸ διὰ πασῶν, ἡμιτόνια μὲν δύο, τόνοι δὲ πέντε.

Πρὸς δὲ τὴν τῶν ἡμιτονίων σχέσιν τὰ σχήματα θεωρεῖται. τοῦ οὖν διὰ τεσσάρων πρῶτον μέν ἐστιν εἶδος, οὗ τὸ ἡμιτόνιον ἐπὶ
25 τὸ βαρὺ τῶν τόπων κεῖται· δεύτερον δὲ, οὗ πρῶτον ἐπὶ τὸ ὀξύ· τρίτον, οὗ μέσον τῶν τόνων· ἔστι δὲ καὶ ταῦτα ὁμοίως τοῖς λοιποῖς γένεσιν, ἀπὸ τῶν αὐτῶν φθόγγων ἐπὶ τοὺς αὐτούς. τοῦ δὲ διὰ πέντε τέσσαρα ἐστὶ σχήματα· πρῶτον μὲν τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ ὑπάτης
30 μέσων ἐπὶ παραμέσην· δεύτερον δὲ τὸ ὑπὸ μεσοπύκνων περιεχόμενον, οὗ δεύτερος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ βαρυτάτης μέσων, ἐπὶ τρίτην διεζευγμένων· τρίτον δὲ, τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον· οὗ τρίτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ λιχανοῦ μέσων ἐπὶ παρανήτην διεζευγμένων· τέταρτον τὸ ὑπὸ βαρυπύκνων περιεχόμε-
35 νον, οὗ τέταρτος ὁ τόνος ἐπὶ τὸ βαρύ· ἔστι δὲ ἀπὸ μέσης ἐπὶ νήτην

Digitized by Google

διεζευγμένων ἡ ἀπὸ προσλαμβανομένου ἐπὶ ὑπάτην μέσων. ἐν δὲ διατόνῳ πρῶτον μέν ἐστι σχῆμα, οὗ πρῶτον τὸ ἡμιτόνιον ἐπὶ τὸ βαρὺ κεῖται· δεύτερον δὲ οὗ πρῶτον ἐπὶ τὸ ὀξύ· τρίτον οὗ δεύτερον ἐπὶ τὸ ὀξύ· τέταρτον οὗ τρίτον ἐπὶ τὸ βαρύ. τοῦ δὲ διαπασῶν εἴδη ἐστὶν ἑπτά· πρῶτον μὲν τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ ὑπάτης ὑπατῶν ἐπὶ παραμέσην· ἐκαλεῖτο δὲ ὑπὸ τῶν ἀρχαίων μιξολύδιον· δεύτερον τὸ ἀπὸ μεσοπύκνων περιεχόμενον· οὗ δεύτερος ὁ τόνος ἐπὶ τὸ ὀξὺ, ἔστι δὲ ἀπὸ παρυπάτης ὑπατῶν ἐπὶ τρίτην διεζευγμένων· ἐκαλεῖτο δὲ λύδιον· τρίτον τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον, οὗ τρίτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ λιχανοῦ ὑπατῶν ἐπὶ παρανήτην διεζευγμένων· ἐκαλεῖτο δὲ φρύγιον· τέταρτον τὸ ὑπὸ βαρυπύκνων περιεχόμενον, οὗ τέταρτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ ὑπάτης μέσων ἐπὶ νήτην διεζευγμένων· ἐκαλεῖτο δὲ δώριον· πέμπτον τὸ ὑπομεσοπύκνων περιεχόμενον, οὗ πέμπτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ παρυπάτης μέσων ἐπὶ τρίτην ὑπερβολαίων· ἐκαλεῖτο δὲ ὑπολύδιον· ἕκτον τὸ ὑπὸ ὀξυπύκνων περιεχόμενον· οὗ ἕκτος ὁ τόνος ἐπὶ τὸ ὀξύ· ἔστι δὲ ἀπὸ λιχανοῦ μέσων ἐπὶ παρανήτην ὑπερβολαίων· ἐκαλεῖτο δὲ ὑποφρύγιον· ἕβδομον δὲ ὑπὸ βαρυπύκνων περιεχόμενον· οὗ πρῶτος ὁ τόνος ἐπὶ τὸ βαρύ· ἔστι δὲ ἀπὸ μέσης ἐπὶ νήτην ὑπερβολαίων, ἢ ἀπὸ προσλαμβανομένου ἐπὶ μέσην· ἐκαλεῖτο δὲ κοινὸν καὶ λοκρικὸν, καὶ ὑποδώριον.

Ἐν δὲ διατόνῳ πρῶτον μέν ἐστιν εἶδος τὸ διὰ πασῶν· οὗ πρῶτον μὲν ἐπὶ τὸ βαρὺ, τέταρτον δὲ ἐπὶ τὸ ὀξύ ἐστι τὸ ἡμιτόνιον· δεύτερον δὲ οὗ τρίτον μὲν ἐπὶ τὸ βαρὺ πρῶτον δὲ ἐπὶ τὸ ὀξύ· τρίτον δὲ, οὗ δεύτερον ἐφ' ἑκάτερα· τέταρτον δὲ οὗ πρῶτον μὲν ἐπὶ τὸ βαρὺ, τρίτον δὲ ἐπὶ τὸ ὀξὺ· πέμπτον δὲ οὗ πρῶτον μὲν ἐπὶ τὸ ὀξὺ, τέταρτον μὲν ἐπὶ τὸ βαρύ· ἕκτον δὲ, οὗ τρίτον μὲν ἐπὶ τὸ βαρὺ, δεύτερον δὲ ἐπὶ τὸ ὀξύ· ἕβδομον δὲ, οὗ δεύτερον μὲν ἐπὶ τὸ ὀξὺ, τρίτον δὲ ἐπὶ τὸ ὀξύ.

Ἔστι δὲ καὶ ταῦτα ἀπὸ τῶν αὐτῶν φθόγγων ἐπὶ τοὺς αὐτοὺς, καθάπερ ἐπὶ τῆς ἁρμονίας καὶ τοῦ χρώματος· καὶ ἐκαλεῖτο τοῖς αὐτοῖς ὀνόμασι. τῇ δὲ τοῦ ῥητοῦ καὶ ἀλόγου διαφορᾷ διοίσει συστήματα[6] ὅσα ἐκ ῥητῶν διαστημάτων σύγκειται τῶν ἐξ ἀλόγων· ὅσα μὲν γὰρ ῥητὰ, ἐκ ῥητῶν ἐστίν· ὅσα δὲ ἐξ ἀλόγων, ἄλογα· τῇ δὲ τοῦ

6 συστὴ κατὰ Cod.

Digitized by Google

ἑξῆς καὶ ὑπερβατοῦ διαφορᾷ διοίσει συστήματα διὰ τῶν ἑξῆς φθόγγων μελῳδούμενα τῇ καθ' ὑπερβατόν· τῇ δὲ τοῦ συνημμένου καὶ διεζευγμένου διαφορᾷ διοίσει συστήματα, ὅσα διὰ τῶν συνημμένων τετραχόρδων τὴν σύνθεσιν ἔχει τῶν διεζευγμένων.

5 Ἔστι δὲ συναφὴ μὲν δύο τετραχόρδων ἑξῆς μελῳδουμένων ὁμοίων κατὰ σχῆμα φθόγγος κοινός. διάζευξις δέ ἐστι δύο τετραχόρδων ἑξῆς μελῳδουμένων ὁμοίων κατὰ σχῆμα τόνος ἀναμέσων. εἰσὶ δὲ αἱ πᾶσαι συναφαὶ τρεῖς, μέση, ὀξυτάτη, βαρυτάτη· καὶ ἔστι βαρυτάτη μὲν ἡ ἐκ τοῦ ὑπατῶν, καὶ μέσων τετραχόρδου· κοινὸς δὲ αὐτὰ
10 συνάπτει φθόγγος ὑπάτη μέσων· μέση δέ ἐστι συναφὴ ἐκ τοῦ μέσων καὶ νητῶν συνημμένη· κοινὸς δὲ αὐτὰ συνάπτει φθόγγος. μέση ὀξυτάτη δέ ἐστι συναφὴ ἡ ἐκ τοῦ διεζευγμένων καὶ ὑπερβολαίων· κοινὸς δὲ αὐτὰ συνάπτει φθόγγος, νήτη διεζευγμένων· διέζευξις δέ ἐστι μία, ἡ ἐκ τοῦ μέσων καὶ νήτων διεζευγμένων· κοινὸς
15 δὲ αὐτὰ διαζεύγνυσι τόνος, ὁ μεταξὺ μέσης καὶ παραμέσης.

Τέλεια δὲ ἐστὶ συστήματα δύο· τὸ μὲν ἔλαττον, τὸ δὲ μεῖζον· καὶ ἔστι τὸ μὲν ἔλαττον κατὰ συναφὴν ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην συνημμένων. ὑπάρχει δὲ ἐν αὐτῷ τετράχορδα τρία συνημμένα τάδε· ὑπατῶν μέσων συνημμένων, καὶ τόνος ἀπὸ
20 προσλαμβανομένου ἐπὶ ὑπάτην ὑπατῶν· συμφώνων δὲ ὁρίζεται τῷ διὰ πασῶν καὶ διὰ τεσσάρων. τὸ δὲ μεῖζον ἔστι κατὰ διάζευξιν ἀπὸ προσλαμβανομένου ἐπὶ νήτην ὑπερβολαίων· ὑπάρχει δὲ ἐν αὐτῷ τετράχορδα μὲν $\overline{\delta}$ ϟ[7] δυοῖν διεζευγμένα, ἀλλήλοις δὲ συνημμένα, τό τε ὑπατῶν καὶ διεζευγμένων καὶ ὑπερβολαίων·
25 καὶ ἔτι τόνοι δύο· ὅ τε ἀπὸ προσλαμβανομένου ἐπὶ ὑπάτην ὑπατῶν, καὶ ἀπὸ παραμέσης ἐπὶ μέσην· συμφώνῳ δὲ ὁρίζεται τῷ δὶς διαπασῶν· πέντε δὲ ὄντων τετραχόρδων ἐν τῷ ἀμεταβόλῳ συστήματι, ὅπερ ἐστιν ἐξ ἀμφοῖν τελείοιν σύνθετον· τὰ μὲν δύο κοινά ἐστιν ἑκατέρων τῶν τελείων, τό τε ὑπατῶν καὶ μέσων· ἴδια δὲ τοῦ
30 μὲν κατὰ συναφὴν τὸ νητῶν συνημμένων· τοῦ δὲ καταδιάζευξις τὸ νητῶν διεζευγμένων, καὶ νητῶν ὑπερβολαίων· τῇ δὲ τοῦ ἀμεταβόλου καὶ ἐνμεταβόλου διοίσει, καθ' ἣν διαφέρει τὰ ἁπλᾶ[8] συστήματα τῶν μὴ ἁπλῶν· ἁπλᾶ μὲν οὖν ἐστι, τὰ πρὸς μίαν μέσην ἡρμοσμένα· διπλᾶ δὲ, τὰ πρὸς δύο· τριπλᾶ δὲ, τὰ πρὸς

[7] Sic. [8] ἁπλᾶ Cod.

Digitized by Google

τρεῖς· πολλαπλάσια δὲ, τὰ πρὸς πλείονας. ἔστι δὲ μέση φθόγγος δύναμις, ᾧ συμβέβηκε, κατὰ μὲν διάζευξιν ἐπὶ μὲν τὸ ὀξὺ τόνον ἔχειν ἀσύνθετον· κατὰ δὲ συναφὴν, ᾧ συμβαίνει γ'. τετραχόρδων συνημμένων, ἤτοι τοῦ μέσου ὀξυτάτω εἶναι, ἢ τοῦ ὀξυτάτου βαρυτάτω. ἀπὸ δὲ τῆς μέσης καὶ αἱ τῶν λοιπῶν φθόγγων δυνάμεις γνωρίζονται· τὸ γὰρ πῶς ἔχειν ἕκαστον αὐτῶν πρὸς τὴν μέσην φανερῶς γίνεται.

Τόνος δὲ λέγεται τετραχῶς· καὶ γὰρ ὡς φθόγγος καὶ διάστημα, καὶ ὡς τόπος φωνῆς, καὶ ὡς τάσις. ἐπὶ μὲν οὖν τοῦ φθόγγου χρῶνται τῷ ὀνόματι οἱ λέγοντες ἑπτάτονον καὶ φόρμιγγα, καθάπερ Τέρπανδρος καὶ Ἴων. ὁ μὲν γάρ φησιν,

Ἡμεῖς τοι τετράγηρυν ἀποστέρξαντες ἀοιδὰν,
Ἑπτατόνῳ φόρμιγγι νέους κελαδήσομεν ὕμνους·

Ὁ δὲ

Ἐν δεκαχόρδῳ λύρᾳ τὴν δεκαβάμονα τάξιν ἔχεις ἀεὶ
Τὰς συμφωνούσας ἁρμονίας τριώδους.
Πρὶν μὲν σ' ἑπτάτονον ψάλλον διατέσσαρα πάντες
Ἕλληνες σπανίαν μοῦσαν ἀειράμενοι.

Καὶ ἕτεροι δὲ οὐκ ὀλίγοι κέχρηνται τῷ ὀνόματι. ἐπὶ δὲ τοῦ διαστήματος, ὅταν λέγωμεν ἀπὸ μέσης ἐπὶ παραμέσην τόνον εἶναι. ὁ δὲ ὡς τόπος, ὅταν λέγωμεν φωνῆς, δώριον ἢ φρύγιον, ἢ λύδιον[9], ἢ τῶν ἄλλων τινά.

Εἰσὶ δὲ κατὰ Ἀριστόξενον ιγ, ὑπερμιξολύδιος, ὁ καὶ ὑπερβρύγιος καλούμενος· μιξολύδιοι δύο, ὀξύτερος καὶ βαρύτερος· ὧν ὁ ὀξύτερος καὶ ὑπεράστιος καλεῖται· ὁ δὲ βαρύτερος καὶ ὑπερδώριος· λύδιοι δύο, ὀξύτερος καὶ βαρύτερος· ὧν ὁ βαρύτερος καὶ αἰόλιος καλεῖται· φρύγιοι δύο, ὀξύτερος καὶ βαρύτερος· ὧν ὁ βαρύτερος καὶ ἰάσιος καλεῖται· δώριος εἷς, ὑπολύδιοι δύο, ὀξύτερος καὶ βαρύτερος· ὧν ὁ βαρύτερος ἢ ὑποαιόλιος καλεῖται· ὑποφρύγιοι δύο, ὧν ὁ βαρύτερος καὶ ὑποιάσιος καλεῖται ὑποδώριος· τούτων ὀξύτατος μὲν ὁ δώριος· οἱ δὲ ἑξῆς οἱ ἀπὸ τῶν ὀξυτάτων μέχρι τοῦ βαρυτάτου, ἡμιτονίου ἀλλήλων ὑπερέχοντες· παράλληλοι δὲ δύο, τριημιτόνιον· ἀλόγως δὲ ἕξει, καὶ ἐπὶ τῆς τῶν λοιπῶν τόνων διαστάσεως. ὁ δὲ ὑπερμιξολύδιος τοῦ ὑποδωρίου τῷ διὰ πασῶν ἐστὶν ὀξύτερος. ὁ δὲ ὡς τάσις τόνος λέγεται, καθ' ὃ

[9] λιδιῶν Cod.

Digitized by Google

φαμὲν ὀξυτονεῖν τινὰ ἢ βαρυτονεῖν, ἢ μέσῳ τῷ τῆς φωνῆς τόνῳ κεχρῆσθαι, καὶ κατὰ τόνον, καὶ κατὰ μελοποιίαν.

Κατὰ μὲν οὖν γένος γίνεται μεταβολὴ, ὅταν ἐκ διατόνου εἰς χρῶμα ἢ ἁρμονίας εἴς τι τῶν λοιπῶν μεταβολὴ γένηται. κατὰ σύστημα δὲ, ὅταν ἐκ συναφῆς εἰς διάζευξιν, ἢ ἀνάπαλιν, μεταβολὴ γένηται. κατὰ τόνον δὲ, ὅταν ἐκ δωρίων εἰς φρύγια, ἢ ἐκ φρυγίων εἰς λύδια, ἢ ὑποδώρια· ἢ καθόλου, ὅταν ἔκ τινος τῶν δεκατριῶν τόνων εἴς τινα τῶν λοιπῶν μεταβολὴ γένηται.

Γίνονται δὲ μεταβολαὶ ἀπὸ τῆς ἡμιτονίας ἀρξάμεναι μέχρι τοῦ διὰ πασῶν· ὧν αἱ μὲν κατὰ σύμφωνα γίνονται διαστήματα, αἱ δὲ κατὰ διάφωνα. τούτων δὲ ἐμμελεῖς μὲν, αἴτε κατὰ σύμφωνα γινόμεναι διαστήματα, καὶ ἡ τονιαῖα. τῶν δὲ λοιπῶν, αἱ μὲν ἐμμελεῖς[10], αἱ δὲ μᾶλλον. ἐν ὅσαις μὲν οὖν αὐτῶν πλείων οἱ[11] κοινωνία, ἐμμελέστεραι· ἐν ὅσαις δὲ ἐλάττων, ἐκμελέστεραι· ἐπειδὴ ἀναγκαῖον πάσῃ μεταβολῇ κοινόν τι ὑπάρχειν, ἢ φθόγγον, ἢ διάστημα, ἢ σύστημα. λαμβάνεται δὲ ἡ κοινωνία, καθ' ὁμοιότητα φθόγγων· ὅταν γὰρ ἐπ' ἀλλήλους ἐν ταῖς μεταβολαῖς πέσωσιν ὅμοιοι φθόγγοι, κατὰ τὴν τοῦ πυκνοῦ μετοχὴν, ἐμμελὴς γίνεται ἡ μεταβολή· ὅταν δὲ ὅμοιοι, ἐκμελής.

Κατὰ δὲ μελοποιίαν γίνεται μεταβολὴ, ὅταν ἐκ διαστατικοῦ ἤθους εἰς συστατικὸν ἢ εἰς ἡσυχαστικόν· ἢ ἐξ ἡσυχαστικοῦ ἤθους εἰς συσταλτικὸν ἢ ἡσυχαστικὸν, ἢ ἐξ ἡσυχαστικοῦ εἰς τί τῶν λοιπῶν ἡ μεταβολὴ γένηται. ἔστι δὲ διαστατικὸν μὲν ἦθος μελοποιίας, δι' οὗ σημαίνεται μεγαλοπρέπεια καὶ διάρμα ψυχῆς ἀνδρῶδες, καὶ πράξεις ἡρωικαὶ, καὶ πάθη τούτοις οἰκεῖα. χρῆται δὲ τούτοις, μάλιστα μὲν ἡ τραγῳδία, καὶ τῶν λοιπῶν δὲ οὖσα[12] τούτου ἔχεται τοῦ χαρακτῆρος· συστατικὸν δὲ, δι' οὗ συνάγεται ἡ ψυχὴ εἰς ταπεινότητα καὶ ἄνανδρον διάθεσιν. ἁρμόσει δὲ τὸ τοιοῦτον κατάστημα τοῖς ἐρωτικοῖς πάθεσι καὶ θρήνοις καὶ οἴκτοις, καὶ τοῖς παραπλησίοις. ἡσυχαστικὸν δὲ εἶδος ἐστὶ μελοποιίας, ᾧ παρέπεται ἡρμότης ψυχῆς καὶ κατάστημα ἐλευθέριόν τε καὶ εἰρηνικόν. ἁρμόσουσι δὲ αὐτῷ ὕμνοι, παιᾶνες, ἐγκώμια, συμβουλαὶ, καὶ τὰ τούτοις ὅμοια. μελοποιία ἐστι χρῆσις τῶν προειρημένων μελῶν τῆς ἁρμονικῆς καὶ ὑποκειμένων δύναμιν ἐχόντων. δι' ὧν

10 γρ. ἧττον ἢ ἐκμελεῖς, sic in marg. 11 Sic leg. ᾗ. 12 Leg. δεοῦσα.

Digitized by Google

μελοποιία ἐπιτελεῖται, τέσσαρά ἐστι, ἀγωγὴ, πλοκὴ, πετειὰ, τονή. ἀγωγὴ μὲν οὖν ἐστιν ἡ διὰ τῶν ἑξῆς φθόγγων ὁδὸς τοῦ μέλους. πλοκὴ δὲ ἡ ἐναλλὰξ τῶν διαστημάτων θέσις παράλληλος. πετεία δὲ ἡ ἐφ' ἑνὸς τόνου πολλάκις γινομένη πλῆξις. τονὴ δὲ ἡ ἐπὶ πλείονα χρόνον μονὴ κατὰ μίαν γινομένη προφορὰν τῆς φωνῆς. διάγραμμα δὲ σχῆμα ἐπίπεδον, τὰς τῶν μελῳδουμένων περιέχον δυνάμεις. δύναμις δέ ἐστι τάξις φθόγγου, δι' ἧς γνωρίζομεν τῶν φθόγγων ἕκαστον. μελοποιία δέ ἐστι χρῆσις τῶν ὑποκειμένων τῇ ἁρμονικῇ πραγματείᾳ. πρὸς τὸ οἰκεῖον ἑκάστης ὑποθέσεως οὗτος ὁ ὅρος, τῆς κατὰ τὸ ἡρμοσμένον.

Hoc frag. subjungo e Cod. 2720. erutum f. 87. v.

Ὅτι Κάδμον εἶναι τὸν Φοίνικα λέγουσιν ἀρχηγέτην καὶ κιθαριστικῆς· ὅθεν καὶ ὁ φοίνιξ ἕν τι τῶν ψαλτηρίων ὀργάνων. Πολλοὺς οἶδα ὀργάνοις ἄλλοις ἀντὶ σαλπίγγων ἐν πολέμῳ χρωμένους. σύριγγι μὲν Ἀρκάδας, Λυδοὺς δὲ πηκτῖσι, καὶ Κρῆτας λύρᾳ, καὶ Λακεδαιμονίους αὐλῷ, καὶ Λιβύας κόχλῳ, καὶ κέρατι Θρᾷκας, καὶ Αἰγυπτίους λωτῷ. ἐχρῶντο δὲ καὶ βόμβυκι Ἀσσύριοι, καὶ Ἰνδοὶ ῥόπτρῳ, καὶ Αἰθίοπες τυμπάνῳ, Ἄραβες κυμβάλῳ, καὶ Παρθυαῖοι ποικίλοις ἠχείοις κατὰ βόμβον ἐκπληκτικοῖς.

Digitized by Google

ΙΣΑΑΚΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ ΣΤΙΧΟΙ ΙΑΜΒΙΚΟΙ[1].

Ἦθος[2] ῥυθμίσας ἀρετῶν ταῖς ἰδέαις,
ψυχὴν δὲ πάλιν τοῖς λόγοις ἐναρμόσας,
5 σύμφωνον ἔσχες τῷ λόγῳ καὶ τὸν τρόπον.
Καὶ ῥυθμὸς οὗτος τρίτος ἐκ τοῦ Πινδάρου
εὑρὼν τὸ πᾶν ὡς τμῆμα, πρὸς σέ πως ῥέπει, 4
καὶ γίνεταί σοι πλεῖστος ἐντεῦθεν λόγος[3],
ἕως λογικὸς προσλαβεῖν τοῦτον πόνοις
10 ὑπηρετοῦμαι τοιγαροῦν σοι χαρίτων,
πρὸς ταῦτα κ' ἀγὼ, τῷ Θεῷ σου δ' ἡ χάρις,
ἐν ᾧ[4] τέλος πᾶν ἀγαθῶν[5] ἀνύεται.

[1] Cod. 1881. Chart. Sæc. XV. Continet Hephæstion. Enchir. cum Schol. et varia Opuscula Metrica, inter quæ f. 96, Anonymi de metris Pindaricis versibus politicis conscriptum. Hujus autem auctor est Isaacus Tzetzes, ut doceor Cod. Bodl. t. iv. 9. ol. Saibant.

[2] Cod. Paris. hæc est tabula 1°. fol. scripta,

1. Ἰωάννου τοῦ Τζέτζου διδασκαλία σαφεστάτη περὶ τῶν ἐν στίχοις μέτρων ἁπάντων. 2. περὶ μετρικῶν πόδων σύγγραμμα συντομώτερον. 3. ἐκ τῶν Λογγίνου τοῦ φιλοσόφου τὰ προλεγόμενα εἰς τὸ Ἡφαιστίωνος ἐγχειρίδιον. 4. ἐπιτομὴ τῶν ἐννέα μέτρων ἀτελής. 4. Ἡφαιστίωνος ἐγχειρίδιον περὶ μέτρων. 5. ἄλλο σύγγραμμα περὶ μέτρων ἄναρχον. 6. Ἡρωδιανοῦ περὶ στίχων τῆς λέξεως. 7. ἕτερον σύγγραμμα περὶ τῶν μετρικῶν πόδων. 8. τοῦ σοφωτάτου Τρίχα ἐπιμερισμοὶ τῶν ἐννέα μέτρων. 9. περὶ τῶν Πινδαρικῶν μέτρων διὰ στίχων πολιτικῶν ἄναρχον. 10. ἕτερον σύγγραμμα ἐν πέζῳ λόγῳ περὶ τῶν Πινδαρικῶν μέτρων ἀνεπίγραφον. 10. Λιβανίου σοφιστοῦ περὶ ἐπιστολιμαίου χαρακτῆρος. 11. ἐξήγησις εἰς τὸ Ἡφαιστίωνος ἐγχειρίδιον. Annotavit aliquis "Auctores rei metricæ hi sunt, Hephæstion, Castor Rhodius de Metris Rhetoricis, Phæbammon, Herodianus, Lenæus, Tryphon, Chœroboscus, Andronicus, Draco Stratonicensis, Triclinius, Ulysses Metricus, Tzetzes, Trichas, Longinus, &c. Vid. Codd. Colbert. 1215. 1825."

[3] Hunc vers. om. Cod. Par. [4] ἐμῷ Par. [5] ἀγαθὸν Par.

Digitized by Google

ΠΕΡΙ ΠΙΝΔΑΡΙΚΩΝ ΜΕΤΡΩΝ.

Δεῖ σε γινώσκειν ἀκριβῶς, ὦ τούτοις ἐντυγχάνων,
καὶ μέτρον τὸ Πινδαρικὸν γλιχόμενος μανθάνειν,
οἷά τι μέρος καὶ αὐτὸ γραμματικῆς τυγχάνον·
τῶν γὰρ βραχέων καὶ μακρῶν οἶδε φροντίζειν αὕτη, 5
ἐξ ὧν πρώτων συνίσταται μεμετρημένος λόγος·
καὶ δὴ δευτέρων τῶν ποδῶν τῶν δέ γε μέτρων τρίτων
τετάρτων καὶ ἐσχάτων τε τριπόδων περιόδων,
ἅπερ σαφῶς διδάξομεν τοῦ λόγου προιόντος.
ὡς γενικόν τι ὄνομα τὸ ποίημα τυγχάνει, 10
καὶ διαιρεῖται τετραχῶς ὡς ὅλον εἰς τὰ μέρη.
τῶν ποιημάτων γάρ εἰσι τὰ μέντοι κατὰ στίχον,
συστηματικά τε καὶ μικτά τε, πρὸς τούτοις δὲ κοινά τε.
καὶ κατὰ στίχον μέν εἰσιν ὅσα μετρεῖται μέτρῳ
αὐτῷ τῷ οἰοδήτινι, ὡς τὰ Ὁμήρου ἔπη, 15
εἰ βούλει, καὶ Λυκόφρονος, καὶ τὰ τοῦ Θεοκρίτου,
Ὀππιανοῦ τε σὺν αὐτοῖς, καὶ τοῦ Διονυσίου,
ὅσα τῷ μέτρῳ τῷ αὐτῷ διόλου ἐκμετρεῖται.
ἐν καταχρήσει ἴσθι δὲ καὶ ταῦτα κατὰ στίχον
καλοῦνται, οἷς ἐμέλησε τοῦ ῥυθμοῦ καὶ τοῦ μέτρου, 20
κἂν ὑπὸ κόμματος αὐτοῦ ἢ κώλου ἐκμετρῶνται.

Περὶ διαφορᾶς στίχοτ καὶ κώλοτ.

Διαφορὰν δὲ γίνωσκε τοῦ μέτρου καὶ τοῦ κώλου
καὶ κόμματος τυγχάνουσαν παρὰ τοῖς τεχνογράφοις.
στίχος τὸ ὑπὲρ δίμετρον τρίσιν ἐν συζυγίαις. 25
τὴν συζυγίαν μάνθανε οὖσαν ταυτὴν τῷ μέτρῳ,
δύο πόδας τὸ μέτρον δὲ εἰ ἰαμβεῖα πρόσχες,
τροχαϊκὰ, σπονδειακὰ, καὶ ἀναπαιστικά τε,
ὡς τῶν δακτύλων ἐντελὲς ἀναπληρούντων μέτρων,
ὡς εἶναι στίχον τρίμετρον τὸν ἰαμβεῖον στίχον. 30
ἑξάμετρον δακτυλικὸν, εἰ καὶ σπονδείους ἔχει.

Digitized by Google

ὅρα γὰρ τὴν μετάληψιν ὅπως ὡς θαυμασία.
ὁ ἴαμβος ἐστὶν οὗ δακτύλῳ σκευωρεῖται.
ἐν οἷαις χώραις δὲ τελεῖ, σὺν ἄλλοις τρισυλλάβον
πάντα πλησμένως προϊὼν ὁ λόγος ἐκδιδάξει.
πλὴν τοῦτο μόνον γίνωσκε δακτύλῳ ἐκμετρεῖσθαι.
Ὁ μέντοι γε ἡρωϊκὸς δακτύλῳ καὶ σπονδείῳ
τὸν δάκτυλον εἰρήκαμεν ἐπέχειν ἕν τι μέτρον.
τὸν δὲ σπονδεῖον ἥμισυ ἐλέγομεν καὶ πόδα.
ὡς γοῦν ὁ δάκτυλος αὐτὸς ἐν ἰαμβείῳ στίχῳ
οὐ σώζει μέτρον ἐντελὲς, ἡμίμετρον τυγχάνων,
ὡσαύτως ἐν ἡρωϊκῷ στίχῳ ὁ σπονδεῖος
πλουτεῖ τὴν ἰδιότητα τὴν τοῦ δακτύλου πάλιν,
καὶ μέτρον ἐκλαμβάνεται ὁλόκληρον ἐν στίχῳ.
ἅπερ πλατύτερον ἐρῶ ἐν τόποις τοῖς ἰδίοις·
νῦν δὲ ἀναληπτέον μοι τὸν λόγον τὸν τοῦ στίχου.

Περὶ Στίχοτ.

Στίχος τὸ ὑπὲρ δίμετρον τρισὶν ἐν συζυγίαις,
πολλάκις δὲ καὶ τέτρασιν ὡς τὰ τοῦ ἀναπαίστου.
εὕρηται γὰρ ἐν κωμικοῖς μᾶλλον Ἀριστοφάνει
ἀνάπαιστοι ὀκταδικοὶ ἑνί τινι ἐν στίχῳ·
ὡς γίνεσθαι ὁλόκληρον συζυγιῶν τεσσάρων.
ἔχεις τὸν στίχον ἀκριβῶς, μάνθανε δὲ καὶ τ' ἄλλα.

Περὶ διαφορᾶς καὶ κοινωνίας κώλοτ καὶ κόμματος.

Τὸ κῶλον καὶ τὸ κόμμα γὰρ κατά τι κοινωνοῦσι,
κατά τι διαφέρουσιν, ὅτι καὶ κοινωνοῦσιν.
ἡ κοινωνία τούτοις γὰρ ὅτι ἐντὸς διμέτρου,
ἐντὸς δυοῖν συζυγιῶν, ἐντὸς ποδῶν τεσσάρων,
πλὴν τοῦ δακτύλου καὶ αὐτῶν πάντων τετρασυλλάβων.
ἀλλ' ὅταν ὦσιν ἐντελεῖς αὗται αἱ συζυγίαι,
κῶλον καλεῖται παραυτὰ· ἂν δ' ἀτελεῖς τι κόμμα
μιᾶς λειπούσης συλλαβῆς, πολλάκις δὲ καὶ δύο,
ἃς καταλήξεις λέγουσι καὶ βραχυκαταλήξει
ὡς καὶ αὐτά σοι λέξομεν πλὴν ἐν οἰκείοις τόποις·

Digitized by Google

τὸ δὲ τοῦ κώλου ὄνομα καὶ τὸ τοῦ κόμματός τε
ἐκ τῶν σωμάτων εἴληφεν ὁ ὀνοματόγραφος·
καὶ σῶμα νόει ἐντελὲς τὸν στίχον· τὸ δὲ κῶλον
ὀστοῦν, ἀλλ' ἄθραυστον εἰπὲ ἐξ ἁρμονίας ὅλον.
τὸ δέ γε κόμμα νόησον ὀστοῦ τι μέρος πέλον· 5
πάροσον οὐδὲ ὁλόκληρον τὰς συζυγίας φέρει.
καὶ τὰ περὶ μὲν τοῦ ποιήματος τοῦ κατὰ στίχον ἔχεις.

Περὶ Στεθηματικῶν.

Συστηματικά τε μάνθανε τὰ ἡρωελεγεῖα. 10
πρὸς γὰρ ἑξάμετρόν φημι ἡρωϊκὸν τὸν στίχον,
τὸ ἐλεγεῖον πάρεστιν ἐν πενταμέτρῳ στίχῳ.
γίνωσκε δὲ πεντάμετρον τὸν ἐλεγεῖον στίχον,
ἐκ δύο πενθημιμερῶν τὸν ὅλον συνεστῶτα,
τῶν πέντε δὲ τὸ ἥμισυ δύο καὶ ἥμισύ τι· 15
δύο δὲ δύο καὶ ἡμίσεα ἐστὶ τὰ πέντε·
ὅθεν ἐστι πεντάμετρον τὸ ὅλον ἐλεγεῖον.
Ἔστι δὲ καὶ τὸ σύστημα συναγωγή τις μέτρων,
ὥσπερ ὠδὶ ἡρωϊκοῦ τοῦ ἑξαμέτρου στίχου·
καὶ πενταμέτρου σὺν αὐτῷ τῶν ἐλεγείου θέσις· 20
οἷα τὰ τοῦ Θεόγνιδος ποιήματα τυγχάνει.

Περὶ μικτῶν στεθημάτων.

Ἐκ τούτων τοίνυν τοῖν δυοῖν συστήματος καὶ στίχου
τά γε μικτὰ καὶ τὰ κοινὰ συνίστανται ἐν λόγοις.
τὰς τραγῳδίας μάνθανε μικτὸν ἐχούσας μέτρον, 25
ἔκ τε τῶν στίχων φανέρως συστηματικοῦ τε·
λέγοντος γὰρ τοῦ ποιητοῦ πολλοὺς τοὺς ἰαμβείους,
καὶ μέχρι πλείστου ἐν αὐτῷ τῷ μέτρῳ στιχουργοῦντος δὲ,
εὕρηνται καὶ συστήματα μυριαχοῦ τοῦ λόγου,
ἅπερ μετροῦνται καθ' αὑτὰ ἐν μέτροις τοῖς ἰδίοις. 30
αὐτὰ φημὶ τὰ βράχιστα, τὰ κόμματα, τὰ κῶλα,
οἷς οἱ χοροὶ στυγνάζουσι ἐπιπλεῖστον πάρει.

Digitized by Google

Περὶ κοινῶν στεθημάτων.

Κοινὰ δὲ συστηματικὰ ταῦτα καλοῦνται πάλιν,
ὅποσα εἴποιμεν σαφῶς καὶ κατὰ στίχον πέλειν,
πρὸς τούτοις συστηματικὰ αὐτὰ τυγχάνειν πάλιν·
5 οἷον τὸ δεύτερον φασὶ καὶ τρίτον οἱ τεχνῖται
τῆς ποιητρίας τῆς Σαπφοῦς τῆς ἀσματογραφούσης.
καὶ πῶς δὲ ταῦτα γίνεται τοῦτ' ἐρῶν ἐπισπεύδω.

Περὶ τῶν τῆς Σαπφοῦς στεθηματικῶν στίχων.

Στίχοι τινὲς συντίθενται τῇ ποιητρίᾳ τόσοι,
10 ἔχοντες μέτρον τὸ αὐτὸ ποσόν τε καὶ ποιόν τε.
εἰσὶ δὲ μήκιστοί τινες καὶ ὑπὲρ μέτρον στίχου,
ὡς διηρῆσθαι καὶ πολλοῖς τοῖς παλαιτάτοις δίχα
τοῖς πᾶσιν ἴσην τὴν τομὴν τοῖς στίχοις γεγονέναι.
τούτους τοὺς στίχους, εἴ τις δὴ ἐντελὴς ἐκλαμβάνει,
15 κατὰ τὸν στίχον εἴπῃ ἂν τὸ ποίημα γέγραφθαι.
εἰ δέ τις κατὰ τὴν τομὴν μετρῆσαι θέλει τοῦτο,
συμβαίνει τὸ μὲν πρότερον ἄλλως μετρεῖσθαι μέρος,
ἄλλως τὸ δεύτερον αὐτὸ ὡς ἡρωελεγεῖα,
καὶ κατὰ σύστημα δοκεῖν τὸ ποίημα γεγράφθαι.
20 Ἐπειδὴ παρανάλωμα τοῦ χρόνου ἐγεγόνει,
καὶ ἡ Σαπφὼ καὶ τὰ Σαπφοῦς, ἡ λύρα καὶ τὰ μέλη,
φέρε σοι πρὸς παράδειγμα θήσομεν στίχους ἄλλους·
καὶ Ὅμηρος, Ἡσίοδος, τοὺς στίχους συγκροτείτω,
ὡς καθ' ὑπόθεσιν παθεῖν τὴν τομὴν δυναμένους.
25 "Ἄνδρα μοι ἔνεπε, μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ"
"οὐκ ἄρα μοῦνον ἔην ἐρίδων γένος· ἀλλ' ἐπὶ γαῖαν."
Τούτους ἐάν τις διαιρῇ, καθὸ σταυρογραφοῦμεν,
μετρήσει τὰ δακτυλικὰ τετράμετρα εὑρήσει·
μετρήσει καὶ τἀπίλοιπα ὅμοια ταῦτα ἴδοι.
30 κἂν βούλοιτο ἰαμβικὰ ταῦτα καλεῖν, εὑρίσκων
διποδιζόμενα σαφῶς ἓν ἐκτελοῦντα μέτρον.
εἰ δέ τις δακτυλικὰ ταῦτα καλεῖν θελήσει,
δίμετρα φήσει ταυταδὶ, πλὴν ἀκατάληκτά γε,
μιᾶς δεούσης συλλαβῆς ὡς δάκτυλον πληροῦσθαι.

Digitized by Google

Περὶ τῶν κατὰ σχέσιν στεστηματικῶν.

Πάλιν τὰ τοῦ συστήματος, τὰ μέντοι κατὰ σχέσιν,
τὰ μετρικὰ δὲ ἄτακτα ἄλλο ἔστι τι μέρος·
τάδ' ἀπολελυμένα τε, τάδ' εἰσὶν ἐξ ὁμοίων.
τὰ γὰρ κοινόμικτα τὰ νῦν ἀφίημί σοι λέγειν. 5
εἰς ἃ τοίνυν ὁ ποιητὴς ἀνταποδόσει χρῆται,
ἀνακυκλοῖ καὶ γράφει τε πάλιν ταῦτα τοῖς μέτροις,
τὰ κατὰ σχέσιν ταῦτ' εἰσὶ, καὶ λέγονται τοῖς πᾶσιν.

Περὶ τῶν ἀτάκτων μέτρων.

Ἅπερ δὲ μέτρα γέγραπταί τινὶ οὐ τεταγμένῳ 10
οὐκ ἀνακύκλησιν τινα οὔμενουν κεκτημένα,
οὐχ ὁμοιότητα τινὰ πρὸς ἄλληλά τε σχόντα
καὶ μετρικὰ καὶ ἄτακτα καλοῦνται παρὰ πᾶσιν·
ὡς ἔταξεν ὁ ποιητὴς ἐν τῷ αὐτοῦ Μαργείτῃ,
ἐν ᾧ τοῖς ἐπεσί τινα ἰαμβικὰ τελοῦσιν, 15
ἀλλ' οὐ κατ' ἴσον σύστημα, οὐ μετὰ τοσούτους στίχους·
ἀλλ' ἔστιν οὗ μετὰ δέκα, ἔστιν οὗ μετὰ πέντε,
καὶ μετὰ ἓξ, καὶ μεθ' ἑπτὰ, ἐπῶν μετ' ὀγδοάδα.

Περὶ ἀπολελυμένων μέτρων.

Ἅπερ δὲ γέγραπται εἰκῇ καὶ μέτροις ἀορίστοις, 20
οὐκ ἔχοντος τοῦ ἐν αὐτοῖς μέτρου τινά περ ὅρον,
ὡς νόμους κιθαρῳδικοὺς φασὶν τοῦ Τιμοθέου,
ταῦτα φασὶν ἀπόλυτα, ταῦτα ἀπολελυμένα.

Περὶ τῶν ἐξ ὁμοίων μέτρων.

Τὰ δ' ἐξ ὁμοίων μάνθανε, αὐτὰ γὰρ κατελείφθη· 25
ἅπερ ὑπὸ ποδός τινος ἢ τινος συζυγίας
ἢ περιοδου μετρηθῇ, ταῦτα τὰ ἐξ ὁμοίων.

Περὶ περιόδου.

Περιόδον δὲ γίνωσκε τριῶν ποδῶν τι κόμμα.
ἐκ γὰρ τριῶν περίοδος ὡς δυοῖν συζυγία· 30
ἢ διαφόρων σύνθεσις ποδῶν κατὰ τοὺς ἄλλους.

Digitized by Google

οὐ τῶν αὐτῶν τροχαίου τε δακτύλου καὶ σπονδείου.
ὅτε τοίνυν μεμέτρηται ἔκ τινος τῶν τοιούτων
οὐχ ὡρισμένῳ ἀριθμῷ ἀλλ' ὅλως ἀορίστως,
τότε τὰ ἐξ ὁμοίων σοι ὑποτυποῖ ὁ λόγος·
5 εἰ γάρ ἐστιν ὁ ἀριθμὸς ἐν τούτοις ὡρισμένως,
τῶν περιόδων, τῶν ποδῶν, τῶν κώλων, τῶν κομμάτων·
οὐκ ἐξ ὁμοίων τότε εἰσὶν, ἀλλὰ τὰ κατὰ σχέσιν
ἔχεις καὶ τὴν διαίρεσιν αὐτῶν τῶν συστημάτων.

Ὑποδιαίρεσις τούτων.

10 Ὑποδιαίρει πάλιν δὲ τὰ κατὰ σχέσιν οὕτως.
τούτων τὰ μὲν, μονοστροφικὰ, τὰ δὲ ἐπῳδικά τε,
τὰ δὲ κατὰ παρακοπὴν ἀνομοιομερῆ τε·
τά δ' ἀντιθετικά εἰσι· μικτόκοινα οὐ λέγω,
τούτοις καὶ γὰρ συνείληπται τὰ δύο ταῦτα μέρη
15 τὰ κατὰ σχέσιν τε μικτὰ, καὶ κοινὰ κατὰ σχέσιν.
τοίνυν μονόστροφόν ἐστι, στροφὴ σὺν ἀντιστρόφῳ.
ἀνόμοιον ὁ ἐπῳδός· τὰ γὰρ ἐπῳδικά τε
ὅταν στροφὴ, ἀντίστροφος καὶ ἐπῳδὸς τυγχάνῃ.

Περὶ τῶν κατὰ παρακοπήν.

20 Παρακοπὴν τῶν κωμικῶν ἐν παρεκβάσει μάθε,
ὅταν τιθῶσι σύστημα ἐκ τόσων ἀνομοίων,
καὶ συνεστῶσας ἐξ αὐτῶν παρακοπὰς ποιῶσιν,
ὡς εἶναι τὰς παρακοπὰς τούτων ἀλλήλαις ἴσας.
τὰ δὲ συστήματα αὐτὰ ἀνόμοια ἀλλήλοις,
25 αὐγὰς προσβάλλων τῷ ᾠῷ Ῥοδίου τοῦ Σιμμίου,
καὶ τῷ πελέκει τῷ αὐτοῦ, ὃν Ἐπειὸς δωρεῖται
Τριτογενεῖ τῇ Ἀθηνᾷ χάριν δουρείου ἵππου.
ἐπίστω τ' ἀντιθετικὰ, ἐν οἷς διέλθῃς ξένως
ὕστατον κῶλον δεύτερον ἀνταποδοὺς τῷ πρώτῳ·
30 τὸ ἀπὸ τέλους δεύτερον, τῇ τάξει τῷ δευτέρῳ·
τὸ ἀπὸ τέλους τρίτον δὲ τῇ τάξει τε τῷ τρίτῳ.
καὶ οὕτως ἐφεξῆς ποιῶν, μέχρις αὐτοῦ τοῦ μέτρου
ὡς εἶναι μέσον τὸ αὐτὸ καὶ παραδόξως τέλος.

Digitized by Google

Περὶ τῶν ἐπωιδικῶν.

Δεῦρ' ἴθι τὰ ἐπῳδικὰ ὑποδιαίρει πάλιν,
καὶ τοὔσχατόν δε γίνωσκε ταῦτ' ὄντα ἐν τριάδι.
εὕρηνται καὶ τετραδικὰ σὺν τοῖς πενταδοῖς γε·
ἐν τούτοις τοῦ ἐπῳδικοῦ πολλαπλασιασθέντος 5
λόγῳ τινί τε μυστικῷ καὶ κρυφιωδεστέρῳ[6],
ὅν περ ἀνακαλύψομεν καὶ λέξομεν ὡς οἷον.
Τὸ ᾆσμα τὸ ἐπῳδικὸν μίμησιν ἔχει κόσμου
στροφὴ κινήσεως παντὸς εὐτάκτως κινουμένου·
τῆς τῶν πλανήτων πάλιν δὲ ἀντίστροφος πορείας· 10
τὴν ἠρεμίαν ἐπῳδὸς τῆς γῆς καθυπογράφει,
ὅθεν τῷ τότε ᾔδετο τῶν χορευτῶν στηκόντων.
τοίγαρ ἡ κίνησις αὐτὴ ὁρίζεται τοσήδε.
ἀπ' ἀκρῶν τῆς ἀνατολῆς ἕως δυσμῆς τῶν ἄκρων,
ἀπ' ἀκρῶν τε τῶν δυτικῶν μέχρις αὐτῆς ἑώας· 15
τοιγάρ τοι καὶ ὁρίζεται στροφὴ σὺν ἀντιστρόφῳ.
τὴν ἠρεμίαν ἔχεις δὲ τῆς γῆς ἀοριστοῦσαν.
κἀκ τούτων καὶ τοὺς ἐπῳδοὺς ἐκτέθῃς ἀορίστους.
Μὴ τὰς συχνάς δε λέγε μοι παντὸς ἀνακυκλήσεις,
μὴ τὰς συχνὰς ἀρίθμει τε κινήσεις τῶν ἀστέρων, 20
ὡς δῆθεν πλείους ἀξιῶν γενέσθαι τὰς στοφάς γε,
καὶ πλείους τὰς ἀντιστροφὰς τούτων φερούσας τύπον·
ἀλλὰ τὴν ἅπαξ μίμησιν φέρει τὸ ᾆσμα κόσμου.
ἐκεῖσε δ' ἐν τοῖς ἐπῳδοῖς μίαν αὐτὴν τὴν στάσιν
τὴν τῆς χθονὸς λαμβάνομεν οὐ τόσας οὐδὲ πλείους. 25

Περὶ τῶν ὁμωνύμων ἐπωιδικῶν.

Τοιγάρ τοι τοῦ ἐπῳδικοῦ καὶ ὑπαλλήλου γένους
τὰ μὲν εἰσὶν ὁμώνυμα ἐπῳδικὰ τῷ γένει,
προῳδικά, μεσῳδικὰ καὶ παλινῳδικά τε
ἄλλα τε περιῳδικὰ τυγχάνει ἐπὶ τούτοις· 30

6 κρυφιωδεστέρῳ B.

Digitized by Google

Περὶ ἐπωιδικῶν.

Ἐπῳδικὰ μὲν γίνωσκε, ἵνα τὸν ὅρον εἴπω
οἷς τισιν ἐπιφέρεται ἀνόμοιον ὁμοίοις.
ὅμοια λέγει τὴν στροφὴν σὺν ἅμα ἀντιστρόφῳ·
5 ἀνόμοιον τὸν ἐπῳδὸν καὶ κώλοις καὶ τοῖς μέτροις.
ὅταν τοιγάρ τοι φέρεται στροφὴν σὺν ἀντιστρόφῳ
ὁ ἐπῳδὸς δὲ ἔκ τοτε ἐπῳδικὸν τυγχάνει.
ἔχεις τὸν Πίνδαρον αὐτὸν τούτοις χωροστατοῦντα.

Περὶ προωδικῶν καὶ μεσωδικῶν.

10 Προῳδικά[7] δε μάνθανε, ὅταν προστάττων πάλιν
ἀνόμοιον τὸν ἐπῳδὸν, τὰ ὅμοια ἐπάξῃς.
ὅταν δὲ περιέχωσι τὰ ὅμοια τὸ μέσον,
καὶ μέσα τὰ ἀνόμοια τετάχαται, τοτ' ἴσθι
μεσῳδικὴν ὑπάρχουσαν τὴν ᾀσματογραφίαν.

Περὶ παλινωιδικῶν.

15 Ὅρα τὰ παλιῳδικὰ, οὔ μενουν ἐν τρίασιν,
ἐν οἷς τὰ περιέχοντα ἔσθ' ὅμοια ἀλλήλοις,
ἀνόμοια τυγχάνοντα τοῖς περιεχομένοις,
λέγω στροφὴν ἀντίστροφον, αὐτὰ γὰρ περιέχει·
20 ἐν τούτοις δύο ἐπῳδοὺς ὁμοίους λάμβανέ μοι,
ἃ καὶ τοῖς περιέχουσιν ἀνόμοια τυγχάνει
ὄντα περιεχόμενα στροφῇ καὶ ἀντιστρόφῳ,
ὥστε στροφὴν καὶ ἐπῳδὸν[8] τυγχάνειν.
ἔκ τοτε καὶ ἀντίστροφον ἅπαν τὸ ᾆσμα τοῦτο.
25 ὅρα τὰ περιοδικὰ καὶ ταῦτα ἐν τετράδι,
ἐν οἷς τὰ περιέχοντα οἱ ἐπῳδοὶ οἱ δύο
ἀνόμοια καὶ ἑαυτοῖς καὶ περιεχομένοις·
ὅμοια τὰ περιεχόμενα στροφῇ σὺν ἀντιστρόφῳ,
ἃ καὶ τοῖς περιέχουσιν ἀνόμοια τελέθει.
30 ἔχεις τὴν πᾶσαν ἀκριβῶς τμῆσιν τῶν ποιημάτων·
ᾀσμάτων τὴν διαίρεσιν ὡς ἐν βραχεῖ τὴν πᾶσαν.
λάμβανε τοίνυν καὶ ποδῶν σαφῆ διδασκαλίαν.

[7] προωδιακὰ B. [8] ἐπῳδον male repetit B.

Digitized by Google

Περὶ ποδῶν τῶν τε διστλλάβων, τριστλλάβων καὶ τετραστλλάβων.

Εἴκοσι πάντες καὶ ὀκτὼ τυγχάνουσιν οἱ πόδες,
δισύλλαβοι, τρισύλλαβοι σὺν τοῖς τετρασυλλάβοις.
τέσσαρες οἱ δισύλλαβοι· τούτων εἷς δίχρονός τις 5
πυρρίχιος καλούμενος ἐκ δύω τῶν βραχέων.
ἔστω σοι πρὸς παράδειγμα τὸ λόγος τῶν διχρόνων.
δύο δ' εἰσὶν οἱ τρίχρονοι· τροχαῖος, οἷον δῆμος·
καὶ ἐκ βραχείας καὶ μακρᾶς, ἴαμβος, οἷον, λέβης.
ὁ τέταρτος τετράχρονος, σπονδεῖος, οἷον, ἥρως. 10

Ὀκτὼ δὲ οἱ τρισύλλαβοι, καὶ τούτων διπλασίως
τρίχρονος εἷς ἐκ τούτων γε λεγόμενος χορεῖος
παράδειγμα τὸ ἴδ᾽ ὂν ἐκ τριῶν τῶν βραχέων.

Τοὺς τετραχρόνους γίνωσκε τρεῖς ὄντας τρισυλλάβους,
ἔκ τε μακρᾶς καὶ βραχειῶν, ὁ δάκτυλος τῶν δύο· 15
ἔκ τε βραχείας καὶ μακρᾶς καὶ πάλιν τῆς βραχείας
ἀμφίβραχυς ὡς τόμῦρος καὶ πάλιν ἐκπορίζου.
ἐκ βραχειῶν δὲ τῶν δυοῖν ἀνάπαιστος μακρᾶς τε.

Τοὺς πενταχρόνους πάλιν δὲ τρεῖς καὶ αὐτοὺς ἀρίθμει
ὁ ἐκ βραχείας καὶ μακρῶν δυοῖν, βακχεῖος πρῶτος, 20
ὁ δεύτερος ἀμφίμακρος, εἰ βούλει, κρητικός τε·
ἔκ τε μακρᾶς βραχείας τε καὶ αὖθις ἐκ μακρᾶς γε·
ἐξ ἀμφοτέρων δὲ μακρῶν ἐσχάτης τῆς βραχείας
γίνωσκε παλιμβάκχειον καλούμενον τὸν πόδα.
ἑξάχρονος ὁ μόλοττος τρισὶ μακραῖς ὑπάρχει. 25
οἱ δέ γε τετρασύλλαβοι, ἑκκαίδεκά σοι πάντες,
προκελευσματικός τε, τετράχρονος ὁ πρῶτος
τέσσαρας ἔχων συλλαβὰς, τὰς πᾶσας δὲ βραχείας.

Οἱ τέσσαρες δὲ παίωνες πεντάχρονοι καὶ μόνοι·
μακρᾷ μιᾷ γὰρ καὶ τρισὶ βραχείαις σκευωροῦνται. 30
ἡ δέ γε θέσις τῆς μακρᾶς τὴν κλῆσιν παριστάνει.
ἐκ πρώτης γὰρ μακρᾶς οὔσης, παίων ἐστὶ πρῶτος·
ἐν δὲ δευτέροις τῆς μακρᾶς ὁ δεύτερος κειμένης·
τρίτοις κειμένης τῆς μακρᾶς, παίων ἐστὶν ὁ τρίτος·
τετάρτης δ' οὔσης τῆς μακρᾶς, ὁ τέταρτός μοι παίων. 35

Digitized by Google

Τοὺς ἑξαχρόνους μάνθανε ὅποσοί τε καὶ τίνες.
ἕξ εἰσιν οἱ ἑξάχρονοι· πέλουσι πάντες δ' οὗτοι,
διίαμβος, διτρόχαιος, δυοῖν ἐξ ἀμφοτέρων.
Τὰ ἀπὸ μείζονος αὐτὰ καὶ τοῦ ἐλάττονός γε,
5 ἰωνικὰ ἐκλάμβανε, πλὴν οὐκ ἀδιαφόρως.
ἐκ δύο γὰρ τῶν βραχειῶν, ἐκ δύο τῶν μακρῶν τε·
πρωτευουσῶν τῶν βραχειῶν ἐξ ἐλαττόνων νόει·
πρωτευουσῶν δὲ τῶν μακρῶν, ἐκ τῶν μειζόνων ἔχε.
Ἔκ τε βραχείας καὶ μακρῶν τῶν δύο καὶ βραχείας
10 ἀντίσπαστον ἐκλάμβανε ὑπάρχοντα τὸν πόδα.
Ἐκ δὲ μακρῶν καὶ βραχειῶν τῶν δύο καὶ μακρᾶς τε,
χορίαμβον ἐκμάνθανε τηλέθοντα τὸν πόδα.
καλεῖσθαι δὲ χορίαμβον, τοῦτον τὸν τρόπον μάθε.
πολλάκις γὰρ ἡ κατ' ἀρχὰς μακρὰ τοῦ χορίαμβου
15 εἰς δύο διαιρεῖται τοῖς ποιηταῖς βραχείας.
μένει δὲ πεντασύλλαβος, ἐξ οὗ πλουτεῖ τὴν κλῆσιν.
ἐκ γὰρ τριῶν τῶν βραχειῶν, ὅπερ ἐστι χορεῖος·
καὶ τοῦ ἴαμβου σύγκειται· ἐξ ὧν περ καὶ καλεῖται.
Τοὺς ἐπιτρίτους μάνθανε τέσσαρας ἑπταχρόνους·
20 ἔκ τε βραχείας καὶ τριῶν μακρῶν συντεθειμένους.
ἡ θέσις τῆς βραχείας δὲ τὴν κλῆσιν παριστάνει.
πρῶτος ἐπίτριτός ἐστι βραχείας πρωτευούσης·
ὁ δεύτερος ἐπίτριτος κειμένης ἐν δευτέροις·
ἐν δὲ τρίτῃ συλλαβῇ κειμένης τῆς βραχείας
25 τρίτος ἐπίτριτός ἐστι· τέταρτος ἐν τετάρτῃ.
Εἷς ἐστιν ὃς ὀκτάχρονος δισπόνδειος καλεῖται.
ἐκ τῶν τεσσάρων τῶν μακρῶν· ἔχεις ἰδοὺ τοὺς πόδας.
Ἐκ τούτων οἱ δισύλλαβοι διποδιζόμενοί πως
μέτρον πληροῦσι παρ' αὐτὰ, εἰ βούλει συζυγίαν,
30 διάφορα ὀνόματα ταῦτα δ' ὑποκείμενα
καθὸ φαμὲν καὶ τρίμετρον τὸν ἰαμβεῖον στίχον.
Τῶν τρισυλλάβων ἴσθι δὲ τὸν δάκτυλον καὶ μόνον
πληροῦντα μέτρον ἐντελὲς, εἰ θέλεις συζυγίαν.
καθὸ καὶ τὸν ἡρωϊκὸν ἑξάμετρον καλοῦμεν.
περὶ δὲ τούτων ἔμαθες τοῖς ἀνωτέροις τόποις

Digitized by Google

τὴν θαυμαστὴν μετάληψιν δακτύλου πρὸ σπονδείων.
οὐδὲ γὰρ ἔχει τὴν αὐτὴν ὁ δάκτυλος ἀξίαν,
ὅταν ἐν στίχοις τραγικοῖς ἰαμβικοῖς τελέθῃ·
ἀλλὰ μετ' ἄλλου κείμενος τελεῖ ποδὸς τὸ μέτρον,
καθὰ καὶ μέτρον ἐντελὲς ἐπέχει ὁ σπονδεῖος 5
ἐν μέτρῳ τῷ ἡρωϊκῷ ἐπίσης τοῖς δακτύλοις.
οἱ δ' ἕτεροι τρισύλλαβοι διποδιζόμενοί γε
τὸ μέτρον ἀπαρτίζουσι, τὴν συζυγίαν λέγω.
Ἀλκμὰν δὲ πάντως ἔγραψεν ἐκ μόνων ἀμφιμάκρων,
ἐν οἷς καὶ μέτρον ἅπαντες ἀμφίμακρον τελοῦσιν, 10
ἑξάμετρα τῶν ῥυθμικῶν τοὺς στίχους λαμβανόντων.
Τετρασυλλάβους γίνωσκε πάντας ἐνὶ τῷ λόγῳ,
ὡς δισυλλάβων ἐκ ποδῶν καλῶς συντεθειμένους
καὶ μέτρον ἀπαρτίζοντας ὁλόκληρον ἐν στίχοις.

Περὶ ἀποθέσεως τῶν μέτρων. 15

Τὰς ἀποθέσεις μάνθανε τῶν μέτρων ἐπὶ τούτοις.
ἔστιν ὁ ἀκατάληκτος στίχος ὁ μὴ ἐλλείπων,
οὐ συλλαβῇ, οὐ χρόνῳ τε, οὔμενουν οὐ ποδί τε.
ἐν καταλήξει γίνωσκε ὑπάρχοντα τὸν στίχον,
ὅταν πρὸς τέλος ἐλλιπὴς ἢ συλλαβῇ ἢ χρόνῳ· 20
τὸν στίχον τὸν ἡρωϊκὸν, ὃν τελειοῖ τροχαῖος,
λέγουσι καταληκτικὸν, ἢ χρόνῳ ὡς σπονδεῖον,
ἢ συλλαβῇ ὡς δάκτυλον· τούτοις γὰρ συγκροτεῖται.
πλὴν μάνθανε διαφορὰν τῆς συλλαβῆς καὶ χρόνου.
ὁ χρόνος θεραπεύεται· πέλει γὰρ τελευταία 25
ἡ συλλαβὴ ἡ πάσχουσα τὴν ἔλλειψιν τοῦ χρόνου.
πάντοτε γὰρ ἐν ἅπασι στίχοις ἡ τελευταία
ἔστι μὲν ἀδιάφορος, λαμβάνεται δ' ὡς θέλεις·
πλουτήσασα ταυτόνομον κειμένη τελευταία
βραχὺ γάρ ἐστι προφανῶς τὸ ἰαμβείου τέλος. 30
λαμβάνομεν πυρρίχιον, ἀλλὰ μακρὰ ὑπάρχει·
ῥυθμίζομεν τὸν ἴαμβον, ἀλύμαντον τὸ μέτρον·
ἡρωϊκόν τε περατοῖς βραχείᾳ καταλήξει
τροχαῖον πόδα λέγομεν· ἀλλὰ μακρᾷ καὶ πάλιν·

Digitized by Google

σπονδεῖον ἀπαρτίζομεν ἀπήματον τὸ μέτρον.

Οἶδας δὲ ἀδιάφορον καὶ τέλος ἐλεγείου,
τὴν τελευταίαν συλλαβὴν τμήματος τοῦ δευτέρου.
ἁπλῷ λόγῳ ἐν ἅπασι καὶ κόμμασι καὶ στίχοις
5 καὶ κώλοις ἀδιάφορον τὴν τελευταίαν ἔχε.

Ἀλλ' ὅπερ ὥρμημαι τὴν χρόνου θεραπείαν
διαφοράν τε μήκιστον τῆς συλλαβῆς καὶ χρόνου,
ὅτ' ἐστὶν ἡ κατάληξις ἐλλείπουσα τῷ χρόνῳ,
οὐ λέγεις καταληκτικὴν, ἐστὶ γὰρ τελευταία·
10 τὴν τελευταίαν ἤκουσας κειμένην καθὼς τύχοι·
ἀφήσομεν κατάληξιν τοίνυν ποτὲ ἐν χρόνῳ
αὐτῷ γὰρ θεραπεύεται τῷ κεῖσθαι τελευταῖον.

Ἐν μέντοι γε τῇ συλλαβῇ ἐν στίχῳ ἐλλειπούσῃ
εἴπωμεν καταληκτικὸν τῆς συλλαβῆς δεούσης.
15 ἔχων τοίγαρ ἡρωϊκὸς ὁ στίχος τὸν τροχαῖον
οὐδ' ὅλως καταληκτικὸς τοῖς ῥυθμικοῖς καλεῖται,
ἑνὸς χρόνου ἐλλείποντος ὡς γίνεσθαι σπονδεῖον·
διφορουμένης τεχνικῶς τῆς συλλαβῆς ἐσχάτης.
ἄλλως δὲ καταληκτικὸς τοῖς τεχνικοῖς καλεῖται·
20 μιᾶς δεούσης συλλαβῆς ὡς δάκτυλον τελεῖσθαι.
ἀλλ' ὅθ' ὁ ποὺς δισύλλαβος ὀφείλει καὶ ἐλλείπει,
λέγεται καταληκτικὸς, οὐκ ἄλλο τι καὶ μόνον.

Ὅταν δ' ὁ ποὺς τρισύλλαβος ὑπάρχῃ καὶ ἐλλείπῃ·
εἰ μὲν μιᾷ τῇ συλλαβῇ ἐλλείπει, κάλει τοῦτον
25 τὸν στίχον καταληκτικὸν, πλὴν εἰς δισυλλαβίαν·
αἱ δύο κεῖνται συλλαβαὶ μιᾶς γὰρ δεούσης·
εἰ δὲ δυσὶ ταῖς συλλαβαῖς ἐλλείπει, κάλει τοῦτον
στίχον καταληκτικὸν, πλὴν εἰς μονοσυλλαβίαν.
κεῖται γὰρ μίᾳ συλλαβῇ [10] ἐλλειπουσῶν τῶν δύο.
30 ἔχεις τὸ ἀκατάληκτον τὸ καταληκτικόν τε.

Ὅτε δὲ τέλειος ἐστὶν ὁ στίχος, ἢ τὸ κόμμα,
τὸ σύστημα τὸ κῶλόν τε καὶ συλλαβὴ ἐν τούτοις,
πολλάκις δύο συλλαβὰς ποσὶ τοῖς τρισυλλάβοις
ὑπερκατάληκτός ἐστιν ὁ στίχος πλεονάζων.

[10] Sic.

Digitized by Google

καὶ τὸ βραχυκατάληκτον μάνθανε ἐπὶ τούτοις,
ὅταν ἐν στίχοις καίωνται[10] πόδες τετρασυλλάβοις.
ἐπεὶ τὸν τετρασύλλαβον ἐκ δύο δισυλλάβων
συγκείμενον ἐλέγομεν ἐντελῆ συζυγίαν.
Ὅταν τοίνυν ὁλόκληρος ποὺς ἐκ τῆς συζυγίας
ἐλλείπει πρὸς καταρτισμὸν τοῦ ὁλοκλήρου μέτρου,
πρὸς δίμετρον καὶ τρίμετρον καὶ πρὸς τετράμετρόν γε·
οὐ γὰρ τὸ ἥμισυ πόσως ἐν τούτοις χώραν ἔσχεν,
ὡς ἓν ἥμισυ συλλέγεσθαι τὰ μέτρα ἢ καὶ πλείω,
τότε βραχυκατάληκτον κάλει τὸ κῶλον τοῦτο·
ἢ δίμετρον ἢ τρίμετρον ἢ τετράμετρον πῶς.
συμποσουμένου καὶ ποδὸς τοῦ, ὃς ἐνδεεῖ.
Ἔχεις ἰδοὺ τὰς τεσσάρας ὡς ἔφην ἀποθέσεις.
λοιπὸν εἰπόντες καὶ μικρῶν περί τινων σημείων,
οἷς χρῶνται μόνοι λυρικοὶ ἄσμασιν ἐν ἰδίοις,
ἀπαλλαγῶμεν παρευθὺ τῶν γε προλεγομένων.

Περὶ Σημείων.

Σημείων τοίνυν τῶν ἁπλῶν ὄντων τῶν πάντων πέντε,
παράγραφος — τῆς παραγράφου καὶ δυοῖν διπλῶν τῶν διαφόρων,
ἔσω νενευκυῖα — τῆς ἔσω νενευκυίας τε καὶ τῆς ἔξω νενευκυίας,
ἔξω — τοῦ ἀστερίσκου, πάλιν δὲ πρὸς τούτοις κορωνίδος,
ἥν περ κἀν ταῖς συναλοιφαῖς γραμματικοὶ τιθεῖσιν·
ἄστερισκος — ἕτερα εἴδη γραμμικὰ τὰ σημειώδη πέντε,
κορωνὶς — ἐκ παραγράφου καὶ διπλῆς τῆς ἔξω νενευκυίας,
τὰ σύνθετα σημεῖα — ἐκ παραγράφου καὶ διπλῆς τῆς ἔσω νενευκυίας,
ἐκ παραγράφου καὶ διπλῶν τῆς ἔξω καὶ τῆς ἔσω,
ἐκ παραγράφου καὶ διπλῶν ἀλλ' ἀμφοτέρων ἔσω,
ἐκ παραγράφου καὶ διπλῶν ἀλλ' ἀμφοτέρων ἔξω,
ἐξ ὧν σοι παραθήσομεν οἷς περ λυρικοὶ χρῶνται·
χαίρουσι δὲ καὶ τραγικοὶ καὶ κωμικοὶ σημείοις.
Δεῖ τοίνυν γινώσκειν σε τῶν παλαιῶν τὸ ἔθος,
ὡς οὔποτε προσέγραφον εἰς ᾆσμα ἐξωτέρω,
στροφήντε καὶ ἀντίστροφον καὶ ἐπῳδὸν σὺν τούτοις,
ἀλλὰ σημείοις τοιοισδὶ ἐσήμαινον τὴν κλῆσιν.



[10] Sic.

Digitized by Google

Εἰ τοίνυν ἐπεποίητο μονόστροφον τὸ ᾆσμα,
ἔστι δὲ τὸ μονόστροφον συνάμα ἀντιστρόφῳ,
ἢ καὶ στροφῶν μονότατα, οὐκ ἄλλου τοῦ κειμένου,
τιθέασιν οἱ παλαιοὶ κατὰ στροφὴν ἑκάστην
5 παράγραφον, ἐν τέλει δὲ ᾄσματος κορωνίδα.
εἰ δέ πως ἦν ἐπῳδικόν, ὡς πλεῖστα τὰ Πινδάρου,
ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ δὴ τῆς ἀντιστρόφου,
τὰ παλαιὰ ἀντίγραφα παράγραφον ἐπλούτουν.
ἐν μέντοιγε τῷ ἐπῳδῷ, πάντως δὲ ἐν τῷ τέλει,
10 ἡ κορωνὶς ἐτίθετο δηλοῦσα πάντως λῆξιν.
παρακοπῶν δὴ τῶν τριῶν κορωνὶς ἐσχάτη,
ἐν μέντοι τοῦ ἐπῳδοῦ τῷ τέλει τοῦ ἐσχάτου,
καθὸ λαμβάνει πλήρωσιν ἅπαν αὐτὸ τὸ ᾆσμα,
τὸν ἀστέρισκον ἔταττον ἐν ᾄσματος τῇ λήξει.
15 ἐπεὶ γὰρ πᾶσιν ἐπῳδοῖς ἡ κορωνὶς ἐτάχθη,
ὁ τελευταῖος ἐπῳδὸς τοῦ ᾄσματος ἐν τέλει
τὸν ἀστέρισκον εἴληχε γνωρίσματι τοῦ τέλους.
περὶ σημείων ἔμαθες πλήν γε τῶν ἐπικαίρων,
ἅπερ δὴ καὶ συμβάλλονται τῇ τοῦ Πινδάρου λύρᾳ.
20 Καιρὸς τοίνυν ἀπάρξασθαι καταμετρεῖν τὰ κῶλα,
οὐ τετραπύργων τείχει μὲν χωροῦντι τοὺς μυρίους,
ὕθλος τοῦ Ξέρξου πέφυκεν ἐκεῖνο καὶ σοφία,
καταμετρῆσαι στράτευμα ἐκεῖνο τὸ μυρίον,
ὅπερ καὶ ψαμμοκόσιον εἶπεν ἡ κωμῳδία·
25 ἀλλά γε μέτρῳ ῥυθμικῷ τετρασυλλάβῳ μέτρῳ,
ὅπερ ἐφεῦρον ῥυθμικοὶ ἄνδρες κυμινοπρίσται·
ἐπεὶ τισί γε τῶν σοφῶν τῶν παλαιτάτων λέγω,
εὐεργετῶν ἂν εἴποιμι μᾶλλον οὐχ ἁμαρτάνων·
μέχρι καὶ τούτων ἔδοξε φθάσαι τὴν ἐργασίαν,
30 καὶ κατεμέτρησαν αὐτὰ ἀρίστως καὶ συντόμως.
τὸ πρῶτον δὲ οὐχ εὕρηται καταμεμετρημένον,
οὐ πάντως δὲ τῶν παλαιῶν τοῦτο καταλειψάντων,
ἀλλ' ἡ ἡμῶν ἀμέλεια τὸ ἀμελέτητόν τε
μακρὰν ἀπεσκοράκισε τοῦ φθόνου τῆς ζημίας
35 τῆς βίβλου τῆς Πινδαρικῆς πατρίδος ἧς ἐγράφη.

Digitized by Google

παλαίτατον γὰρ τὸ ῥητὸν ὁ συγγραφεύς που λέγει,
οὐκ ἔγωγε κατηγορῶ τοῦ γένους τὴν νωθρείαν.
φησὶ γὰρ ἡ μελισταγὴς γλῶσσα τοῦ Θουκυδίδου,
ὡς ἀταλαίπωρος ἐστὶ ζήτησις ἀληθείας
τοῖς Ἕλλησι· τοῖς ποταποῖς· τοῦ πάθους· τῆς πικρίας. 5
ἐπεὶ δὲ τοῦτο γεγονὸς τὸ πρῶτον διεγράφη,
οὐδ' ὅλως δεῖν ἐκρίναμεν μὴ λόγου ἀξιῶσαι,
τὸ πρῶτον τὸ Πινδαρικὸν ὅθεν καταμετροῦμεν
τὰ κῶλα καὶ τὰ κόμματα ὁπόσα τε καὶ οἷα.
δεινὸν γὰρ εἰ προώμεθα τὸ πρῶτον τὴν κρηπῖδα. 10
οὐκ ἀγνοοῦμεν πάντως δὲ τὰς πάσας ἐπιστήμας
ἀμετατρέπτων τῶν ἀρχῶν μενουσῶν ἐχομένας,
μονάδος ἀριθμητικὴν καὶ μουσικὴν τοῦ φθόγγου,
ἀστρονομίαν κέντρου, σημείου γεωμετρίαν.
τούτων μαθόντες τῆς ἀρχῆς τὸ σέβας, οἷον, πόσον, 15
Ἑρμῆν τὸν ἐριούνιον, Ὁμήρου δ' ἔστι λόγος,
ᾧπερ τόσον περίεστι τῆς γνώσεως τῆς θείας
Λητοῖ ἀντιτάττομεν, καὶ χρόνῳ καὶ σαπρίᾳ·
χρόνῳ τῷ πρὸς κατάλυσιν ἀρκοῦντι μὲν καὶ μόνῳ·
πρὸς δὲ τὴν ἀνακαίνισιν τοῦ ὅπερ κατεβλήθη· 20
συνεργὸν προσλαμβάνοντος ᾧ μέτεστι τοῦ λόγου.
ἀρκτέον τοίνυν τοῦ σκοποῦ, Θεοῦ ἐξαπτομένους.

Περὶ τοῦ πρώτου ἐπινικίου τῶν Ὀλυμπίων.

Τοῦ πρώτου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντιστροφός γε.
ἑπτὰ τὸ σύμπαν κέκτηται τὰ κῶλα πρὸς τοῖς δέκα. 25
τρισκαίδεκα δ' ἡ ἐπῳδὸς, καὶ γὰρ ἀνόμοιός τις.
ἀλλ' ἄγε καταλέξωμεν τὰ τῆς στροφῆς τὸ πρῶτον.
ταυτὸν δ' εἰπεῖν ὡς ὅμοια καὶ τὰ τῆς ἀντιστρόφου.

Περὶ τοῦ πρώτου κώλου.

Τὸ πρῶτον ἀντισπαστικὸν, ἀλλ' ἀκατάληκτόν τε 30
καὶ δίμετρον Γλυκώνειον τοῖς ῥυθμικοῖς καλεῖται·
αὐτοῦ εὑρόντος Γλύκωνος τὸ μέτρον τὸ τοιόνδε.
λέξομεν δ' ἀντισπαστικοῦ πέρι, βραχέα ἄττα.

Digitized by Google

Ἀντίσπαστον ἐμάνθανες, τὸν καθαρόν σοι λέγω,
ἔκ τε βραχείας καὶ μακρᾶς, μακρᾶς τε καὶ βραχείας,
δύο ποδῶν συγκείμενον εἰς μίαν συζυγίαν.
τοίνυν ὁ πρῶτος τρέπεται ποὺς ἀντισπάστου μέτρου,
5 κατὰ τὴν συζυγίαν τὴν πρώτην μόνην λέγω,
εἰς σχήματα τὰ τέσσαρα ποδὸς τοῦ δισυλλάβου,
τροχαῖόν τε καὶ ἴαμβον, πυρρίχιον, σπονδεῖον·
αἳ δ' ἄλλαι συζυγίαι σοι μενέτωσαν ὡς ἔχει,
καθαραὶ ἀντισπαστικαὶ ὅσαι εἰσὶν ἐν κώλῳ·
10 οὕτως εἰ ἔστι καθαρὰ ἀντισπαστικὰ μόνως·
ἂν δέ γε ἀναμίσγηται τοῦτο ταῖς ἰαμβείαις,
εὑρίσκεται τοιόνδε γὰρ καὶ μέτρον ἐν τοῖς κώλοις,
οὐ μόνον συζυγίας σοι ποὺς ὁ πρῶτος τῆς πρώτης
εἰς ἴαμβον ἀλλάσσεται ἢ καὶ σπονδεῖον μόνος,
15 ἀλλὰ δὲ πόδες ἕτεροι τρέπονται κατὰ τάξιν
εἰς πρεπούσας ταῖς ἰαμβικαῖς ταῖς χώραις διποδίας·
ἀριθμουμένων τῶν ποδῶν κατὰ δισυλλαβίαν.
ἤγουν ἂν τύχῃ δεύτερος ὁ ποὺς ὁ μεταβάλλων
ἢ τέταρτος, τὸν ἴαμβον ἐχέτω οὐ σπονδεῖον·
20 πάλιν ἂν τύχῃ πρῶτός τε καὶ τρίτος, καὶ σπονδεῖον.
ὅπερ σοι λέγω μάνθανε ἐκ τοῦ τοιοῦδε κώλου·
τοῦτο γὰρ πρὸς ἰαμβικὰς ἔχει ἐπιμιξίαν.
ὁ πρότερος ἀντίσπαστος, διίαμβος ὁ ἄλλος.
λάβε καὶ τὴν κατάθεσιν πρὸς λόγον σαφηνείας.
25 τοίνυν πρῶτος ἴαμβος τρίτην χώραν ἐπέχει,
ὅθεν πολλάκις δέχεται ἡ χώρα καὶ σπονδεῖον·
ὁ δ' ὕστερος ποὺς ἴαμβος, τετάρτην ἔχει χώραν,
καὶ μένει ἀμετάτρεπτος ἴαμβος οὐ σπονδεῖος.
μὴ τοίνυν ταραττέτω σε βραχεία ἡ ἐσχάτη·
30 μένει γὰρ πάλιν ἴαμβος τῷ τέλει σκεπομένη.
ἔμαθες ἀδιάφορον τὴν τελευταίαν οὖσαν.
λάβε καὶ τὴν κατάθεσιν πρὸς λόγον σαφηνείας.

ἀντίσπαστος	ἴαμβος	ἴαμβος
⏑ — — ⏑	⏑ —	⏑ ⏑
Ἄριστον μὲν	ὕδωρ	ὁ δὲ

Digitized by Google

Περὶ τοῦ δεττέρου κώλου.

Τὸ δεύτερον τροχαϊκὸν δίμετρον γίνωσκέ μοι
βραχυκατάληκτον αὐτό· τρεῖς γάρ εἰσιν οἱ πόδες
ἑνὸς ποδὸς ἐνδέοντος ὡς δίμετρον ὑπάρχειν·
οὕτως γὰρ ἓν ἥμισυ τὸ κῶλον ὑπάρχει μέτρον. 5
ἰθυφαλλικὸν δὲ λέγουσι τοῦτό γε οἱ τεχνῖται·
ἐπεί τοιγε ἐκέχρηντο τῷ ῥυθμῷ τούτῳ τότε
ἐν τῇ ματαίᾳ ἑορτῇ πομπῇ τοῦ ἰθυφάλλου.
καὶ περὶ μίκρου λέξομεν τροχαϊκοῦ βραχύ τι.
Δέχεται τὸ τροχαϊκὸν περιττὰς κατὰ χώρας 10
δάκτυλόν τε καὶ τρίβραχυν σὺν τούτοις καὶ τροχαῖον·
κατάγε τὰς ἀρτίους δὲ, τούτους τε καὶ σπονδεῖον.
ἔτι πρὸς τούτοις πέμπτον δὲ ἀνάπαιστον λαμβάνει.
ὡς γὰρ ἡ παρατήρησις ἡ πλείστη ἰαμβείοις
ἐν ταῖς ἀρτίαις πέφυκε τοὔλαττον δεχομέναις, 15
ἐν μέντοιγε ταῖς περιτταῖς ἡ ἄδεια ἡ πλείστη,
οὕτως ἐνταῦθα γίνεται τὸ ἀντιστρέφον πάλιν,
ἐν περιτταῖς ἡ ἔνδεια, ἐν δέ γε ταῖς ἀρτίαις
πλοῦτος ποδῶν καθέστηκε καὶ ἄδεια μεγίστη.
ἀλλὰ καταγραπτέον σοι τὴν θέσιν τὴν τοῦ κώλου. 20

τροχαῖος	δάκτυλος	τροχαῖος
— ◡	— ◡ ◡	— ◡
χρυσὸς	αἰθόμε	νον πῦρ

τροχαῖός τε καὶ δάκτυλος συνάμα τῷ τροχαίῳ·
οὐδὲ γὰρ δέχηται ποσῶς ἡ τρίτη τὸν σπονδεῖον·
ὅθεν ὡς ἀδιάφορος μακρὰ ἡ τελευταία. 25

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον χοριαμβικὸν καὶ καταληκτικόν γε, [11]
καὶ δίμετρόν τι πέφυκε. τὸ χοριαμβικὸν γὰρ

[11] Schol. in marg. Cod. B. τροχαϊκόν ἐστι καὶ τοῦτο τὸ κῶλον ἰθυφαλλικὸν ἐκ τριῶν τροχαίων, τοῦ δευτέρου διαλυθέντος εἰς τρίβραχυν, ἤτοι χορεῖον· εἰ δὲ βούλει, παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παιῶνος δ καὶ βακχείου· ἢ ἀντισπαστικὸν ἡμιόλιον· ἤτοι δίμετρον βραχυκατάληκτον τοῦ δευτέρου ποδὸς ἀντισπάστου πεντασυλλάβου· οὐ γὰρ ἔστι χορίαμβος ὁ πούς, ὡς οὗτος λέγει, ἀλλὰ παιὼν δ.

Digitized by Google

συντίθεται καὶ καθαρὸν ἐν χοριάμβοις πᾶσιν,
ἐπίμικτον συντίθεται πρὸς τὰς ἰαμβικάς τε,
ὡς εἶναι καὶ χορίαμβον συνάμα διιάμβῳ,
πολλάκις καὶ σπονδείῳ τε συνάμα καὶ ἰάμβῳ.
5 πρὸς τὰς πρεπούσας χώρας γὰρ τίθει ὡς δεῖ τὸν πόδα·
καθὼς ἐν ἀντισπαστικοῖς εἴποιμεν ἐπιμίκτοις·
ἀλλ' ὅτε χοριαμβικὸν ἐν καταλήξει πέλει,
τρισύλλαβον τὸν ἔσχατον ἀνάγκη ἔχειν πόδα.
μιᾶς δὲ οὔσης συλλαβῆς πρὸς ἀκαταληξίαν,
10 τὸν τοίνυν ἔσχατον αὐτὸν οἱ ῥυθμικοὶ καλοῦσι
κατάκλειδα· ὡς τέλος δὲ ταύτην πλουτεῖ τὴν κλῆσιν.
ταύτην αἰτοῦσιν οἱ σοφοὶ ἰαμβικὴν τελέθειν,
ὡς εἶναι πόδα ἴαμβον καὶ συλλαβὴν ἐσχάτην,
ἣν περ καὶ ἀδιάφορον ἠκούσαμεν πολλάκις.
15 εἰ τοίνυν πέφυκε ἐν συλλαβῇ ἐσχάτῃ,
ἰαμβικῇ κατάκλειδι λέγουσι περαιοῦσθαι·
εἰ δὲ μακρὰ ἡ συλλαβή, βακχειακὴ κατάκλεις,
ἔκ τε βραχείας καὶ μακρῶν ὡς εἴπομεν τῶν δύο.
τοῦτο τὸ παρατήρημα εὑρήσεις ἐν τῷ κώλῳ,
20 οὗπερ ἡ θέσις ἀκραιφνῶς ἔστι σοι τοιαδί τις.

χορίαμβος ἴαμβος καὶ συλλαβὴ ἢ βακχεῖος
⏑ ⏑ ⏑ – ⏑ – ⏑
ἄτε διὰ πρέπει νυ

Περὶ τοῦ τετάρτου κώλου.

Δίμετρον ἀναπαιστικὸν καὶ καταληκτικόν γε
25 τὸ τέταρτον λεγόμενον καὶ παροιμιακόν γε·
ὅτι τινὲς παροιμίαι ἦσαν τῷ μέτρῳ τούτῳ.
ἔστιν ἡ κατάληξις εἰς μονοσυλλαβίαν,
συλλαβῶν δὲ οὐσῶν δυοῖν[12] πρὸς ἀκαταληξίαν.
Τὸ τοίνυν ἀναπαιστικὸν δέχεται πάσῃ χώρᾳ
30 ἀνάπαιστον σπονδεῖόν τε, σπανίως δὲ πολλάκις
καὶ προκελευσματικὸν, παρά τισι δάκτυλόν τε·
ὅθεν καὶ ὅλοι σύγκεινται[13] στίχοι ἐξ ἀναπαίστων,

12 διοῖν Cod. B. 13 σύγκειται B.

καὶ ὅλοι ἐκ σπονδείων γε· οὐδὲν καὶ πάλιν δ' ἧττον
λέγονται ἀναπαιστικοί· ἔχεις τοιούσδε στίχους
ἐν τῷ μεγίστῳ τουτωνὶ ναῷ περιωνύμῳ
τῷ παμμεγίστῳ καὶ λαμπρῷ τῆς τοῦ Θεοῦ Σοφίας,
τῷ βασιλεῖ τῷ Λέοντι καὶ σοφῷ γεγραμμένους 5
ἄνω τῆς πύλης τῆς σεπτῆς, καλῶς λελαξευμένους.
ἔχεις καὶ οἱ συντίθενται γύρωθεν τοῦ Σωτῆρος,
τούτῳ γραφέντας εὐσεβῶς ἐν τῇ ὡραίᾳ πύλῃ.
τὸ μέτρον ἔμαθες αὐτοῦ τοῦ ἀναπαίστου λέγω,
ὡς πόδες σύνδυο ὁμοῦ ποιοῦσι συζυγίαν. 10
ὅρα δὲ καὶ τὴν ἔκθεσιν τοῦ κώλου τοῦ τοιοῦδε.

ἀνάπαιστοι — συλλαβὴ
⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – —
κτὶ μεγά νορος ἔξ οχα πλού — του

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον ἔστιν ὅμοιον τῷ τῆς στροφῆς δευτέρῳ· 15
καὶ ἅπερ εἴπομεν ἐκεῖ, τοῦτ' εἰσὶ καὶ ἐν τούτῳ·
πλὴν ἔχει γε τὸν δάκτυλον οὐκ ἐν δευτέρᾳ χώρᾳ,
ἀλλ' ἐν τῇ τρίτῃ δάκτυλον, τροχαῖον ἐν δευτέρᾳ.
ἀλλ' ὅρα τὴν καταγραφὴν, ὅρα τὴν θέσιν τούτου.

τροχαῖοι — δάκτυλος 20
— ⏑ — ⏑ . — ⏑ ⏑
εἰ δ' ἄεθλα — γαρύεν

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον τούτῳ ὅμοιον δευτέρῳ κατὰ πάντα.
βλέπε καὶ τὴν κατάθεσιν τοῦ ἕκτου τοῦδε κώλου.

τροχαῖος — δάκτυλος — τροχαῖος 25
— ⏑ — ⏑ ⏑ — ⏑
ἔλδε — αι φίλον — ἦτορ

Περὶ τοῦ ἑβδόμου κώλου.

Τὸ ἕβδομον τροχαϊκὸν καὶ καταληκτικόν γε
καὶ δίμετρον διώνυμον, ὡς ἐκ τοῦ Εὐριπίδου
καλεῖται Εὐριπίδειον, καὶ δὴ ληκύθιόν γε. 30

Digitized by Google

ἐν ληκυθίῳ παίζει γὰρ Ἀριστοφάνους δρᾶμα,
τὸν τραγικὸν τὸν εὐφυᾶ, τὸν Εὐριπίδη λέγω,
ἐν τοῖς βατράχοις· τοῦτο δὲ ὁ κωμικὸς προσπαίζει,
οἷς Εὐριπίδου λέγοντος ἀρχὰς τῆς μονῳδίας,
5 " ληκύθιον ἀπώλεσεν" ὁ κωμικὸς προσφέρει.
ἢ τοίνυν ὡς ἐκ τούτου λέγεται ληκύθιον τὸ μέτρον,
Ἀριστοφάνους σκώπτοντος τὸ μέτρον Εὐριπίδου,
ἢ διὰ τὸν τροχαϊκὸν βόμβον καλεῖται οὕτως.
περὶ γὰρ τὸ ληκύθιον τοιοῦτός ἐστι βόμβος,
10 ἔκ τε ἀέρος ἐν αὐτῷ ἐμπεριεχομένου.
διόπερ καὶ Καλλίμαχος λέγει τὴν τραγῳδίαν
διὰ τοὺς θρήνους καὶ κλαυθμοὺς καὶ " ληκυθίαν μοῦσαν."
εἰς σαφηνείας λόγου δὲ ὅρα τὴν θέσιν τούτου.

τροχαῖος	δάκτυλος	ἢ τροχαῖος	τροχαῖος	συλλαβὴ
— ◡	— ◡ ◡	— ◡	— ◡	—
μήκετ'	ἀελί		ου σκό	πει

λείπει γὰρ ἡ κατάληξις ὡς δίμετρον τελεῖσθαι.

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον τροχαϊκὸν ὑπερκαταληκτικόν[14] τε
ἀλλ' ἔστι καὶ μονόμετρον· ὅρα τὴν θέσιν τούτου.

τροχαῖος	δάκτυλος	συλλαβή.
— ◡	— ◡ ◡	—
ἄλλο	θαλπνότε	ρον

Περὶ τοῦ ἐννάτου κώλου.

Τὸ ἔνατον ἰαμβικὸν ὑπερκαταληκτόν τε·
ἀλλ' ἔστι καὶ δίμετρον· εἴπομεν περὶ τούτου.
Δέχεται τὸ ἰαμβικὸν περιττὰς κατὰ χώρας
ἴαμβόν τε καὶ τρίβραχυν· σπονδεῖον δάκτυλόν τε
πρὸς τούτοις, καὶ ἀνάπαιστον· οὔμενουν καὶ τροχαῖον.
εἰ γὰρ ὁ ἴαμβος ποσῶς οὐ κεῖται ἐν τροχαίοις,
οὕτως οὐδ' ὁ τροχαῖος κεῖται τοῖς ἰαμβείοις.
κατά γε τὰς ἀρτίους δὲ ζυγὰς ὁ κοινὸς εἴποι,
ἐκ τούτων ὅσοι πρώτιστον ἔχουσι τὴν βραχεῖαν,

[14] ὑπερκαταληκτόν Cod. B.

Digitized by Google

τὸ κράτος ἀπειλήφασιν, ἴαμβος τρίβραχύς τε
ἀνάπαιστος, πρὸς τούτοις δὲ δάκτυλος καὶ σπονδεῖον
ἥκιστα τίθεμεν αὐταῖς ἐκ μακρᾶς ἀρχομένους.
ὅρα καὶ τὴν κατάθεσιν τὴν τοῦ ἐννάτου[15] κώλου.

ἴαμβοι συλλαβὴ 5
⏑ – ⏑ – ⏑ – ⏑ – ⏑
ἐν ἁ μέρᾳ φαεννὸν ἅ στρον.

Περὶ τοῦ δεκάτου κώλου.

Τὸ δέκατον ἐπιωνικὸν ἀντισπαστικόν τε
δίμετρον καταληκτικὸν, τροχαίου ἀρχομένου
ἐν ἰωνικῷ· περὶ αὐτοῦ μνησθῶμεν τῶν καιρίων. 10
Διττόν τι τὸ ἰωνικὸν ὡς εἴπομεν τοῖς ἄνω·
ἀπό τε τοῦ ἐλάττονος, ἀπὸ τοῦ μείζονός τε.
ἐκ δύο γὰρ τῶν βραχειῶν, ἐκ δύο τῶν μακρῶν τε
σύγκειται τὸ ἰωνικὸν, πλὴν οὐκ ἀδιαφόρως·
ἀλλ' εἰ μακραὶ προτάττονται, ἀπὸ μείζονος λέγε 15
συντίθενται· καὶ καθαρὰ ταῦτα σύγκεινται πάλιν
πρὸς μέτρα τὰ τροχαϊκὰ, πλὴν δισυλλαβικά γε·
ἐπείτοιγ' ἐν τροχαϊκοῖς εἴχομεν τρισυλλάβους
πρὸς τὰς πρεπούσας χώρας δε τέως τροχαῖον τίθει·
τὰς περιττάς σοι δηλαδὴ, ἐν δέ γε ταῖς ἀρτίαις, 20
τροχαῖον καὶ σπονδεῖόν γε ὡς ἐν τροχαϊκῷ τε,
καθώς περ σοὶ ἐλέγομεν ἐν ἰαμβείαις χώραις,
ὅτε μεμίχαται ποσῶς ταῖς χοριαμβικαῖς γε.
Δεῦρ' ἴθι καὶ διαφορὰς ἰωνικοῦ μοι ξύνες,
πρός γε τὸ ἐπιωνικὸν, καιρὸς γὰρ κατεπείγει· 25
ὅτε τὸ μέτρον τίθεται ἢ καθαρὸν ὡς ἔφην,
ἢ δέχεται καὶ πρέπουσαν πρὸς ἄλλας συζυγίας
μίξιν, ὥσπερ χορίαμβος πρὸς τὰς ἰαμβικάς γε,
ἢ πάλιν πρὸς τροχαϊκὰς, ἰωνικὸν ὑπάρχει.
ἢ καὶ πρὸς ἀντισπαστικὰς, ἰαμβικὸν τελέθει 30
μονοειδὲς, ὁμονοειδὲς τότε τὸ μέτρον ἔστιν.
ὅτε δὲ μίξις γίνεται ἀπάδουσα τῷ μέτρῳ,

[15] ἐνάτου Cod. B.

Digitized by Google

καὶ μίγνυνται παρά τισιν ᾀσματογράφοις μέτρα,
ἀντίσπαστος ἰωνικῷ, χοριάμβῳ, τροχαίοις,
ἅπερ οὐ συνήρχοντο, ἀλλ' ἐναντία ἦσαν.
χαίρει γὰρ ὁ χορίαμβος ἰάμβοις οὐ τροχαίοις·
χαίρει δὲ ὁ ἀντίσπαστος ἰωνικοῖς οὐδ' ὅλως,
ὡς ἔχουσι συγγένειαν τούτοις πρὸς τοὺς τροχαίους.
ὁ δέ γε μὴν ἀντίσπαστος τοῖς ἰαμβείοις χαίρει,
καθώς περ σοι ἐλέξαμεν ἐν τοῖς οἰκείοις τόποις.
ὅτε τοιαύτη γίνεται ἀνοίκειός τις μίξις,
μίξιν κατ' ἀντιπάθειαν οἱ τεχνικοὶ καλοῦσιν·
ἐναντίως, ἀντιπαθῶς ὡς τῶν ποδῶν κειμένων.
Εἰ τοίνυν ἐπιφέρεται χορίαμβος τροχαίοις,
οὐδ' ὅλως χοριαμβικὸν οὐ λέγομεν τὸ μέτρον,
ἀλλ' ἐπιχοριαμβικόν, ὡς ὂν μετὰ τροχαίοις.
ἐπὶ τροχαίοις κεῖται χορίαμβος παρ' ἔθος·
εἰ κεῖται γὰρ χορίαμβος ἐπὶ ἰάμβοις, πάλιν
λέγεται χοριαμβικὸς, ἴαμβοι γὰρ οἰκεῖοι.
Πάλιν εἰ ἐπιφέρεται ποδὶ τῷ ἀντισπάστῳ
ἰωνικὰ, οὐ λέγομεν ἰωνικὸν τὸ μέτρον,
ἀλλά γ' ἐπιωνικόν· ἰωνικὰ γὰρ ταῦτα
οὐκ ἀντισπάστῳ χαίρουσι χαίροντα τοῖς ἰάμβοις.
εἰ κεῖται δὲ τροχαϊκὸν, ἰωνικὰ ἐν τούτοις
οὐδ' ὅλως ἐπιωνικὸν, ἰωνικὸν καλοῦμεν.
ὅθεν τὸ κῶλον γίνωσκε οὕτω σοι γεγραμμένον.

ἀντίσπαστος ἰωνικὸς ἀπὸ μείζονος
⏑ – – ⏑ – ⏑ ⏑ –
ἐρήμας δι' αἴθερος

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Τὸ πρῶτον σοι ἀντίσπαστος, ἰωνικὸν τὸ ἄλλο·
εἰ δέ γε καὶ τροχαϊκὴ ὑπάρχει ἡ κατάκλεις,
πρὸς τοὺς τροχαίους εἴπομεν ἔχειν καιρίαν μίξιν
τ' ἀμφότερα ἰωνικά. ἔχεις ἰδοὺ τὸ κῶλον.

τροχαῖοι
– ⏑ – ⏑ – ⏑ – ⏑
μήδ' Ὀλυμπίας ἀγῶνα

Digitized by Google

Περὶ τοῦ δωδεκάτου κώλου.

Δίμετρον χοριαμβικὸν καὶ καταληκτικόν γε
δωδέκατόν μοι μάνθανε. ἡ θέσις τοιάδε τις.

χορίαμβος — ⏑ ⏑ — φέρτερον αὖ
δάκτυλος — ⏑ ⏑ δάσομεν[15] 5

Περὶ τοῦ τρισκαιδεκάτου κώλου.

Κῶλον τὸ τρισκαιδέκατον δίμετρον ἐκδιδάσκου
εἶναι προκελευσματικὸν ὅμως ἐν καταλήξει.

προκελευσματικὸς, ⏑ ⏑ ⏑ ⏑ προκελευσματικὸς ⏑ ⏑ ⏑ ⏑

ἐν οἷς καὶ ὅρα μυστικὸν θαυμάσιόν τι βλέπε. 10
κἂν ἔκαμψε γὰρ τὰς καμπὰς ὁ λυρικὸς τῆς λύρας
βραχεῖς τοὺς φθόγγους καθιστῶν, οὐ μούσας ἀφανίζει.
ἀλλ' ἔχει τι καὶ χάριεν ὁ νοῦς τῆς ἁρμονίας.
κἂν γὰρ εἰς νοῦν ἐνέβαψεν, εἰς νοῦν ὡς μελανδόχην
τὸν[16] κάλαμον τὸν γραφικὸν, οὐ φεύγει τοὺς ἐλέγχους. 15
ὅθεν καὶ χάρις τῷ Θεῷ, καὶ χάρις, ναὶ καὶ χάρις.
ἀλλ' ὅρα καὶ τὸ χάριεν τοῦ λυρικοῦ ὁποῖον
ταῖς ταχυτῆσιν ὁ ῥυθμὸς ὁ τοιοσδὶ ἁρμόττει·
ὅθεν καὶ τούτῳ ὄνομα προκελευσματικός τις.
τοίνυν ἐπιτηδεύεται ἡ λύρα ἡ Θηβαία, 20
τὴν ταχυτῆτα θαυμαστῶς ἐμφαίνειν τῇ ἐννοίᾳ,
οἷς τὸν τοιοῦτον εὔσημον ῥυθμὸν διὰ τοῦ λόγου
ἀποκαθίστησι· καὶ δὴ λάμβανέ μοι τοὺς λόγους.
"ὅθεν ὁ πολύφατος" διὰ τὸ ταχὺ τῆς φήμης·
καὶ πάλιν ἄλλογε, "νοῦν ὑπὸ γλυκυτάταις" 25
διὰ τὸ ἀκίνητον ὀξύτατον τοῦ νόου·
"ὁπότ' ἐκάλεσε πατὴρ," διὰ τῆς κλήσεως τὸ τάχος·
ἐν οἷς δὲ πάλιν, "ὕδατος ὅτι τε πυρὶ" λέγει,
διάγε τὸ εὐκίνητον στοιχείων ἀμφοτέρων,
κατωφεροῦς ἀνωφεροῦς ὕδατος καὶ πυρός γε. 30
αὖθις δὲ "τὸ ταχύποτμον" ἄλλο ἐκλέγου κῶλον

[15] Huc usque Cod. Par. citat Pindari verba quæ omnino neglexit librarius Cod. B. [16] τὸ Cod. B.

Digitized by Google

"ἐμὲ δ' ἐπὶ ταχυτάτων" γράφεται[17] ἐπὶ τούτοις
καὶ "Πέλοπος ἵνα ταχύτης" ἕτερον κῶλον τόδε·
τὴν ταχυτῆτα ταύτην δε ὡς προδῆλον δεικνύει,
ἐπὶ πᾶσι τὸ ἔσχατον τοιῶσδε ὑπογράφει·
5 "θεὸς ἐπίτροπος ἐὼν," ταχύτερον τί θείου;
ἔχεις τὸ τρισκαιδέκατον, τὸ ἐφεξῆς διδάσκου.

Περὶ τοῦ τεσσαρεσκαιδεκάτου κώλου.

Τὸ τεσσαρεσκαιδέκατον ὅμοιον τῷ ἑβδόμῳ.
καὶ τοῦτο καταγράφομεν ἐν τῇ ἰδίᾳ θέσει.

10 τροχαῖοι συλλαβὴ
– ⏑ – ⏑ – ⏑ ⏑̲

Περὶ τοῦ πεντεκαιδεκάτου κώλου.

Τὸ δὲ πεντεκαιδέκατον δίμετρον δή μοι μάθε.
καὶ γὰρ κατ' ἀντιπάθειαν ὑπερκαταληκτικόν γε,
ἐξ ἀντισπάστου σύγκειται καὶ παιῶνος τοῦ πρώτου
15 καὶ τῆς ἐσχάτης συλλαβῆς τῆς καὶ ἀδιαφόρου.
εἴπομεν ἀντιπάθειαν, ὅτι τὴν ἰαμβείαν
ἀντίσπαστος ἐκδέχεται, καὶ παιὼν τοὺς τροχαίους·
εἰσὶ δὲ διαφέροντες τροχαῖοι πρὸς ἰάμβους.
λάβε μοι τὴν καταγραφὴν καὶ τουτουὶ τοῦ κώλου.

20 ἀντίσπαστος ἀντίσπαστος ἢ παιὼν συλλαβὴ
⏑ – – ⏑ – ⏑ – ⏑ ⏑

μὴ ταραττέτω δὲ ὑμᾶς δευτέρα συζυγία
τὸν πρῶτον πόδα ἔχουσα τροχαῖον, μηδὲ τρίτη
τὸν πρῶτον πόδα ἔχουσα πυρρίχιον εἰκότως·
ἔστι γὰρ ἀντιπάθεια μέτρον τετηρημένον.

25 Περὶ τοῦ ἑκκαιδεκάτου κώλου.

Τὸ δὲ ἑκκαιδέκατον τρίμετρον μάνθανε μοι·
καὶ καταληκτικόν ἐστιν ἐκ πρώτου ἀντισπάστου.

[17] γράφεται B.

Digitized by Google

τῶν δὲ ἑξῆς ἀντιπαθῆ τὴν μίξιν κατανόει.
ὅρα καὶ τὴν καταγραφὴν, καὶ σύνες ὅπερ λέγω.

ἀντίσπαστος διτρόχαιος ἀνάπαιστος
⏑ – – ⏑ – ⏑ – ⏑ ⏑ ⏑ –

Περὶ τοῦ ἑπτακαιδεκάτου κώλου.

Φαλαίκειον τὸ ἑπτακαιδέκατον γίνωσκέ μοι· 5
ἀλλάγε ἀντισπαστικὸν, πλὴν συλλαβῆς δεούσης·
τρίμετρον τὸ φαλαίκειον, πλὴν καταληκτικόν γε
τοῦτο βραχυκατάληκτον, ἡ συλλαβὴ γὰρ δέει.
ἔστι δὲ τὸ φαλαίκειον, ὅταν τὸ πρῶτον ἔχῃ
καὶ μόνον ἀντισπαστικὸν, τὰς δ' ἄλλας ἰαμβείους. 10
ἀπὸ Φαλαίκου λέγεται πρώτου εὑρόντος τοῦτο.
ὅρα καὶ τὴν κατάθεσιν, οἷα ἐστὶ τοῦ κώλου.

ἀντίσπαστος ἴαμβοι
⏑ – – ⏑ ⏑ – ⏑ – ⏑ –

Περὶ τῆς ἐπωιδοῦ.

Τρισκαίδεκα δ' ἡ ἐπῳδὸς ἔχει τὰ κῶλα πάντα. 15
τὸ πρῶτον παίων δεύτερος· πρὸς δὲ ἰαμβικόν τε
πλὴν πενθημιμερὲς, εὕρηται δακτυλικὸν γάρ.
λέγονται πενθημιμερῆ καὶ ἑφθημιμερῆ δε
ἰαμβικὰ, δακτυλικὰ, καὶ δὴ τροχαϊκά τε,
ὅτε δύο καὶ ἥμισυ ὑπάρχουσιν οἱ πόδες· 20
ἢ πρὸς ἡμίσει καὶ τρισὶ ποσὶ καταριθμεῖται
τὸ κῶλον δὴ τὸ οἰονοῦν, τόθ' ἑφθημιμερές γάρ.
τῶν πέντε γὰρ τὸ ἥμισυ, δύο καὶ ἡμίσυ γε,
καὶ τῶν ἑπτὰ τὸ ἡμίσυ, ἥμισύ τε καὶ τρία.
ἰδού σοι τὴν καταγραφὴν τιθέμεθα πρὸς γνῶσιν. 25

παιὼν δεύτερος ἴαμβος[18] συλλαβή
⏑ – ⏑ ⏑ ⏑ – ⏑̲

Περὶ τοῦ δεττέρου κώλου.

Τὸ δεύτερον ἰαμβικὸν καὶ πενθημιμερές γε
ὅρα καὶ τοῦτο παρ' αὐτὰ ἐν τῇ οἰκείᾳ θέσει.

ἀνάπαιστος ἴαμβος συλλαβὴ 30
⏑ ⏑ – ⏑ – ⏑̲

[18] ἴαμβοι Cod. B.

Digitized by Google

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον ἀντισπαστικὸν ἑκατέρωθεν δ' ἔχει
αἷς φιληδεῖ ἀντίσπαστος, ἰαμβικάς σοι λέγω.
ἐν δέ γε τὸ "εὐάνορος" τὸ ρῶ τὸ νο ἐκτείνει·
5 τοῦ δέ γε "κλέος" ὡς κοινὴ τὸ ος ἐκλαμβανέσθω.
ἐν δ' ἄλλοις τὸ μέτρον ἀπαθές· τὴν θέσιν λάβε μοι.

ἴαμβος	ἴαμβος	ἀντίσπαστος	ἴαμβος
⏑ –	⏑ ⏒	⏒ – ⏓ ⏑	⏑ ⏓

Περὶ τοῦ τετάρτου κώλου.

Τὸ τέταρτον ἰαμβικὸν, πλὴν οὕτω καταμέτρει
10 τὸ πρῶτον πενθημιμερὲς, καὶ ἐφεξῆς δὲ κεῖνται
τρεῖς πόδες καὶ ἰαμβικοὶ, ὡς εἶναι τὸ πᾶν μέτρον
μιᾶς δεούσης συλλαβῆς τρίμετρον ἐν τῷ μέσῳ[19].
θέσις ἰδού σοι προφανῶς σαφήνειαν πρὸς πλείω.

τρίβραχυς	ἢ ἴαμβος ἢ ἀνάπαιστος	συλλαβὴ	ἴαμβοι
⏑ ⏑ ⏑	⏑ ⏓ –	⏓	⏑ – ⏑ – ⏑ –

15 ### Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον δὲ παιωνικὸν δεύτερον τρίμετρόν τε,
ὄντος τοῦ μέσου δηλαδὴ καὶ ἐπιτρίτου τρίτου·
ἵνα καὶ πλεονάζωσιν ἐλλείποντες οἱ χρόνοι,
βακχείου τοῦ ἐσχάτου τε παιωνικοῦ τοῦ εἴδους.
20 Τρία τὰ εἴδη κέκτηται ὁ παιὼν γὰρ καὶ μόνα,
τὸ κρητικὸν, βακχειακὸν, παλιμβακχειακόν τε.
ἅπερ καὶ δέχεται ποσῶς ἐν ταῖς οἰκείαις χώραις.
ἰδοὺ καὶ τὴν κατάθεσιν τοῦ κώλου καταγράφω.

παιὼν δεύτερος	ἐπίτριτος τρίτος	βακχεῖος
⏑ – ⏑ ⏑	– – ⏑ –	⏑ ⏓ –

25 ### Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον ἀντισπαστικὸν ἀλλὰ καταληκτόν γε
τρίμετρον πρὸς ἰαμβικὰς ἀρίστως μεμιγμένον.
ὁ πρῶτος γὰρ ἀντίσπαστος σὺν τέτρασιν ἰάμβοις.
καταγραφή σοι πρόδηλος ἐκτίθεται ἐνταῦθα.

30

ἀντίσπαστος	ἴαμβοι
⏑ – – ⏑	⏑ – ⏑ – ⏑ – ⏑ –

19 δὲ οὔσης Cod.

Digitized by Google

Περὶ τοῦ ἑβδόμου κώλου.

Τὸ ἕβδομον ἰωνικὸν, ἀλλ' ἀπὸ μείζονός σοι,
δίμετρον καὶ ἐπίμικτον πρὸς τὰς τροχαϊκάς δε,
ὑπερκατάληκτον αὐτό. λάμβανέ μοι τὴν θέσιν.

ἰωνικὸν ἀπὸ μείζονος τροχαϊκὰ συλλαβὴ 5
– – ⏑ ⏑ – ⏑ – ⏑ ⏑̲

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον ἰαμβικὸν βραχυκατάληκτον τε
καὶ δίμετρον, ὡς ἔστι σοι μαθεῖν ἀπὸ τῆς θέας.

σπονδεῖος ἴαμβοι
– – ⏑ – ⏑ ⏑̲

Περὶ τοῦ ἐννάτου κώλου. 10

Τὸ ἔνατον ἰωνικὸν ἀλλ' ἀπὸ μείζονός γε
βραχυκατάληκτον ἐστὶ, δίμετρον ὥστε εἶναι.
λάβε μοι τὴν καταγραφὴν ὥσπερ τινα κανόνα.

ἰωνικὸν ἀπὸ μείζονος ἰωνικὸν ἥμισυ
– – ⏑ ⏑ – ⏑̲

Περὶ τοῦ δεκάτου κώλου. 15

Τὸ δέκατον ἰαμβικὸν καὶ δίμετρον ὑπάρχει.
φασὶν Ἀνακρεόντειον τοῦτο τὸ μέτρον εἶναι·
ὃς ὅλα ᾄσματα αὐτοῦ τούτῳ τῷ μέτρῳ γράφει.
ὅρα μοι τὴν καταγραφὴν, καὶ μέτρει ἀκινδύνως.

σπονδεῖος ἴαμβοι 20
– – ⏑ – ⏑ – ⏑ –

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ἑνδέκατον ἰωνικὸν, ἀλλ' ἀπὸ μείζονός σοι
δίμετρον ἀκατάληκτον παρατετηρημένον.
συζυγίαν τὴν πρώτην γὰρ ποιεῖ ἀπὸ βραχείας
ἀρχομένην, ὡς γένεσθαι παιῶνα ἐν δευτέροις, 25
ὃ καὶ ἐν τριμέτρῳ γίνεται, καὶ αὖθις τετραμέτρῳ.

Digitized by Google

παρατηρεῖν δὲ λέγει με ὁ Ἡφαιστίων τοῦτο.
ἰδοὺ τὴν θέσιν προφανῆ τίθεμεν· ἀλλ' ὁρᾶτε.

ἰωνικὸς ἀπὸ μείζονος

⏑̄ – ⏑ ⏑ – – ⏑ ⏑

Περὶ τοῦ δωδεκάτου κώλου.

Τρίμετρον τὸ δωδέκατον καὶ ἐπιωνικόν γε.
ἐξ ἀντισπάστου δ' ἄρχεται, καὶ καταληκτικόν γε.
ἔχει δὲ τὴν κατάκλειδα τροχαῖον συλλαβήν τε,
ἀλλ' ἀδιάφορον αὐτήν. βλεπέτω τις τὴν θέσιν.

ἀντίσπαστος ἰωνικὸς τροχαῖος συλλαβὴ

⏑ – – ⏑ – – ⏑ ⏑ – ⏑ ⏑̄

Περὶ τοῦ τρισκαιδεκάτου κώλου.

Ἔστι τὸ τρισκαιδέκατον τῷ τῆς στροφῆς γε τρίτῳ
ὅμοιον, χοριαμβικὸν καὶ καταληκτικόν γε
δίμετρον, τὴν κατάκλειδα ὁμοίαν τούτῳ ἔχον
ἰαμβικὴν, βακχειακήν. ὅρα τὴν θέσιν πάλιν.

χορίαμβος ἰαμβοβακχεῖος

– ⏑ ⏑ – ⏑ – ⏑

Περὶ τοῦ δευτέρου Ἐπινικίου τῶν Ὀλυμπίων.

Δευτέρου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντίστροφός γε
κώλων τεσσαρεσκαίδεκα· ὀκτὼ ἡ ἐπῳδός δε.
τὸ πρῶτον περιοδικὸν ἐξ ἰαμβοτροχαίων.
τί δ' ἔστι περιοδικὸν, ἤδη τρανῶς σοι λέξω.
τῶν κώλων τῶν ᾀσματικῶν, τὰ μὲν ποδὶ μετρεῖται,
ὅσ' εὐμοιροῦσι τῶν ποδῶν τῶν γε τετρασυλλάβων,
δακτύλου καὶ βακχείου τε ἀπὸ τῶν δισυλλάβων,
ἄλλα ἐν συζυγίαις δὲ δύο ποδῶν τε αὖτη,
καὶ δισυλλάβων ὁλικῶς τινῶν καὶ τρισυλλάβων,
τὰ δὲ καταριθμοῦνταί σοι αὐταῖς ταῖς περιόδοις.
ἔστι δὲ ἡ περίοδος τριῶν ποδῶν σοι μέτρον,
πολλάκις καὶ τεσσάρων γε, εἰ τελειοῖ τὸ κῶλον.
ἐκ διαφόρων δὲ ποδῶν περίοδος ὑπάρχει,

Digitized by Google

δακτύλου ἀναπαίστου τε, ἰάμβου καὶ τροχαίου,
καθὼς ὡδὶ τῷ λυρικῷ τὸ ᾆσμα συνετέθη.
εἰσὶ γὰρ δύο ἴαμβοι, τόσοι δὲ καὶ τροχαῖοι.
πῶς δ' οὐ καλεῖται δίμετρον ποδῶν ὡς ἐκ τεσσάρων;
ὅτι ἀνάρμοστοι εἰσὶν οἱ πόδες οὐκ οἰκεῖοι· 5
οὐδ' ὅλως γὰρ ἰαμβικὸν, οὔτε τροχαϊκόν τι,
οὐδ' ὅλως δὲ δακτυλικὸν φήσομεν τοῦτο εἶναι,
ὅθεν καὶ τὰ διάφορα περίοδον ποιοῦσιν.

ἴαμβοι ⏑ – ⏑ τροχαῖοι — ⏑ – ⏑

Περὶ τοῦ δεττέρου κώλου. 10

Τὸ δεύτερον ἰωνικὸν ὡς καταληκτικόν γε,
ἀπὸ τροχαίου δίμετρον ἀρχόμενον, πλὴν οὕτως
τὸ πρότερον ἰωνικὸν, δύο εἰσὶ τροχαῖοι·
ἐξ ὧν τροχαίων ἄτερος τρίβραχυς φέρεταί σοι.
ποῖ μὲν ὁ πρότερος αὐτό· πῇ δ' ὁ δεύτερος πάλιν, 15
καὶ ἔκ τοτε ἰωνικὸν, ἀλλ' ἀπὸ τῶν μειζόνων·
οὐ τέλειον κατάληξις, λείπει γὰρ ἡ ἐσχάτη.

τροχαῖος διαλελυμένος ⏑ ⏑ ⏑ τροχαῖος – ⏑ ἰωνικὸς – – ⏑

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον ἀντισπαστικὸν, ἀλλ' ἀκαταληκτόν τι[19], 20
καὶ δίμετρον ὑπάρχει δ', ἀλλ' ὅρα τὸν πρῶτον πόδα
μεγίστην τὴν διαφορὰν ἔχοντα πρὸς τὸν ἄλλον.
παραδιδοῦσι γὰρ σοφοὶ, ὡς ποτὲ μὲν μεταβάλλει
ὁ πρῶτος ποὺς εἰς τρίβραχυν τῆς μακρὰς λελυμένης.
λάμβανε τὴν ἡμίσειαν τὸν πόδα συζυγίαν. 25
ἐν τοίνυν πρώτῃ τῇ στροφῇ τοῦ μέτρου φυλαχθέντος,
ἐν ἄλλοις διαλέλυται, εἰς τρίβραχυν ὁ πρῶτος.
ἀλλ' οὐδὲ πάλιν καθαρὸν φυλάττεται τὸ μέτρον,

19 Schol. Cod. B. ἐμοὶ δοκεῖ ὡς ἰωνικὸν ἐστὶ δίμετρον ἀκατάληκτον τῆς α μακρᾶς τοῦ ἰωνικοῦ διαλυθείσης εἰς δύο βραχείας· τοῦ δὲ δευτέρου ποδὸς παιῶνος ὄντος δευτέρου, ἀντὶ ἰωνικοῦ, ἔν τισι δὲ καὶ διϊάμβου.

Digitized by Google

ἀλλὰ τριῶν ὀφειλουσῶν τῶν βραχειῶν ὑπάρχειν
πάντως, ὡς εἶναι τρίβραχυν τὸν πόδα συζυγίας,
οὐ γίνεται τοιοῦτό τι, ἀλλάττεται δ' ὁ χρόνος.
ὅθεν καὶ τρίτης συλλαβῆς ὀφειλούσης βραχείας,
5 μακρᾶς τετάρτης ἐφεξῆς, μετάληψις τῶν χρόνων
γίνεται, καὶ ἀλλάσσονται οἱ χρόνοι πρὸς ἀλλήλους.
βλέπε καὶ τὴν κατάκλειδα, ὡς ἔστιν ἰαμβεία,
φημὶ πόδα τὸν ὕστερον δευτέρου ἀντισπάστου,
τῆς συζυγίας ἥμισυ λέγω ὧδὶ τὸν πόδα.
10 ἐμάνθανες δ' ἀντίσπαστον ἰάμβοις κοινωνοῦντα·
τὸ κῶλον δὲ ἂν διαιρῇς εἰς δισυλλάβους πόδας,
τὸν ἔσχατον εὑρήσεις μοι καὶ τέταρτον πρὸς τούτοις,
εἰκότως τοίνυν τίθεται ἴαμβος οὐ σπονδεῖος.

γέγονεν οὕτως ἀντίσπαστος, ὤφειλεν ἀντίσπαστος ἢ ἰωνικὴ κατάκλεις.

⏑ ⏑⏑ — ⏑ ⏑ — ⏑ —

15 Περὶ τοῦ τετάρτου κώλου.

Τέταρτον χοριαμβικόν, ἀπὸ δὲ συζυγίας
ἰαμβικῆς μοι μάνθανε τῆς πρώτης ἐκτελεῖσθαι.
δίμετρον καταληκτικὸν τὸ κῶλον γίνωσκέ μοι.
εἰ δέ γε καὶ ἰαμβικὴν ἀκούεις συζυγίαν,
20 ἀλλ' ἔστιν οὗ σπονδειακὴν τὴν πρώτην μάνθανέ μοι.
αὐτὰ δέ σε διδάξουσι μετρούμενα τὰ κῶλα.

ἰαμβικὴ συζυγία

— — ⏑ — — ⏑ ⏑

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον δὲ ἰαμβικὸν βραχυκατάληκτόν τε
25 καὶ δίμετρον ὑπάρχει δὲ, τὸν δεύτερον δὲ πόδα
ἰαμβικοῖς ὡς ἴδιον τρίβραχυν καταμέτρει.

ἴαμβος τρίβραχυς ἢ ἴαμβος σπονδεῖος

⏑ — ⏑ ⏑ ⏑ — —

Περὶ τοῦ ἕκτου κώλου.

Ἀντίσπαστος τὸ ἕκτον δὲ καὶ συλλαβὴ ὑπάρχει.
30 ἀντίσπαστος ἢ παιὼν δεύτερος συλλαβὴ

⏑ — ⏑⏑ ⏑ ⏑

Digitized by Google

Περὶ τοῦ ἑβδόμου κώλου.

Τὸ ἕβδομον ἰωνικὸν ἀλλ' ἀπὸ ἐλασσόνων
δίμετρον καταληκτικόν, ἄρχεται δ' ἐκ τροχαίων.
τροχαϊκὴ γάρ ἔστι σοι ἡ πρώτη συζυγία.
ἰωνικοῖς ἐλέγομεν οἰκείους τοὺς τροχαίους. 5

διτρόχαιος ἢ παιὼν τρίτος ἰωνικὸν καταληκτικόν
⏑̄ ⏑ – ⏑ ⏑ ⏑ –

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον ἰωνικὸν ἀλλ' ἀπὸ τῶν μειζόνων,
καὶ ἀκατάληκτον δ' ἔστι, καὶ δίμετρον πρὸς τούτοις.
ἰωνικὰ 10
– – ⏑̄ ⏑ – – ⏑ ⏑

Περὶ τοῦ ἐννάτου κώλου.

Τὸ ἔνατον παιωνικὸν δίμετρον καταλήξει[20]·
παιὼν ὁ πρῶτος τέταρτος, δεύτερος κρητικὸς δέ.
εἰ δὲ μακρὰ εὑρίσκεται ἔστιν οὗ ἡ ἐσχάτη,
ἀλλ' ἀδιάφορον αὐτὴν λάμβανε ὡς ἐσχάτην. 15

τέταρτος παιὼν ἢ ἰωνικὸς κρητικὸς
⏑ ⏑ ⏑̄ – – ⏑ –

Περὶ τοῦ δεκάτου κώλου.

Δέκατον ἀντισπαστικὸν καὶ καταληκτικόν γε
καὶ δίμετρον· ἐλλείπει γὰρ ἥμισυ συζυγίας·
τὸ πρότερον ἀντίσπαστος· ἔστι δὲ καὶ καθαρός τις· 20
τὸ δεύτερον ἀντίσπαστος, ἀλλ' ἀπὸ πυρριχίου,
ὃ καὶ παρὰ παράδοσιν κείμενον νῦν εὑρέθη.
τῆς πρώτης συζυγίας γὰρ ἐλέγομεν τὸν πόδα
εἰς τέσσαρα μετάγεσθαι σχήματα δισυλλάβου·
οὐ τῆς δευτέρας, οὔτε μὴν τῆς τρίτης ἀντισπάστου, 25

ἀντίσπαστος
⏑ – – ⏑ ⏑ ⏑ ⏑̄

20 Schol. Cod. B. Περισσοὶ οἱ δύο στίχοι· τὸ γὰρ θ κῶλον ἐκ παιῶνος τετάρτου ἐστὶ καὶ κρητικοῦ, καὶ παρ' ἡμῖν ἐτέθη ἐνταῦθα.

Digitized by Google

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ἑνδέκατον ὁμόχρονον τῷ ἕκτῳ τῆς στροφῆς δε,
ἀντίσπαστος ὑπάρχει γὰρ καὶ συλλαβὴ πρὸς τούτῳ.

ἀντίσπαστος

⏑ – – ⏑ ⏓

Περὶ τοῦ δωδεκάτου κώλου.

Ἔστι δὲ τὸ δωδέκατον βραχυκαταληκτόν τι
δίμετρον ἀντισπαστικόν· ἰδού σοι καὶ ἡ θέσις.

ἀντίσπαστος

⏑ – – ⏑ ⏓ –

Περὶ τοῦ τρισκαιδεκάτου κώλου.

Ἐφθημιμερὲς ἰαμβικὸν τὸ τρισκαιδέκατόν γε.
τὸν τρίτον πόδα μάνθανε ἐν τούτῳ δὲ τῷ κώλῳ
τρισύλλαβον ὑπάρχοντα, οἰκεῖόν τε τῇ χώρᾳ
ἀνάπαιστον καὶ τρίβραχυν καὶ δάκτυλον πολλάκις.

σπονδεῖος ἴαμβος δάκτυλος ἢ τρίβραχυς συλλαβὴ

– – ⏑ – ⏑ ⏑ ⏓ ⏓

εἶπον τί δ' ἐφθημιμερὲς τοῖς ἀνωτάτω τόποις.

Περὶ τοῦ τεσσαρεσκαιδεκάτου κώλου.

Τὸ τεσσαρεσκαιδέκατον ἰαμβικὸν ὑπάρχει
δίμετρον, τὴν κατάληξιν βραχεῖαν κεκτημένον,
βραχυκατάληκτον ἐστὶν εἴποιμι σαφεστέρως.
τὸ πρῶτον ἴαμβος ἐστί, τὸ δεύτερον πολλάκις
ἔχον ἀνάπαιστον ἐστίν, οἰκεῖον γὰρ τῇ χώρᾳ
πολλάκις ἴαμβος αὐτός, τρίβραχυς δὲ ὁ τρίτος,
οὕτω γὰρ εἴποιμεν αὐτὸ βραχυκαταληξίαν.

ἴαμβος ἴαμβος τρίβραχυς

⏑ – ⏑ – ⏑ ⏑ ⏑

Περὶ τῆς ἐπωιδοῦ.

Ὀκτώ σοι καταρτίζεται ἡ ἐπῳδὸς τοῖς κώλοις.
τὸ πρῶτον χοριαμβικὸν βραχυκατάληκτόν τε

Digitized by Google

τρίμετρον ἐξ ἰαμβικῆς τῆς πρώτης συζυγίας.
ἔχει γὰρ καὶ συγγένειαν χορίαμβος πρὸς ταῦτα.

σπονδεῖος ἴαμβος χορίαμβος
– – ⏑ – – ⏑ ⏑ – ⏒ ⏓

Περὶ τοῦ δεττέρου κώλου.

Δεύτερον χοριαμβικὸν ὑπερκατάληκτόν τε
καὶ δίμετρον ἀρχόμενον ἀλλ' ἀπὸ τῶν τροχαίων·
ὃ ἐπιχοριαμβικὸν εἴποιμεν μᾶλλον εἶναι·
ἀνοίκειος γὰρ παντελῶς τροχαῖος χοριάμβῳ.

τροχαῖος χορίαμβος ἢ παιὼν πρῶτος
– ⏑ – ⏑ – ⏑ ⏑ ⏓ ⏓

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον ἀντισπαστικὸν βραχυκατάληκτόν τε
καὶ δίμετρον, ἀντίσπαστος καὶ δύο συλλαβαὶ γάρ.

ἀντίσπαστος συλλαβαὶ δύο
⏑ – – ⏑ – ⏓

Περὶ τοῦ τετάρτου κώλου.

Τὸ τέταρτον παιωνικὸν ἀλλ' ἀκατάληκτόν γε
καὶ δίμετρον ἐκ παιῶνος τετάρτου κρητικοῦ τε.
συνῃρημένας ἔχει δὲ τὰς συλλαβὰς τὰς πρώτας
βραχείας, μίαν εἰς μακρὰν, ὁ δεύτερος παιώνων[21].

παιὼν τέταρτος κρητικος
⏑ ⏑ ⏑ – – ⏑ –

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον δὲ ἰαμβικὸν καὶ δίμετρον ὑπάρχει,
ἀλλ' ἀκατάληκτον ἐστὶ, πλὴν ἐν τρισυλλαβίαις
ὁ δεύτερος πολλάκις ποὺς, ὁ πρότερος ἐν ἄλλοις.

ἴαμβος τρίβραχυς σπονδεῖος ἴαμβος
⏑ – ⏑ ⏑ ⏑ – – ⏑ ⏒

21 Schol. Cod. B. Καὶ τοῦτο τὸ κῶλον ὅμοιόν ἐστι τῷ τῆς στροφῆς θ'. ἐκ γὰρ παιῶνος δ' σύγκειται καὶ κρητικοῦ.

Digitized by Google

Περὶ τοῦ ἕκτου κώλου.

Ἕκτον μικτὸν τροχαϊκὸν ἀπόγε συζυγίας
ἰαμβικῆς τῆς πρώτης[22] μὲν, ὅρα δὲ καὶ θέσιν.

ἰαμβικὴ συζυγία — — ⏑ — τροχαῖος σπονδεῖος — ⏑ — — τρίβραχυς σπονδεῖος ⏑ ⏑ ⏑ — —

Ἔστι γὰρ ἀκατάληκτος καὶ τρίμετρος ὁ στίχος·
εὕρηνται καὶ τρισύλλαβοι ἐν ταῖς τροχαϊκαῖς γε
ταῖς χώραις οὐκ ἀνοίκειοι· ἐν δὲ τῷ λάϊόν[23] γε
εὕρηται συνεκφώνησις, συνίζησις ὡς θέλεις.

Περὶ τοῦ ἑβδόμου κώλου.

Ἕβδομον δὲ ἰωνικὸν δίμετρον ἐκδιδάσκου,
πρῶτον δὲ τὸν ἰωνικὸν, ἴαμβοι δ' ἐπὶ τούτοις·
οὐδὲ γὰρ μία πέφυκεν οἰκείωσις τοῖς μέτροις.
ἂν γὰρ τροχαῖοι ἔκειντο ἰωνικὸν καλοῖτο·
οἰκεῖα γὰρ ἰωνικοῖς τὰ μέτρα τοῦ τροχαίου.

ἰωνικὰ ἢ ἀντίσπαστος ⏑ — ⏑ ⏑ διίαμβος ⏑ — ⏑ —

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον ἰαμβικὸν μικτὸν ἀπὸ τροχαίων,
τρίμετρον καταληκτικὸν ὡς λέγεσθαι καὶ στίχον[24].
ἡ δὲ συζυγία σοι ἡ πρώτη τοῦ τροχαίου
οὐ τῶν τροχαίων εὐμοιρεῖ, ἀλλάγε καὶ σπονδείου
ἐν τῇ δευτέρᾳ χώρᾳ δὲ ὡς ἔφην ἐν τροχαίοις.

τροχαϊκὴ — ⏑ ἴαμβοι ⏑ — ⏑ — ⏑ — ⏑ — ⏑

Περὶ τοῦ τρίτου ἐπινικίου τῶν Ὀλυμπίων.

Τοῦ τρίτου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντιστροφή γε
ἐννέα κώλοις σύγκειται, ἡ ἐπῳδὸς δ' ἐννέα.

[22] πρώτη Cod. B. [23] Sic.
[24] Schol. Cod. B. καὶ τοῦτο ἀντισπαστικόν ἐστι τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου β' καὶ ἰάμβων· οἰκεῖοι γὰρ οἱ πόδες ἀντίσπαστοι.

Digitized by Google

τὸ πρῶτον ἐγκωμιολογικὸν ἐν καταλήξει δ' ἔστιν.
ἀλλ' ἄγε δὴ διδάξωμεν εἴδους τοιοῦδε πέρι.
δύ' ἐστι πενθημιμερῆ ἀλλὰ διάφορά τα,
δακτυλικὸν, ἰαμβικὸν, ἐκ τούτων δὲ τῶν δύο
ὅταν τὸ πενθημιμερὲς, τὸ ἰαμβεῖον λέγω, 5
προτάττεται, καὶ ὕστερον τὸ τοῦ δακτύλου κεῖται,
κέκληται ἰαμβέλεγος τοῖς ῥυθμικοῖς τὸ μέτρον.
ὅτε τὸ πενθημιμερὲς, δακτυλικόν σοι λέγω,
προτάττεται, καὶ ὕστερον τὸ τῶν ἰάμβων κεῖται,
ἔστι διπενθημιμερὲς, καλεῖται δὲ καὶ οὕτως, 10
ἀλλὰ παρονομάζεται ὁ ἰαμβέλεγός σοι
ἐκ τοῦ ποιοῦ, ὡς ἴαμβον καὶ ἐλεγεῖον ἔχον.
τὸ δὲ διπενθημιμερὲς, ἐκ τοῦ ποσοῦ καλεῖται,
ὡς ἔχον πενθημιμερῆ δύο, οὐδ' ὅλως τρία.
καίγ' ἐγκωμιολογικὸν καλεῖται τὸ τοιοῦτον· 15
σύγκειται γὰρ ἐγκώμια τῷ μέτρῳ τῷ τοιῷδε.
τί δὲ καὶ ἰαμβέλεγός ἐστιν εἰπεῖν βραχεία·
δυσὶ γὰρ ἀπαρτίζεται τοῖς πενθημιμερέσι
καὶ διαφόροις μάνθανε ὁ ἐλεγεῖος στίχος·
δακτυλικὰ τὰ δύο γὰρ διαστολήν γε ἔχει. 20
τὸ πρῶτον πενθημιμερὲς τρέπεται εἰς σπονδεῖον,
τὸ δεύτερον οὐ τρέπεται· ἀεὶ δακτύλους δ' ἔχει.
εἰ τοίνυν πενθημιμερὲς δακτυλικὸν ἐν τούτῳ
ἰάμβοις ἐπιφέρεται, ἀλλ' ἀμετατρεπτόν τι
κληρονομεῖ τῆς τάξεως δευτέρας ἐλεγείου. 25
τοίνυν καὶ ἰαμβέλεγος τοῖς τεχνικοῖς καλεῖται.
ταῦτα δὲ ἀσυνάρτητα λέγονται τοῖς τεχνίταις.
ὅταν γὰρ μὴ δυνάμενα ἀλλήλοις συναρτᾶσθαι,
μήδ' ἔχειν ἕνωσιν τινὰ δύο ἢ τρία κῶλα,
ἀντὶ ἑνὸς λαμβάνονται τοῦ στίχου, τότε λέγε 30
αὐτά γε ἀσυνάρτητα· ἔχεις ἰδοὺ τὸ σύμπαν.
διαφορὰν δὲ μάνθανε πάλιν ἀσυναρτήτων
πρὸς τὰς κατ' ἀντιπάθειαν, ἥνπερ ἔχουσι μίξιν.
μίξις ποδῶν ἐργάζεται τὴν ἀντιπάθειάν σοι·

Digitized by Google

μίξις δὲ κώλων ἐμποιεῖ μέτρων ἀσυναρτήτων.
ἰδού σοι καταγράφομεν τὴν θέσιν ὅπως ἔχει.

δάκτυλοι συλλαβὴ ἰαμβικὴ συζυγία
— ◡ ◡ — ◡ ◡ — — — ◡ —

ἰδού σοι καταληκτικὸν τὸ μέτρον διαγράφω.

5 Περὶ τοῦ δευτέρου κώλου.

Δεύτερον προσοδιακὸν, ἀλλ' ἀπὸ τῶν μειζόνων
δίμετρον ἀκατάληκτον εἴπωμεν τούτου πέρι.
λέγεται προσοδιακὸν προσόδοις παρωνύμως.
ἐν γὰρ εὐχαῖς ἐλέγετο καὶ πανηγυρεσί γε,
10 αἷς εἰσφοραὶ ἐγένοντο καὶ πρόσοδοι μυρίαι.
σύγκειται δ' ἐξ ἰωνικοῦ τοῦ ἀπὸ μείζονός τε
δευτέρου χοριάμβου τε, πολλάκις δὲ καὶ οὕτως.
ἐπεὶ γὰρ τὸ ἰωνικὸν δέχεται καὶ τροχαίους,
δεύτερος ἀντ' ἰωνικοῦ συντίθεταί σοι παιών.
15 εἰ γὰρ τραπῇ ὁ πρῶτος ποὺς εἰς φίλον τὸν τροχαῖον
ἐκ μείζονος ἰωνικοῦ, δεύτερος ἔστι παιών.
ἰδού σοι καὶ καταγραφὴν ἐκτίθεμεν, ἀλλ' ὅρα.

ἰωνικὸν χορίαμβος
— — ◡ ◡ — ◡ ◡ —

Περὶ τοῦ τρίτου κώλου.

20 Καὶ τρίτον προσοδιακὸν, ἀλλ' ἔστιν ἐν τριμέτροις.
εἷς γὰρ παρ' ἕνα τίθεται μέχρι καὶ πέντε μέτρων.
ἔστι γὰρ τὸ πεντάμετρον τριακοντάσημόν τι·
ἓξ γὰρ σημείων εὐμοιρεῖ τὸ μέτρον τὸ τοιόνδε·
πεντάκις ἓξ ἐγγίνονται τριάκοντα τὰ πάντα.
25 σημεῖα μάνθανε δ' αὐτοὺς λεγόμενα τοὺς χρόνους,
ὧν ἔχει δύο ἡ μακρὰ καὶ ἕνα ἡ βραχεία.
καθὸ καὶ λέβης τρίχρονος· Αἴας τετράχρονός τε·
ἕως δὲ τῶν τριάκοντα σημείων Ἡφαιστίων
ὁ ῥυθμογράφος ἀξιοῖ ἀνάγεσθαι τὸ σύμπαν·
30 κατὰ δ' ἑτέρους τίθενται τριάκοντα καὶ δύο.
ἀλλ' ὅρα τὴν καταγραφὴν τοῦ τρίτου τοῦδε κώλου.

ἰωνικὸς χορίαμβος ἰωνικὸς
— — ◡ ◡ — ◡ ◡ — — ◡ ◡

Digitized by Google

Περὶ τοῦ τετάρτου κώλου.

Δίμετρον προσοδιακὸν ὑπερκατάληκτόν τε[24]
τὸ τέταρτον ἐκμάνθανε· ἀλλ' ὅρα τε καὶ ξένον.
τοῦτο τὸ ᾆσμα ἥρμοσται εἰς Θήρωνα τῷ λόγῳ
τελοῦντι θεοξένια ἀκούσαντι τὴν νίκην. 5
τὸ τοίνυν προσοδιακὸν ἡρμόζετο, ὡς ἔφην,
εὐχαῖς καὶ πανηγύρεσι προσόδοις εἰσφοραῖς τε.
εἰ γοῦν τὰ θεοξένια πανήγυρις ὑπάρχει
καὶ πρόσοδος τοῦ Θήρωνος, εἰκότως πλεονάζει
τοῦτο τὸ μέτρον, ὁ ῥυθμὸς ὁ προσοδιακός γε. 10
βούλει καὶ τὴν καταγραφὴν ἐνταῦθα παραθήσω.

ἰωνικὸν	χορίαμβος	συλλαβὴ
— — ⏑ ⏑	— ⏑ ⏑ —	—

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον προσοδιακὸν καὶ καταληκτικόν γε
τρίμετρον ἐκ τροχαϊκοῦ, δευτέρου χορίαμβου, 15
καὶ τρίτου τοῦ ἰωνικοῦ τοῦ ἀπ' ἐλάσσονός γε.
εἰς τί δε τὸ τροχαϊκὸν συντέθειται ἐν πρώτοις·
τοῦτο τὸ προσοδιακόν ἐστιν ἐξ ἐλασσόνων.
ὥσπερ δ' ὁ παιὼν δεύτερος ἐν μείζοσι τελεῖται,
τοῦ πρώτου εἰς τροχαϊκὸν ποδὸς μεταπεσόντος, 20
οὕτως ἐνταῦθα ἐπίτριτος ὁ δεύτερος τελεῖται·
ἐπεὶ τὸ προσοδιακόν ἐστιν ἐξ ἐλαττόνων,
μεταπεσόντος τοῦ ποδὸς τοῦ πρώτου εἰς τροχαῖον.
ἰδού σοι καὶ καταγραφή· ἴδε τοι γὰρ τὴν θέσιν·

δεύτερος ἐπίτριτος	χορίαμβος	ἰωνικὸν ἀπ' ἐλάσσονος 25
— ⏑ — —	— ⏑ ⏑ —	⏑ ⏑ —

Θήσομέν τι καὶ ἥδυσμα, πῶς λέγεται ὁ παιὼν,
πῶς ὁ ἐπίτριτος αὐτὸς, τὴν ἀκοὴν ὑπόσχες·
παιὰν ὕμνος ὁ εἰς θεοὺς, καὶ παίων συνετέθη
ἐν καταπαύσει τοῦ λοιμοῦ Ἀπόλλωνος τῶν τόξων

24 Schol. Cod. B. τοῦτο καὶ ἀναπαιστικόν ἐστιν ἐφθημιμερὲς σπονδείου ἀρχομένου — —·⏑⏑—·⏑⏑—·⏑̄.

Digitized by Google

ἐπίτριτος ἐν ἀριθμοῖς ὁ τέσσαρα τοῦ τρία
ὅλον τὸν τρία κέκτηται καὶ τρίτον σὺν τούτῳ,
ἐπίτριτος ἐν ῥυθμικοῖς κατὰ τοιοῦτον λόγον.
εἴ πως γὰρ διαιρήσομεν τοῦτον ποσὶν ἐν δύο,
εἰ οἷος ἄρα δὲ ἐστὶ, μακραί εἰσιν αἱ δύο
ἔχουσαι χρόνους τέσσαρας, εἰ βούλει δὲ σημεῖα·
αἱ δύο δ' αἱ ἐπίλοιποι μακρά τε καὶ βραχεῖα
ἢ ἀντιστρόφως γίνονται ἔχουσαι τρεῖς τοὺς χρόνους·
κἀντεῦθεν ἀναφαίνεται λόγος τῶν ἐπιτρίτων.

Περὶ τοῦ ἕκτου κώλου.

Τὸν ἕκτον δὲ ἰαμβικὸν καὶ πενθημιμερές γε.

σπονδεῖος ἴαμβος συλλαβὴ
— — ⏑ — —

Περὶ τοῦ ἑβδόμου κώλου.

Τὸ ἕβδομον τροχαϊκὸν ἀλλ' ἀκατάληκτόν τι
καὶ δίμετρον. ἐν θέσει δὲ τοιᾷδε καταμέτρει.

τροχαῖος σπονδεῖος τροχαῖος σπονδεῖος
— ⏑ — — — ⏑ — —

Περὶ τοῦ ὀγδόου κώλου.

Ὅμοιον πρώτῳ τῆς στροφῆς τὸ ὄγδοον ὑπάρχει,
δῆλον ἐγκωμιολογικὸν καταληκτικόν τε.

δακτυλικὸν πενθημιμερὲς ἰαμβικὸν πενθημιμερὲς
— ⏑ ⏑ — ⏑ ⏑ — . — — . ⏑ — :

Περὶ τοῦ ἐνάτου κώλου.

Τὸ ἔνατον Στησιχόρειον ἐκ μόνων ἐπιτρίτων
τρίμετρον ἀκατάληκτον δευτέρων καὶ τούτων.
ἡ πρώτη συζυγίαδὲ καὶ ἑταρτον λαμβάνει,
λυθείσης πρώτης τῆς μακρᾶς εἰς δύο τὰ βραχέα.

ἐπίτριτοι πάντες.

⏑ ⏑ — — ⏑
— ⏑ — — . — ⏑ — — . — ⏑ — — .

καλεῖται Στησιχόρειον δ' εὐρόντος Στησιχόρου.

Digitized by Google

Περὶ τῆς ἐπῳδοῦ.

Δεῦρ' ἴθι καὶ τῆς ἐπῳδοῦ τὰ κῶλα καταμέτρει.
τὸ πρῶτον μὲν τροχαικὸν ἀλλ' ἀκαταληκτόν γε
καὶ δίμετρον γνωρίζεται· λάβε μοι δὴ τὴν θέσιν.

τροχαῖος σπονδεῖος τροχαῖος σπονδεῖος 5
— ◡ — — — ◡ — —

Περὶ τοῦ δεττέρου κώλου.

Τὸ δεύτερον δακτυλικὸν καὶ πενθημιμερές γε.

δάκτυλοι συλλαβὴ
— ◡ ◡ — ◡ ◡ —

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον προσοδιακὸν καὶ καταληκτικόν γε 10
τρίμετρον ἀπ' ἐλάττονος ἰωνικοῦ καὶ τόδε
τὸν πρῶτον πόδα ἔχοντος ἀρχόμενον τροχαίῳ,
ὡς δεύτερον ἐπίτριτον τὴν καταρχὴν πελεῖσθαι

δεύτερος ἐπίτριτος χορίαμβος ἰωνικὸν ἀπ' ἐλάσσονος καταληκτικὸν
— ◡ — — — ◡ ◡ — ◡ ◡ — :

Περὶ τοῦ τετάρτου κώλου. 15

Τὸ τέταρτον ἰωνικὸν ἀλλ' ἀπὸ τῶν μειζόνων
δίμετρον ἀκατάληκτον. ἰδού σοι καὶ ἡ θέσις.

ἰωνικὰ
— — ◡ ◡ — — ◡ ◡

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον προσοδιακὸν δίμετρον χοριάμβῳ 20
ἰωνικῷ τε μάνθανε τῷ ἐκ τῶν ἐλασσόνων.

χορίαμβος ἰωνικὸν ἀπ' ἐλάσσονος ἢ ἐπίτριτος.
— ◡ ◡ — ◡ ◡ — —

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον ὅμοιόν ἐστι τῷ τῆς στροφῆς γε πρώτῳ,
δῆλον ἐγκωμιολογικὸν καταληκτικόν τε. 25

Digitized by Google

δακτυλικὸν πενθημιμερὲς δύο ἴαμβοι

— ⏑ ⏑ . — ⏑ ⏑ —. ⏑̄ — . ⏑ ⏑̄ .

Περὶ τοῦ ἑβδόμου κώλου.

Ἕβδομον ἐγκωμιολογικὸν κατάληξιν οὐκ ἔχον,
ἀλλ' ἀκατάληκτον ἐστί. θέσις ἰδού σοι κεῖται.

5 δακτυλικὸν πενθημιμερὲς ἰαμβικὸν πενθημιμερὲς

— ⏑ ⏑ . — ⏑ ⏑ — . — — . ⏑ — . — .

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον δακτυλικὸν καὶ πενθημιμερές γε,
ἐν δὲ τῷ πρώτῳ ἐπῳδῷ, ἐν τουτωὶ τῷ κώλῳ
ἡ "δᾶς" μακρὰ συναίρεσιν ἔπαθε τῶν βραχέων,
10 ἡ μία τοῦ δακτύλου γὰρ τῆς συλλαβῆς ἡ ἄλλη.

δάκτυλοι ⏑⏑̄

— ⏑ ⏑ — ⏑ ⏑ ——— :

Περὶ τοῦ ἐνάτου κώλου.

Ἔνατον Στησιχόρειον καὶ ἀκατάληκτόν γε
καὶ τρίμετρον συντίθεται ἐκ τριῶν ἐπιτρίτων.

15 ἐπίτριτοι

— ⏑ — — . — ⏑ — — . — ⏑ — — :

Περὶ τοῦ τετάρτου ἐπινικίου τῶν Ὀλυμπίων.

Τετάρτου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντίστροφός γε
ἐκ κώλων πεντεκαίδεκα συνίσταται τὸ σύμπαν.
ἡ ἐπῳδὸς δυώδεκα τὸ ὅλον σκευωρεῖται.
20 τὸ πρῶτον προσοδιακὸν καὶ ἀνακλώμενόν γε,
ἔτι δ' ὑπερκατάληκτον καὶ δίμετρον τυγχάνει.
τί δ' ἔστιν ἀνακλώμενον, ὡδί σοι καταλέξω.
ἐν μέτροις τοῖς ἰωνικοῖς τοῖς ἀπὸ ἐλασσόνων,
δευτέρου ὅτ' ἔχει ποδὸς βραχεῖαν τὴν ἐσχάτην,
25 ὡς γίνεσθαι παιωνικὴν τρίτην τὴν συζυγίαν,
μακρὰν δὲ καὶ τὴν ἐφεξῆς ὀφείλουσαν βραχεῖαν·
λέγω τὴν πρώτην συλλαβὴν τοῦ μέτρου τοῦ δευτέρου,
λέγεται κατ' ἀνάκλασιν τότε τὸ εἶδος τοῦτο.
ὁ χρόνος γὰρ ὁ τῆς μακρᾶς εἰς τὴν πρὸ τοῦ βραχεῖαν

Digitized by Google

πάσχει τὴν ἀντανάκλασιν καὶ σώζεται τὸ μέτρον·
κἀντεῦθεν κατ᾽ ἀνάκλασιν γίνονται καὶ τὰ μέλη,
τοῦ μελουργοῦ προσμένοντος τῷ τῆς βραχείας χρόνῳ,
τὴν δὲ μακρὰν ἐκτέμνοντος ὡς γίνεσθαι βραχεῖαν.
ὃ λέγω σοι τοιοῦτόν τι ὑπάρχει οὐκ ἀλλοῖον. 5

ἰωνικὸς ἀπ᾽ ἐλάσσονος παιὼν τρίτος ὀφείλει μακρά.

⏑ ⏑ — — — ⏑ — —

ἰωνικὸς ἀπ᾽ ἐλάσσονος ἢ ἐπίτριτος δεύτερος ὀφείλει βραχεῖα.
εν κώλῳ τοίνυν τουτωὶ, οὐκ ἐν δυσὶ τοῖς μέτροις,
ἀντανακλᾶται ἡ μακρὰ, ἀλλ᾽ ἐν ἑνὶ τῷ μέτρῳ· 10
πάσχει δὲ ἀντανάκλασιν οὐ μία ἀλλὰ δύο.
ἔφημεν προσοδιακὸν τότε τελεῖν εὐρύθμως,
ὅτ᾽ ἔχει τὸ ἰωνικὸν μείζονας τὰς προτάσεις.
οὐδὲ γὰρ ἀπ᾽ ἐλάσσονος ἐλέγομεν τὸ μέτρον.
ἂν δ᾽ εὕρηται τοιοῦτόν τι ὑπάρχον, ἀνακλᾶται· 15
τοίνυν ἀπὸ ἐλάσσονος ἰωνικοῦ κειμένου
ἀντανακλῶμεν τὰς μακρὰς εἰς τὰς πρὸ τοῦ βραχείας·
γίνεται δ᾽ οὕτως καθαρὸν τὸ τῶν προσόδων μέτρον.
ἀλλ᾽ ὅρα τὴν καταγραψὴν, ὅρα καὶ καταμέτρει.

ἰωνικὸς ἀπ᾽ ἐλάσσονος χορίαμβος συλλαβὴ 20

⏑ ⏑ — ⏑ — ⏑ ⏑ — —

Περὶ τοῦ δεττέρου κώλου.

Δεύτερον ἀναπαιστικὸν, ἀλλ᾽ ἀκαταληκτόν γε
δίμετρον τῷ καταγραφεῖ καλεῖται τὸ τοιοῦτον.
τοὺς δ᾽ ἀναπαίστους ἔφημεν μετρεῖσθαι συζυγίαις·
τέως δὲ συγχωρήσομεν, εὔθυνα γὰρ οὐ μία, 25
καλεῖσθαι δίμετρον αὐτὸ ἐν τῇ βραχυκωλίᾳ.

ἀνάπαιστος ἀδιάφορος ἡ τελευταία

⏑ ⏑ — ⏑ ⏑ —

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον ἰθυφαλλικὸν, πῶς καὶ ὁποῖον ἔφην,
τροχαϊκὸν καὶ δίμετρον βραχυκατάληκτόν γε. 30

Digitized by Google

λέγεται ἡμιόλιον παρὰ τοῖς ῥυθμικοῖς δέ·
τοῦ γὰρ τριμέτρου ἥμισυ τοῦτο σκοπῶν εὑρήσεις,
ὅλον μέτρον τροχαϊκὸν καὶ ἥμισυ γὰρ ἔχει.

τροχαῖος τροχαῖος τροχαῖος
— ◡ — ◡ — ◡

5 τὸν τρίτον πόδα μηδαμῶς σπονδεῖον καταρίθμει·
οὐ γάρ πω ἐν τροχαϊκοῖς σπονδεῖος κεῖται τρίτος.
εἰ δ' εὕρηται καὶ κείμενος ἐνταῦθα ἐν τῷ κώλῳ,
ποιεῖ ἡ ἀδιάφορος τοῦτό σοι οὐ τὸ μέτρον.

Περὶ τοῦ τετάρτου κώλου.

10 Τὸ τέταρτον ἰωνικὸν βραχυκατάληκτόν τε
καὶ τρίμετρον· ἡ πρώτη δὲ μακρὰ νῦν διαιρεῖται·
ὅτε σοι πεντασύλλαβον τὸ πρῶτον εἶναι μέτρον·
ἔστι δὲ ἀπὸ μείζονος, ὅρα δὲ καὶ τὴν θέσιν.

ἰωνικοὶ ἀπὸ μείζονος
◡ ◡ — ◡ ◡ . — — . ◡ ◡ . — —

Περὶ τοῦ πέμπτου κώλου.

15 Τὸ πέμπτον δὲ ἰωνικόν, ἀλλ' ἀκατάληκτόν γε
καὶ δίμετρον· τῶν ἀρχουσῶν οὐσῶν ἀδιαφόρων.
ὁ πρῶτος γὰρ ἰαμβικὸς τῆς πρώτης συζυγίας,
ὅπερ καὶ Ἡφαιστίων παρατετήρηταί πως·
20 παρατηρεῖν γὰρ ἄξιον ὁ ῥυθμόγραφος λέγει,
ὅτι τὴν ἄρχουσαν αὐτὴν ποιοῦσιν ἐκ βραχείας·
ὁ πρῶτος τῆς δευτέρας δὲ τροχαῖός ἐστι πάλιν.
ἀλλ' οὗτος ἐν ἰωνικοῖς οἰκεῖός σοι τυγχάνει.
τῆς σαφηνείας ἕνεκα ἰδού σοι καὶ ἡ θέσις.

25 ἰωνικὰ
◡ — ◡ ◡ . — ◡ — — .

τὸ πρῶτον δ' ἀπὸ μείζονος, τ' ἄλλο ἐξ ἐλασσόνων.

Digitized by Google

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον δὲ ἰωνικὸν ἀλλ' ἀπὸ τῶν μειζόνων,
ἔτι βραχυκατάληκτον ὡς τρίμετρον ὑπάρχον.

ἰωνικὰ

– – ⏑⏑ · – – ⏑⏑ · – – ·

Περὶ τοῦ ἑβδόμου κώλου.

Ἕβδομον λογαοιδικὸν ἐξ ἀναπαιστικῶν δε
εὕρηται λογαοιδικὸν πάλιν ἐν τοῖς δακτύλοις·
πλὴν μάνθανε διαφορὰν τῶν λογαοιδικῶν γε
ἐν τοῖς δακτύλοις δάκτυλοι, ὁ δ' ὕστερος τροχαῖος
κείμενοι κατεργάζονται τὸ λογαοιδικόν σοι·
ὅθεν στίχοι ἡρωϊκοὶ λήγοντες εἰς τροχαῖον,
τῶν ἄλλων ὄντων δακτύλων ἢ καί που καὶ σπονδείου,
καλοῖντο λογαοιδικοί[25]. λέγονται δ' οὕτως ὅτι
ἐκ τῶν δακτύλων σύγκεινται· ἐσχάτου τοῦ τροχαίου·
δάκτυλος δ' ἐπιτήδειος τοῖς ἀοιδοῖς τυγχάνει,
τροχαῖος ἐπιτήδειος τοῖς λογογράφοις ἐστιν·
ἐκ τούτων δὲ καὶ τ' οὔνομα συντίθεται τῷ μέτρῳ,
τουτέστι λογαοιδικὸν, ἀλλὰ δακτυλικόν τε
ἔστι καὶ ἀναπαιστικὸν ἐξ ἀναπαίστων πάλιν
ἢ καὶ σπονδείων ἔστιν οὗ, οἰκεῖοι γὰρ τῷ μέτρῳ·
τοῦ τελευταίου ὄντος δὲ ὥσπερ ἐκεῖ τροχαίου
ἐν μέτροις τοῖς δακτυλικοῖς, ἐνταυθαδὶ βακχείου,
ὅν φησιν ὁ καταγραφεὺς ἴαμβον συλλαβάς τε·
ἐνταῦθα τοίνυν μάνθανε ἐξ ἀναπαίστων τοῦτο·
σπονδεῖοι πάλιν δέ εἰσιν οἰκεῖοι ἀναπαίστοις.

σπονδεῖοι βακχεῖος

– – · – – · – – · · ⏑ – – ·

Περὶ τοῦ ὀγδόου κώλου.

Ὄγδοον Φερεκράτειον λειπούσης τῆς ἐσχάτης·
τὸ μέτρον τοῦτο προφανῶς εὑρόντος Φερεκράτους

[25] καλοῖν τὸ λογαοδικὸν Cod. B.

Digitized by Google

ἐξ ἀντισπάστων μάνθανε πλὴν καταληκτικά γε·
ἐπεὶ δ' ὁ πούς γε τρέπεται πρῶτος τοῦ ἀναπαίστου,
ἐξ ἐπιτρίτων γίνωσκε γίνεται τῶν τετάρτων·
ὥστε σπονδεῖος γίνεται ὁ πρῶτος ἀντισπάστου·
γίνεται καὶ διτρόχαιος, ὁ ποὺς γὰρ παραλλάττει·
ὧδε βραχυκατάληκτον ὑπάρχει δὲ τὸ μέτρον,
μιᾶς λειπούσης συλλαβῆς πρὸς τὸ τοῦ Φερεκράτους·

διτρόχαιος — ⏑ — ⏑ βραχυκατάληκτον ⏑ —

Περὶ τοῦ ἑνάτου κώλου[26].

Τὸ ἔνατον ἰαμβικὸν ἀλλ' ἐφθημιμερές τε,
ἥμισυ δὲ πρὸς τοῖς τρισὶν ἰάμβοις εἴπαμέν σοι.

ἴαμβοι ⏑ — · ⏑ — · ⏑ — · — ·

Περὶ τοῦ δεκάτου κώλου.

Δέκατον ἐπιωνικὸν βραχυκαταληκτόν τε,
ὡς τρίμετρον πληροῦσθαί σοι πλὴν ἐξ ἰαμβικῆς γε·
ἀνοίκειος ἰαμβικὴ ἰωνικοῖς δ' ὑπάρχει,
ὅθεν καὶ ἐπιωνικὸν ἀλλ' ἐκ τῶν ἐλαττόνων.
ἔχει δὲ καὶ τὴν ἔναρξιν ἀπὸ τροχαίου τοῦτο,
ὄντος αὐτοῦ ἰωνικοῖς οἰκείου τοῦ τροχαίου.

ἰαμβικὴ συζυγία — — · ⏑ — · ἰωνικὰ ἀπ' ἐλάσσονος — ⏑ — — · ⏑ ⏑ —

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ἑνδέκατον τροχαϊκόν, ποδῶν διαλυθέντων
δίμετρον ἀκατάληκτον ὑπάρχει δὲ τὸ κῶλον.
ἡ τῆς στροφῆς καταγραφὴ οὕτως ἐστὶ τοῦ κώλου.

τροχαῖοι — ⏑ ⏑ ⏑ · ⏑ ⏑ ⏑ · — ⏑ · ⏑ ⏑ ⏑ · — ⏑ ·

τῆς δ' ἀντιστρόφου πάλιν δὲ οὕτως ἐστὶν ἡ θέσις.

[26] In Cod. B. nonum et decimum colon transposita sunt.

Digitized by Google

τροχαῖος δάκτυλος τροχαῖος τρίβραχυς
— ⏑ — ⏑ ⏑ — ⏑ ⏑ ⏑ ⏑

οὐδὲν δὲ διαφέρουσι, τροχαίου γὰρ τὰ μέτρα.

Περὶ τοῦ δωδεκάτου κώλου.

Δωδέκατον ἰωνικὸν ὑπερκαταληκτόν τε,
τὸ πρῶτον ἐξ ἐλάττονος, ἐκ μείζονος τὸ ἄλλο, 5
καὶ δίμετρον ὑπάρχει δέ· ἀλλ' ὅρα καὶ τὴν θέσιν.

ἰωνικὰ συλλαβὴ
⏑ ⏑ — — · — ⏑ ⏑ — ⏑ ⏑

Περὶ τοῦ τρισκαιδεκάτου κώλου.

Τὸ τρισκαιδέκατον βραχυκατάληκτόν τι
ἰωνικὸν ὡς δίμετρον τὸ ὅλον γίνεσθαί σοι[27]. 10
τὸ ο βραχὺ αὐξάνοντος ἐν τῇ στροφῇ τοῦ λ.

ἰωνικὰ
— — ⏑ ⏑ · — — ·

ἐν δέ γε τῇ ἀντιστροφῇ γίνεταί τι καὶ ξένον,
εἴπως οὐ διαιρήσετε μοι τὸ "ψεύδει" εἰς τὸ "δεῖ·"
οὕτως γὰρ φυλαχθήσεται ἀκέραιον τὸ μέτρον, 15
εἰ ἦσαν ἀπ' ἐλάσσονος ταῦτα ἰωνικὰ γάρ,
οὐδ' ὅλως τι ἐκώλυε καὶ τρίμετρον λαμβάνειν,
λεγόμενον καὶ περιττὸν ἐν περιττῇ τῇ χώρᾳ·
ἐπεὶ δὲ ἀπὸ μείζονος, χωρῶν ἐπὶ ἀρτίων
ἐμπίπτουσιν οἱ μολοττοὶ δευτέρας καὶ τετάρτης, 20
ἐν δὲ τοῖς ἀπ' ἐλάσσονος, χώροις ἐν ταῖς ἀρτίαις
οὐ πίπτουσιν οἱ μολοττοὶ, ἐν περιτταῖς δὲ κεῖνται.

Περὶ τοῦ τεσσαρεσκαιδεκάτου κώλου.

Τὸ τεσσαρεσκαιδέκατον ἰωνικὸν τυγχάνει·
ἔστι καὶ καταληκτικὸν κατάκλειδι τροχαίῳ[28] 25

27 Schol. Cod. B. τοῦτο καὶ ἀναπαιστικόν ἐστιν πενθημιμερές.
28 Schol. Cod. B. τοῦτο καὶ [illegible] ικόν ἐστι δίμετρον βραχυκατάληκτον τοῦ δευτέρου ποδὸς ἀναπαίστου — — · ⏑ — · ⏑ — :

Digitized by Google

ὁ πρῶτος ποὺς ἰαμβικὸς ἀλλ' ἐν τῇ ἀντιστρόφῳ.

ἰωνικὰ

⏑̲ — ⏑ ⏑ · — ⏑ — ·
⏑ ⏑

Περὶ τοῦ πεντεκαιδεκάτου κώλου.

Τὸ δὲ πεντεκαιδέκατον ἰαμβικὸν ὑπάρχει,
ἔστι δὲ πενθημιμερὲς, ἀλλ' ὅρα καὶ τὴν θέσιν.

ἰαμβικὰ

⏑ — · ⏑ — · ⏑ ·

Περὶ τῆς ἐπωιδοῦ.

Ἡ ἐπῳδὸς δὲ δώδεκα τοῖς κώλοις σκευωρεῖται·
τὸ πρῶτον μὲν ἰωνικὸν, ἀλλ' ἀπὸ τῶν μειζόνων·
ὁ δευτέρος δὲ σύγκειται τροχαίοις ἀναλόγως·
δίμετρον δὲ τυγχάνει σοι καὶ ἀκατάληκτόν γε.

ἰωνικὸς διτρόχαιος

— — ⏑ ⏑ · — ⏑ — ⏑ ·

Περὶ τοῦ δεύτερου κώλου.

Τὸ δεύτερον χοριαμβικὸν καὶ καταληκτικόν γε
ἰαμβικῇ κατάκλειδι δ' οἰκείᾳ περαιοῦται.

χορίαμβος ἴαμβος συλλαβὴ

— ⏑ ⏑ — ⏑ — —

διάτοι τοῦτο λέγονται ἀσχέτως ὡς ἂν εἴποις
τὰ τρία ἡμιόλιον ἐπίτριτον τὰ πλείω.
ὅρα δὲ τὴν καταγραφὴν, ὡς μάθοις τίς ὁ λόγος,

τροχαϊκὰ

⏑ ⏑ — · ⏑ ⏑ ⏑ · — ⏑ · ⏑̲ — —

Περὶ τοῦ δωδεκάτου κώλου.

Δωδέκατον ἰαμβικὸν βραχυκατάληκτόν τε,
ὡς δίμετρον τελεῖσθαί σοι· ὅρα δὲ καὶ τὴν θέσιν.

ἰαμβικὰ

⏑ — · ⏑ — · ⏑ —

Digitized by Google

Περὶ τοῦ πέμπτου ἐπινικίου τῶν Ὀλυμπίων.

Τὸ πέμπτον οὐκ ἐπῳδικὸν, στροφὴν δ' ἀντίστροφόν τε
ἔχει ὁμοίαις ἐν ἁπλαῖς πάσαις ταῖς περιόδοις[30].
στροφὴ τὸ τρίτον πάλιν δὲ κώλοις τισὶν ὁμοίοις·
ἡ τρίτη γὰρ περικοπὴ, οὐκ ἔστιν ἐπῳδός τις, 5
ἀνόμοιον γὰρ ὤφειλεν, εἰ ἐπῳδὸς ὑπῆρχεν,
στροφῇ τῇ ἀντιστρόφῳ τε πολλάκις σοι ὡς ἔφην·
τρεῖς δέ εἰσι περικοπαὶ ὅμοιαι πᾶσαι αὗται
κώλοις ἐννεακαίδεκα ἑκάστη συγκειμένη·
ἀλλά τις ἀπορήσειε τῶν ἐχεφρόνων τοῦτο, 10
ἐχέφρων γὰρ καὶ συνετὸς, ὅτι καὶ πρωτοπάτωρ
τῆς εὐπορίας γίνεται πατὴρ τῆς ἀπορίας·
παρόσον μήτηρ πέφυκε τῆς εὐπορίας πάλιν
ἡ ἀπορία, ὥς φησι σοφὸς ὁ Σταγειρόθεν.

Περὶ τοῦ τρίτου κώλου. 15

Τὸ τρίτον ἀκατάληκτον ἰαμβικὸν τυγχάνει,
ὡς δίμετρον πληροῦσθαί σοι. καὶ σκόπει μοι τὴν θέσιν.

ἴαμβος	τρίβραχυς	συλλαβὴ
⏑ – · ⏑ – ·	⏑ ⏑ ⏑ ·	– :

Περὶ τοῦ τετάρτου κώλου.

Τέταρτον προσοδιακὸν, ἀλλὰ τοῖς κεφαλαίοις[31] 20
συνηρημένόν ἐστί σοι· ὧδί δὲ καὶ ἡ θέσις.

ἰωνικὸν συνηρημένον	χορίαμβος	ἰωνικὸν
⏑⏑ · – – ⏑ ⏑	– ⏑ ⏑ –	– ⏑⏑

τρεῖς ἐφεξῆς εὑρίσκονται πρώτως μακραὶ ἐν τούτῳ·
ἰωνικὸν δὲ γίνεται τῆς πρώτης λελυμένης·
μακρὰν δὲ τοῦ ἰωνικοῦ λέγω τὴν τελευταίαν. 25

30 Sch. Cod. B. ἐμοὶ δοκεῖ ὡς ἐπῳδικόν ἐστι καὶ τοῦτο τὸ ᾆσμα, καὶ τριάς ἐστιν ἐπῳδικὴ εἰ καὶ ἡ ἐπῳδὸς οὐκ ἔστιν ἀνόμοιος, ἀλλ' ὅμοιος.

31 Schol. Cod. B. καὶ τοῦτο οὐ καλῶς ἔχει· ἐκ γὰρ ἰωνικοῦ χοριάμβου καὶ συλλαβῆς σύγκειται τὸ κῶλον – – ⏑ ⏑ · – ⏑ ⏑ – · ⏑ ·

Digitized by Google

ἔχει καὶ ὁ χορίαμβος ἐν τῇ οἰκείᾳ θέσει·
πάλιν δὲ τὴν ἐσχάτην γε μακρὰν τοῦ χοριάμβου
ἀρχὴν τοῦ ἀπὸ μείζονος ἰωνικὸν λαμβάνει·
οὕτως δ' ὑπερκατάληκτον τὸ μέτρον γίνεταί σοι.

5 Περὶ τοῦ πέμπτου κώλου.

Ἔστιν ἐπιχοριαμβικὸν τὸ πέμπτον δίμετρόν τε·
ἀπὸ τροχαίων δ' ἄρχεται ἐχθρῶν τῷ χορίαμβῳ.
ἔστι δ' ὑπερκατάληκτον· τρίβραχυς ποὺς ὁ πρῶτος.

τροχαϊκὰ χορίαμβος συλλαβὴ
⏑ ⏑ ⏑ . — ⏑ . — ⏑ ⏑ — . — :

10 Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον δὲ ἰαμβικὸν βραχυκατάληκτόν τε·
ὡς γίνεσθαι καὶ δίμετρον· ὁ δεύτερος χορεῖος.

ἴαμβος χορεῖος ἴαμβος
— ⏑ ⏑ ⏑ ⏑ —

Περὶ τοῦ ἑβδόμου κώλου.

15 Τὸ ἕβδομον δακτυλικὸν καὶ καταληκτικόν γε·
ὡς γίνεσθαί σοι τρίμετρον· καὶ ἄλλως δὲ μετρεῖται·
λέγεται προσοδιακὸν ἐκ πρώτου χοριάμβου.
οὗτοι δ' οἱ χρόνοι μένουσιν ἀκατακίνητοί σοι.

χορίαμβοι
— ⏑ ⏑ . — . ⏑ ⏑ . — ⏑ :

20 Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον περίοδος ἴαμβοι καὶ τροχαῖοι,
ὡς ἐν τῷ πρώτῳ εἴπομεν κώλῳ δευτέρου εἴδους.

διίαμβος διτρόχαιος
⏑ — ⏑ — · — ⏑ — ⏑

Περὶ τοῦ ἐνάτου κώλου.

25 Τὸ ἔνατον περίοδος· τροχαϊκὸν δ' ὑπάρχει
καὶ ἐξ ἴαμβου ἄρχεται καὶ καταληκτικον γε[32]·

ἴαμβος τροχαῖοι συλλαβὴ
⏑ — — ⏑ . — ⏑ —

32 Schol. Cod. B. Τροχαϊκόν ἐστι τοῦτο ἴαμβου ἀρχομένου· δέχεται γὰρ καὶ ἴαμβον τὸ μέτρον τοῦτο.

Digitized by Google

Περὶ τοῦ δεκάτου κώλου.

Τὸ δέκατον ἰαμβικὸν βραχυκατάληκτόν τε,
ὡς δίμετρον πληροῦσθαί σοι· ἀνάπαιστος ὁ τρίτος[33].

ἰαμβικὰ

⏑ – . ⏑⏑⏑⏑ ⏑̲ – :

Περὶ ἑνδεκάτου κώλου.

Ἑνδέκατον τροχαϊκὸν ποδῶν ἐκλυομένων,
τοῦ πρώτου τοῦ δευτέρου τε, καὶ δίμετρόν ἐστί σοι.
τροχαῖοι τέσσαρες εἰσὶν· ἐπίτριτον καλεῖται,
ὡς ἔχον δὲ τὸν τέσσαρα ἐπίτριτον καλοῦσιν.
πρὸς γὰρ τὸν τρία[34], οὗτος γὰρ ἐν σχέσει οὐκ ἀσχέτως·
πᾶσι τοῖς ἀριθμητικοῖς δ' ἐπίτριτος καλεῖται.
ἔχει τὸν τρία ὅλον γὰρ, καὶ τρίτον τὸ ἓν τούτου.
ἀλλ' ἀπορήσει τις καλῶς, πῶς μὴ κειμένου τρία
ὡς ἂν σχέσις ἐμφαίνοιτο, ἐπίτριτον καλοῦσιν.
ἐγώ σοι δ' ἀποκρίνομαι ὡς σύντομον τὴν λύσιν·
ἔστιν ὁ τρία ἔσωθεν πρὸς ὃν ἐστὶν ἡ σχέσις·
οὐκ ἀριθμοῦν τέσσαρα, μὴ ὄντος γὰρ τοῦ τρία,
οἱ τοίνυν ἀριθμητικοὶ ὅλως ἀδολεσχοῦσιν
ἐν ἀσωμάτοις ἀριθμοῖς· ἔστι μαθεῖν δ' ἐκ τούτων
ὕλη τῆς ἀριθμητικῆς ποσὸν διωρισμένον.
οὐχ ὥσπερ ὑποκείμενον πάντως ὑπάρχον τοῦτο,
συμβεβηκὸς γὰρ τὸ ποσὸν ἀνύπαρκτον τελέθει·
ἴσχει τοίνυν ἐπ' ἀριθμοῦ ἕδραν ἡ ἐπιστήμη·
γινώσκει τρία καθ' αὑτὰ καὶ τέσσαρα καὶ δέκα
καὶ εἴκοσι καὶ ἕκατον μυριοστύας ὅλας·
ἀρίθμησιν οὐκ οἶδε δὲ ἐν τούτοις ἐκ μονάδος·
ἅπαξ ταύτην ἐγνώρισεν· ἀρκεῖται γοῦν τῷ ἅπαξ.
ὅταν τοίνυν φιλοσοφῇ περὶ τεσσάρων ὅλως,
οὐκ οἶδέ τι τρία εἰσὶ, τὰ δύο οὐ γινώσκει·
ὅθεν καὶ τούτων γίνονται αἱ σχέσεις παρὰ τούτοις,

33 οὐδὲ τοῦτο ἔχει καλῶς· ἀλλ' ὡς ἐμοὶ δοκεῖ προσοδιακόν ἐστι δίμετρον ἀκατάληκτον ἐκ διτροχαίου διαλελυμένου· ἢ μᾶλλον ἐπιτρίτου καὶ χορίαμβου.
⏑ ⏑ – – ⏑ . – ⏑ ⏑ – :

Digitized by Google

κειμένων ἀμφοτέρων τριάδος καὶ τετράδος.
ἐνταῦθα δ' εἰ καὶ ὁ ῥυθμὸς ἀπόλλυται τῷ φθόγγῳ·
ἀλλ' οὖν ἀπολελαύκει σου ἡ αἴσθησις τῶν κώλων.
τοίνυν διαπορήσειε πῶς στροφὴ ἀντιστρόφῳ
5 ἡ ἐπῳδὸς ἀνόμοιος οὐκ ἄνισος καλεῖται·
ἐξηπορήθη λύσεως, πολλοῦ γε δεῖ καὶ λέγειν.
ἔστιν εἰπεῖν τοῖς πρὸς αὐτὸν, ὡς οὐκ εἰσὶ τὰ κῶλα
ἀλλήλοις ἴσα τὰ αὐτὰ ὁ δισύλλαβος ὁ πούς σοι,
ἐν ἄλλοις δὲ τρισύλλαβος ταυτὸν χρόνον φυλάσσων,
10 καὶ πάλιν τετρασύλλαβος τοῦ χρόνου τηρουμένου
ὁ τέως σοι τρισύλλαβος ἐν ἄλλοις ὢν τοῖς κώλοις·
ἐπεὶ τὸ ἴσον δ' ἐν πόσοις λέγεται φιλοσόφοις
τὸ δ' ὅμοιον ἐν τοῖς ποιοῖς, εἰκότως καὶ ἐνταῦθα
τῇ ἀντιστρόφῳ ἡ στροφὴ ὅμοιόν τι καλεῖται,
15 οἷα τοὺς χρόνους τοὺς αὐτοὺς οὐ συλλαβὰς πλουτοῦσα.
τοῖς φιλοσόφοις δὲ ἐπεὶ ἀξίωμα ἐστί τι,
ὅπου τὸ ἐναντίον γε ἐκεῖ τὸ ἐναντίον
πρὸς πρός τι ἀναφέρεται ὁ φίλος καὶ δεσπότης,
πρὸς πρός τι δὲ καὶ ὁ ἐχθρὸς, καὶ ὁ υἱὸς πρὸς πρός τι·
20 πρὸς τὸ ποιὸν τὸ ὅμοιον καὶ τὸ ἀνόμοιόν γε·
ἡ ἐπῳδὸς εἰκότως σοι ἀνόμοιος καλεῖται,
ἔχοντος τὴν ἀναφορὰν τοῦ λόγου πρὸς τοὺς χρόνους.
πολλάκις γὰρ ἡ ἐπῳδὸς ἰσόκωλος στροφῇ τε
καὶ ἀντιστρόφῳ πέφυκε· τὸ μέτρον δ' ἔστιν ἄλλο.
25 ἀλλὰ προσέξομεν τὸν νοῦν τοῖς κώλοις καὶ τοῖς μέτροις.

Περὶ τοῦ πρώτου κώλου.

Τὸ πρῶτον μὲν δακτυλικὸν καὶ καταληκτικόν γε
καὶ τρίμετρον καθέστηκεν, εἰ καὶ σπονδείους ἔχει.

δακτυλικὰ

— — — ⏑ ⏑ . — — :

30 Περὶ τοῦ δευτέρου κώλου.

Τὸ δεύτερον ἰωνικὸν ἀλλ' ἀπ' ἐλάσσονός σοι,
ἡ πρώτη συζυγία δε τρίτος παιὼν τυγχάνει·

Digitized by Google

οἷα πολλὰ συμβαίνουσιν ἰωνικοῖς τοιοῖς δε.
δευτέρου γὰρ δὴ τοῦ ποδὸς τροχαίου γεγονότος,
παιὼν παρρησιάζεται ὁ τρίτος ὡς ἐν τούτῳ·
ὁ δεύτερος δ' ἰωνικὸς ἐστὶν ἀπὸ μειζόνων.

τρίτος παιὼν ⏑ ⏑ — ⏑ . ἰωνικὸς ἀπὸ μείζονος — — ⏑ ⏑ . 5

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον ἰθυφαλλικὸν τῆς συλλαβῆς δεούσης[35].
δύο τροχαῖοι γάρ ἐστι καὶ συλλαβὴ πρὸς τούτοις.

διτρόχαιος — — — ⏑ συλλαβὴ ⏑̲

Περὶ τοῦ τετάρτου κώλου. 10

Τὸ τέταρτον δακτυλικὸν καὶ πενθημιμερός γε.

δάκτυλοι — ⏑ ⏑ · — ⏑ ⏑ · συλλαβὴ ⏑̲

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον ἰθυφαλλικὸν τρεῖς ἐφεξῆς τροχαῖοι·
ὅπερ καὶ ἡμιόλιον ἐλέγομεν τοῖς ἄνω. 15

τροχαῖοι — ⏑ . — ⏑ . — ⏑̲ .

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον ἀναπαιστικὸν ἐξ ἀναπαίστων δύο
καὶ τρίτου τοῦ βακχείου τε οἰκείου ἀναπαίστοις·
ὡς περιέχοντος αὐτὰ τὰ ἀναπαιστικά γε· 20
καὶ τοῦτο λογαοιδικὸν τὸ μέτρον καθιστῶντος,
καὶ ἐφεξῆς ἀνάπαιστος πλὴν καταληκτικός τις.

ἀνάπαιστοι ⏑ ⏑ — . βακχεῖος ⏑⏑—.⏑—— . ἀνάπαιστος ⏑ ⏑̲ .

Περὶ τοῦ ἑβδόμου κώλου.

Ἕβδομον ἰθυφαλλικὸν τριττὸς τροχαῖος δῆλον· 25

τροχαῖοι — ⏑ . — ⏑ . — ⏑̲ .

35 Schol. Cod. 13. ἐμοὶ δοκεῖ ἀντισπαστικόν ἐστι πενθημιμερὲς ἐξ ἐπιτρίτου τετάρτου καὶ συλλαβῆς.

Digitized by Google

εἰ δ' ἡ ἐσχάτη πέφυκε μακρὰ, ὡς τέλος κεῖται,
σπονδεῖον γὰρ εἰρήκαμεν μὴ ἔχειν τρίτον πόδα.

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον Φερεκράτειον δῆλον ἐξ ἀντισπάστου[36]
ἴαμβου καὶ τῆς συλλαβῆς· ἐπεὶ δὲ τρέπεταί σοι
πόδα κατὰ τὸν πρότερον ἀντίσπαστος ὡς ἔχεις
εὕρηται ἀλλὰ τέταρτος ἐπίτριτος ἐνταῦθα[37].

ἐπίτριτος τέταρτος ἴαμβος συλλαβὴ
— — — ◡ . ◡ — . — :

Περὶ τοῦ ἐνάτου κώλου.

Τὸ ἔνατον σπονδειακὸν, ἀλλ' ἀπὸ ἐλασσόνων,
ὁ δεύτερος χορίαμβος· ἔστι γὰρ δίμετρόν τι·
πολλάκις δ' ὁ χορίαμβος τρέπεται εἰς σπονδεῖον,
λέγω σοι πρὸς ἰαμβικὴν ὅλην τὴν συζυγίαν.

ἰωνικὸν χορίαμβος
◡ ◡ — — — ◡ ◡ —

Περὶ τοῦ δεκάτου κώλου.

Τὸ δέκατον δακτυλικὸν ἀλλ' ἀκατάληκτόν γε
καὶ δίμετρον· σπονδεῖος δὲ ῥυθμίζεται ὁ πρῶτος.

σπονδεῖος δάκτυλος
— — — ◡ ◡

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ἑνδέκατον δακτυλικὸν καὶ πενθημιμερές γε.

δάκτυλοι συλλαβὴ
— ◡ ◡ . — ◡ ◡ . —

Περὶ τοῦ δωδεκάτου κώλου.

Δωδέκατον ἰθυφαλλικὸν δῆλον τρεῖς τροχαῖοι·
τὸν ὕστερον τροχαῖον λάμβανέ μοι σπονδεῖον.

τροχαϊκὰ
— ◡ . — ◡ . — ◡ — :

36 Sch. Cod. B. μέχρι τούτου ἐστὶ τὰ κῶλα τῆς στροφῆς καὶ ἀντιστρόφου. τὰ ἑξῆς περισσὰ, ὅμοια γὰρ εἰσίν.

37 Τοῦτο καὶ δακτυλικόν ἐστι τρίμετρον. — — . — ◡ ◡ . — — .

Digitized by Google

Περὶ τοῦ τρισκαιδεκάτου κώλου.

Τὸ τρισκαιδέκατον ἐστὶν ὅμοιον δὴ τῷ ἕκτῳ·
ἀνάπαιστοι βακχεῖός τε καὶ ἴαμβος πρὸς τούτοις.

ἀνάπαιστοι βακχεῖος ἴαμβος
⏑ ⏑ – . ⏑⏑–.⏑––. ⏑–.

Περὶ τοῦ τεσσαρεσκαιδεκάτου κώλου. 5

Τὸ τεσσαρεσκαιδέκατον ἰθύφαλλος περαίνει·
τὸν ὕστερον τροχαῖον δὲ λάμβανέ μοι σπονδεῖον.

τροχαϊκὰ
– ⏑ . – ⏑ . – ⏑ :

Περὶ τοῦ πεντεκαιδεκάτου κώλου.

Καὶ τὸ πεντεκαιδέκατον δίμοιρον ἔπους ἔστι[38]. 10
πρὸς γὰρ τὰ ἓξ τὰ δ' δίμοιρον ἔστιν ὅλου.
ἑξάμετρον ἡρωϊκὸν τὸ μέγιστον τυγχάνει.

δακτυλικὰ τέσσαρα
– –. – ⏑ ⏑ . – ⏑ ⏑ . – ⏑ ⏑ .

Περὶ τοῦ ἑκκαιδεκάτου κώλου.

Τὸ ἑκκαιδέκατον ἐστὶ τῷ ἰθυφάλλῳ μέτρῳ. 15

τροχαῖοι
– ⏑ . – ⏑ . – ⏑ .

Περὶ τοῦ ἑπτακαιδεκάτου κώλου.

Τὸ δέ γε ἑπτακαιδέκατον δίμοιρόν ἐστιν ἔπους.

δακτυλικὰ τέσσαρα
– –. – –. – ⏑ ⏑. – ⏑ ⏑

Περὶ τοῦ ὀκτωκαιδεκάτου κώλου. 20

Τὸ ὀκτωκαιδέκατον ἐγκωμιολογικόν γε·
παράγε δὲ τὰς συλλαβὰς τὰς τελευταίας μέτρει.
εἰσὶ γὰρ δύο δάκτυλοι σὺν τοῖς δυσὶν ἴαμβοις.

δάκτυλος ἴαμβοι δάκτυλος
– ⏑ ⏑ . ––.⏑–. – ⏑ ⏑ .

38 Schol. Cod. B. ἐντεῦθεν ἄρχονται τὰ κῶλα τῆς ἐπῳδοῦ.

Digitized by Google

Περὶ τοῦ ἐννεακαιδεκάτου κώλου.

Τὸ ἐννεακαιδέκατον ἰθύφαλλος μετρείτω.
εἰσὶ γὰρ ἐν τοῖς ἐφεξῆς τρεῖς τὸ σύμπαν τροχαῖοι.

τροχαῖοι
— ⏑ . — ⏑ . — ⏑ :

Περὶ τοῦ ἕκτου ἐπινικίου τῶν Ὀλυμπίων.

Τοῦ ἕκτου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντίστροφός γε
ἐκ κώλων πάντων ἕνδεκα Πινδάρῳ συνετέθη·
κώλων τεσσαρεσκαίδεκα ἡ ἐπῳδὸς τυγχάνει.
δίμετρον ἀκατάληκτον ἰαμβικὸν τὸ πρῶτον·
ἀμφίμακρος τὸ πρῶτον δε τοῦ πρώτου κώλου ἔστι.

σπονδεῖος κατὰ συνίζησιν ἰαμβικὰ
— ⏑ — · ⏑ — · — — · ⏑ — :

Περὶ τοῦ δευτέρου κώλου.

Δεύτερον προσοδιακὸν, ἀλλ' ἀκατάληκτόν γε
καὶ δίμετρον· ἰωνικοῦ τοῦ ἀπὸ μείζονός γαρ.

ἰωνικὸς χορίαμβος
— — ⏑ ⏑ · — ⏑ ⏑ —

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τριτὸν προσοδιακὸν καὶ τρίμετρον ὑπάρχει·
χορίαμβος, ἰωνικὸς, χορίαμβος ὁ τρίτος
παρατηρεῖ καὶ τὰς κοινὰς ἐν πρώτῳ χοριάμβῳ.
ἐν τῷ "Σωστράτου" ἔστι γὰρ τὸ τοῦ ἀντὶ βραχείας
βραχὺ τοῦ "ἐνθά οἱ" τὸ οἱ· λήγει γὰρ εἰς φωνῆεν.

χορίαμβος ἰωνικὸς χορίαμβος
— ⏑ ⏑ — . — ⏑ ⏑ — — · — ⏑ ⏑ — ·

Περὶ τοῦ τετάρτου κώλου.

Καὶ ἐγκωμιολογικὸν τὸ τέταρτον διδάσκου·
ὁλόκληρον μηδόλως σοι λειπούσης συλλαβῆς δὲ.

δακτυλικὰ ἰαμβικὰ
— ⏑ ⏑ . — ⏑ ⏑ . — . — — . ⏑ — . —

39 Schol. τοῦτο χοριαμβικόν ἐστι τρίμετρον βραχυκατάληκτον,
— ⏑ ⏑ — · — ⏑ — — · ⏑ ⏑ ·

Digitized by Google

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον Εὐριπίδειον, ληκύθιον ὡς θέλεις·
περὶ γὰρ τούτου εἴπομεν τοῖς ἀνωτάτω τόποις.
ἔστι δὲ ἐφθημιμερὲς τροχαϊκὸν τὸ σύμπαν.

τροχαϊκὰ

— ⏑ · — — · — ⏑ . — :

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον προσοδιακὸν ὑπερκατάληκτόν τε
καὶ δίμετρον· ἰωνικοῦ τοῦ ἀπὸ μείζονός γε.[40]

ἰωνικὸς χορίαμβος συλλαβὴ

— — ⏑ ⏑ — ⏑ ⏑ — · —

Περὶ τοῦ ἑβδόμου κώλου.

Τὸ ἕβδομον ἰαμβέλεγος ἐκ τῶν ἀσυναρτήτων,
τῶν ἐγκωμιολογικῶν ἀντίπαλος ὑπάρχων.
ἔστι γὰρ πενθημιμερὲς τὸ πρῶτον ἐξ ἰάμβων,
τὸ δεύτερον δακτυλικόν, εἴπομεν περὶ τούτου.

ἰαμβικὰ

— — · ⏑ — · — — · ⏑ — · ⏑ — · ⏑ —

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον ἰαμβικόν, δίμετρον δ' ἔστι στίχος.

ἰαμβικὰ

⏑ — · ⏑ — · — — · ⏑ — · ⏑ — · ⏑ —

Περὶ τοῦ ἐννάτου κώλου.

Τὸ ἔνατον δὲ ὅμοιον τούτου τῷ ἕκτῳ πέλει·[41]
δηλαδὴ προσοδιακὸν ὑπερκατάληκτόν τε.

ἰωνικὸς χορίαμβος συλλαβὴ

— — ⏑ ⏑ · — ⏑ ⏑ — · —

κοινὴ τοῦ φύγοι δὲ τὸ γοι,[42] μή σε δὴ ταραττέτω.

40 Τοῦτο καὶ ἀναπαιστικόν ἐστιν ἐφθημιμερὲς σπονδείου ἀρχομένου,
— — · ⏑ ⏑ — · ⏑ ⏑ — · — :

41 Τοῦτο καὶ ἀναπαίστικόν ἐστιν ἐφθημιμερὲς σπονδείου ἀρχομένου,
— — · ⏑ — — · ⏑ ⏑ — · — :

42 ὀι γη Cod. B.

Digitized by Google

Περὶ τοῦ δεκάτου κώλου.

Καὶ ἐγκωμιολογικὸν τὸ δέκατόν σοι λέγω,[43]
λειπούσης δὲ τῆς συλλαβῆς μιᾶς τῆς καὶ ἐσχάτης.

δακτυλικὰ ἰαμβικὰ
— ⏑ ⏑ · — ⏑ ⏑ · — · — — · ⏑ — ·

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ἑνδέκατον ἰαμβικὸν ὑπερκατάληκτόν τε
καὶ δίμετρον καθέστηκεν, ὅρα δὲ καὶ τὴν θέσιν.

ἰαμβικὰ
— — · ⏑ — · — — · ⏑ — · — :

Περὶ τῆς ἐπωιδοῦ.

Ἰδού σοι καὶ τὴν ἐπῳδὸν ἐκτίθεμεν ὡς ἔθος,
πρῶτον ἐγκωμιολογικὸν περὶ τὴν ἐσχάτην,
δευτέρου πενθημιμεροῦς ἰαμβικοῦ, ἀλλ' ὅρα.

δακτυλικὰ ἰαμβικὰ
— ⏑ ⏑ · — ⏑ ⏑ · — · ⏑ — · ⏑ ⏑ :

Περὶ τοῦ δευτέρου κώλου.

Τὸ δεύτερον προσοδιακὸν ἀλλ' ἀκατάληκτόν τε
καὶ δίμετρον, ἰωνικοῦ τοῦ ἀπὸ τῶν μειζόνων.

ἰωνικὸς χορίαμβος
— — ⏑ ⏑ · — ⏑ ⏑ — ·

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον Στησιχόρειον, εὑρόντος τοῦ Στησιχόρου·
τρίμετρον δὲ τροχαϊκόν ἐστιν ὡς εἶναι στίχου
ἴδιωμα Πινδαρικὸν ἔχον ἐν τελευταίοις.
χωλεύει καὶ γὰρ ὁ ῥυθμὸς, κειμένου τοῦ ἰάμβου
ἀντὶ τροχαίου ἐνταυθοῖ, ἐν τῇ ἐσχάτῃ χώρᾳ.

τροχαϊκὰ
— ⏑ · — — · — ⏑ · — — · — ⏑ ⏑ — :

43 Τοῦτο καὶ προσοδιακόν ἐστιν.

Digitized by Google

Περὶ τοῦ τετάρτου κώλου.

Τέταρτον ἀναπαιστικὸν ἀλλὰ μονόμετρόν τι·
ἔστι καὶ ἀκατάληκτον· ἀνάπαιστοι γὰρ δύο.

ἀνάπαιστοι

⏑ ⏑ — · ⏑ ⏑ — :

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον δὲ ἰωνικόν, ἀλλ' ἀπὸ τῶν μειζόνων·
ἔστι δ' ὑπερκατάληκτον καὶ δίμετρον τὸ σύμπαν.

ἰωνικοὶ συλλαβὴ

— — ⏑ ⏑ · — ⏑ ⏑ · —

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον σοι ἰωνικὸν μονόμετρον τυγχάνει·
ἔστι δ' ὑπερκατάληκτον καὶ συλλαβὴν γὰρ ἔχει·
εἰ βούλει ἀναπαιστικὸν μονόμετρον ἐκδέχου
καὶ δίμετρον, ὡς θέλεις γὰρ λαμβάνεις ἀναπαίστους.

ἰωνικὸς

— — ⏑ ⏑ · — ·

Περὶ τοῦ ἑβδόμου κώλου.

Τὸ ἕβδομον ἰαμβικὸν καὶ δίμετρον ὑπάρχει·
ἔστι δὲ ἀκατάληκτον. ἰδού σοι καὶ ἡ θέσις.

ἰαμβικὰ

— — · ⏑ — · — — · ⏑ — :

Τὸ ὄγδοον Εὐριπίδειον, ληκύθιον ὡς θέλεις.

τροχαϊκὰ

— ⏑ · — — · — ⏑ · — :

Περὶ τοῦ ἐννάτου κώλου.

Ἔννατον προσοδιακὸν καὶ δίμετρόν τι πέλει.

ἰωνικὸς χορίαμβος

— — ⏑ ⏑ · — ⏑ ⏑ — :

Περὶ τοῦ δεκάτου κώλου.

Τὸ δέκατον δακτυλικὸν καὶ πενθημιμερές σοι.

δακτυλικὰ

— ⏑ ⏑ · — ⏑ ⏑ · — :

Digitized by Google

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ὅμοιον τὸ ἑνδέκατον ὑπάρχει τῷ δευτέρῳ.

προσοδιακὸν

— — ⏑ ⏑ · — ⏑ ⏑ — :

Περὶ τοῦ δωδεκάτου κώλου.

5 Δωδέκατον δακτυλικὸν τρίμετρον καταρίθμει·
περὶ τῆς καταλήξεως ὡς θέλεις ἐκλαμβάνου.
εἰ βούλει ἀκατάληκτον καὶ καταληκτικόν γε.
αὐτόνομος ἡ συλλαβὴ κειμένη ἐν ἐσχάτοις.

δάκτυλοι

— ⏑ ⏑ · — ⏑ ⏑ · — ⏒ :

10 ### Περὶ τοῦ τρισκαιδεκάτου κώλου.

Τὸ δέ γε τρισκαιδέκατον προσοδιακόν ἐστι·
πρὶν ἐνταυθοῖ πρωτεύοντος τοῦ χοριάμβου αἴσθου.
βραχυκατάληκτον δ' ἐστὶν ὡς τρίμετρον πληροῦσθαι.[44]

χορίαμβος ἰωνικὸν χορίαμβος ἥμισυς

— ⏑ ⏑ — · ⏑ ⏑ — — · — — ·

15 ### Περὶ τοῦ τεσσαρεσκαιδεκάτου κώλου.

Τὸ τεσσαρεσκαιδέκατον Στησιχόρειον ἔστιν·
ὑπάρχει πλὴν καὶ καθαρὸν κατὰ τὴν τελευταίαν.
φροῦδον γὰρ τὸ ἰδίωμα τὸ τοῦ Πινδάρου ὧδε.
τρίμετρον δὲ τροχαϊκὸν ὑπάρχει σοι τὸ μέτρον.

20 τροχαῖοι

— ⏑ · — — · — ⏑ · — — · — ⏑ · — ⏒ ·

Περὶ τοῦ ἑβδόμου ἐπινικίου τῶν Ὀλυμπίων.

Ἑβδόμου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντίστροφός γε
ἐκ κώλων πάντων ἕνδεκα Πινδάρῳ συνετέθη.
ἐκ κώλων τρισκαίδεκα ὁ ἐπῳδὸς τυγχάνει·
25 τὸ πρῶτον μὲν ἰωνικόν, ἀλλ' ἀπὸ ἐλασσόνων,
δίμετρον καταληκτικόν, δεύτερον ἐκ τροχαίου.

ἰωνικὰ

⏑ ⏑ — — : — ⏑ ⏒ : —

[44] Τοῦτο καὶ δακτυλικόν ἐστι τετράμετρον ἐκ δύο δακτύλων καὶ δύο σπονδειῶν καὶ συλλαβῆς, — ⏑ ⏑ · — ⏑ ⏑ · — — · — — ·

Digitized by Google

Περὶ τοῦ δεττέρου κώλου.

Δεύτερον προσοδιακὸν καὶ ἀκατάληκτόν τι,
καὶ δίμετρον καθέστηκεν ἰωνικοῦ τοῦ πρώτου.

ἰωνικὸς χορίαμβος
– – ⏑ ⏑ · – ⏑ ⏑ – :

Περὶ τοῦ τρίτου κώλου. 5

Τὸ τρίτον δὲ τροχαϊκὸν καὶ ἀκατάληκτόν τι,
καὶ δίμετρον καθέστηκε, τέσσαρες καὶ τροχαῖοι.

τροχαϊκὰ
– ⏑ · – ⏑ · – ⏑ · – – ·

Περὶ τοῦ τετάρτου κώλου.

Τέταρτον Εὐριπίδειον ληκύθιον εἰ θέλεις, 10
τροχαῖοι δ', ἐφθημιμερὲς ὑπάρχει σοι τὸ μέτρον.

τροχαῖοι
– ⏑ · – – · – ⏑ · – ·

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον δὲ ἰαμβικὸν καὶ δίμετρον τυγχάνει,
πλὴν ἀλλ' ὑπερκατάληκτον, ὅρα δὴ καὶ τὴν θέσιν. 15

ἰαμβικὰ
⏑ – · ⏑ – · – – · ⏑ – · – ·

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον δὲ δακτυλικὸν καὶ πενθημιμερές γε.

δακτυλικὰ
– ⏑ ⏑ · – ⏑ ⏑ · – ·

Περὶ τοῦ ἑβδόμου κώλου. 20

Τὸ ἕβδομον καθέστηκεν ὅμοιον τῷ δευτέρῳ,
δῆλον δὲ προσοδιακὸν ἰωνικοῦ ἐκ πρώτου.

ἰωνικὸς χορίαμβος
– – ⏑ ⏑ · – ⏑ ⏑ – ·

Digitized by Google

Περὶ τοῦ ὀγδόου κώλου.

Καὶ ἐγκωμιολογικὸν τὸ ὄγδοον ὑπάρχει.

δακτυλικὰ

– ⏑ ⏑ · – ⏑ ⏑ · – · ⏑ – · ⏑ – · ⏑̄

Περὶ τοῦ ἐννάτου κώλου.

5 Τὸ ἔνατον δακτυλικὸν καὶ πενθημιμερές τι.

δακτυλικὰ

– ⏑ ⏑ · – ⏑ ⏑ · – ·

Περὶ τοῦ δεκάτου κώλου.

Τὸ δέκατον ἰωνικὸν, ἀκατάληκτον δ' ἔστι
δίμετρον ἐξ ἐλάσσονος, δεύτερον ἐκ τροχαίου.

10 ἰωνικὸς ἰωνικὰ

⏑ ⏑ – – · – ⏑ – – ·

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ἑνδέκατον δακτυλικὸν καὶ ἀκατάληκτόν γε
καὶ τρίμετρον καθέστηκεν, ἰδού σοι καὶ ἡ θέσις.

δακτυλικὰ

– ⏑ ⏑ · – ⏑ ⏑ · – –

15 ### Περὶ τῆς ἐπῳδοῦ.

Ἀλλάγε καὶ τὴν ἐπῳδὸν ἐγκαταμέτρει πάλιν·
τὸ πρῶτον μὲν δακτυλικὸν καὶ πενθημιμερές τι.

δακτυλικὰ

– ⏑ ⏑ · – ⏑ ⏑ · ⏑̄ ·

Περὶ τοῦ δευτέρου κώλου.

20 Τὸ δεύτερον προσοδιακὸν ἀλλὰ καὶ τρίμετρόν γε.

ἰωνικὸς χορίαμβος ἰωνικὸς

– – ⏑ ⏑ · – ⏑ ⏑ – · – – ⏑ ⏑ ·

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον δὲ τροχαικὸν ἀλλ' ἀκατάληκτόν τι
καὶ δίμετρον καθέστηκεν, ἰδού σοι καὶ ἡ θέσις.

25 τροχαϊκὰ

– ⏑ · – – · – ⏑ – – ·

Digitized by Google

Περὶ τοῦ τετάρτου κώλου.

Τὸ τέταρτον δακτυλικὸν, τρίμετρον ἔστι σοι,
πέλει δὲ ἀκατάληκτον· εἰ θέλεις δὲ καὶ ἄλλως,
λέγεται προσοδιακὸν τῶν χρόνων τηρουμένων.

δακτυλικὸν προσοδιακὸν 5

— ⏑ ⏑ · — · ⏑ ⏑ — — ·

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον ἀναπαιστικὸν μονόμετρον τυγχάνει.

ἀνάπαιστος

⏑ ⏑ — · ⏑ ⏑ — ·

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον περιοδικὸν, διπλοῦς τροχαῖος δ' ἔστιν, 10
ἐκ δύο τῶν δακτύλων τε καὶ δύο τῶν τροχαίων.
τοὺς γὰρ δακτύλους ἔστιν οὗ τροχαῖος ἐκλαμβάνει.
περίοδον ἐκμάνθανες τῷ πρώτῳ τοῦ δευτέρου.[45]

τροχαϊκὰ

— ⏑ ⏑ · — ⏑ ⏑ · — ⏑ · ⏑ ⏑ ·

Περὶ τοῦ ἑβδόμου κώλου. 15

Τὸ ἕβδομον προσοδιακὸν καὶ ἀκατάληκτόν γε.

ἰωνικὸς χορίαμβος

— — ⏑ ⏑ · — ⏑ ⏑ — ·

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον τροχαϊκὸν καὶ ἀκατάληκτόν γε
καὶ δίμετρον καθέστηκε, τέσσαρες καὶ τροχαῖοι. 20

τροχαϊκὰ

— ⏑ · — — · — ⏑ · — —

[45] καὶ τοῦτο δοκεῖ μοι δακτυλικόν ἐστιν ἀκέφαλον ἐφθημιμερές,
⏑ ⏑ ⏑ — · — ⏑ ⏑ · — ⏑ ⏑ · ⏑ ·

Digitized by Google

Περὶ τοῦ ἐννάτου κώλου.

Τὸ ἔννατον δακτυλικὸν καὶ πενθημιμερές γε.

δακτυλικὰ

– ⏑ ⏑ · – ⏑ ⏑ · –

Περὶ τοῦ δεκάτου κώλου.

5 Δέκατον ἰαμβέλεγος ἰάμβου λελυμένου.

ἰαμβικὰ δακτυλικὰ

⏑ ⏑ ⏑ · ⏑ – · – – ⏑ ⏑ · – ⏑ ⏑ · – ·

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ἑνδέκατον ἰωνικὸν ἀλλ' ἀπὸ ἐλασσόνων,
δίμετρον καταληκτικόν. ἰδού γε καὶ ἡ θέσις.

10 ἰωνικὰ

⏑ ⏑ – – · ⏑ – – ·

Περὶ τοῦ δωδεκάτου κώλου.

Δωδέκατον προσοδιακὸν καὶ καταληκτικόν γε.
ἔστι δὲ ἡ κατάληξις ἔν γε τῷ χοριάμβῳ.

ἰωνικὸς χορίαμβος καταληκτικὸς

⏑ ⏑ – – · – ⏑ ⏑ ·

15 ### Περὶ τοῦ τρισκαιδεκάτου κώλου.

Τὸ δέ γε τρισκαιδέκατον Στησιχόρειόν ἐστι,
ταὐτὸν δ' εἰπεῖν τροχαϊκὸν τρίμετρόν τε καὶ στίχον.

τροχαϊκὰ

– ⏑ · – – · – ⏑ · – – · – ⏑ · – – ·

Περὶ τοῦ ὀγδόου ἐπινικίου τῶν Ὀλυμπίων.

20 ὀγδόου εἶδος ἡ στροφὴ συνάμα ἀντιστρόφῳ
κῶλα ἐννέα κέκτηται· ἡ δ' ἐπῳδὸς ἕνδεκα.
τὸ πρῶτον μὲν τροχαϊκὸν ἐπίτριτος καλεῖται,
ὡς περὶ τούτου εἴπομεν τοῖς ἀνωτάτω τόποις.
ἴαμβον ἔχει δὲ αὐτὸ τέταρτον τελευταῖον.

Digitized by Google

ἀλλ' ἐπιχοριαμβικὸν εἰ θέλεις καλεῖ τοῦτο·
τροχαίοις ἐπιφέρεται χορίαμβός σοι μόνος,
ἀνοικείοις ὑπάρχουσι πρὸς τὸν χορίαμβόν τε.

τροχαϊκὰ χορίαμβος
– ◡ · – – · – ◡ ◡ – ·

Περὶ τοῦ δεττέροτ κῶλοτ.

Τὸ δεύτερον ἰωνικὸν ἀλλ' ἀπὸ ἐλασσόνων.
τρίτος παιὼν γίνεται ἰωνικῶν ὁ πρῶτος·
τρέπεται γὰρ ὁ δεύτερος εἰς τὸν τροχαῖον πόδα,
ὥσπερ καὶ πάλιν εἰς αὐτὸν ὁ πρῶτος τοῦ δευτέρου.
εἰ δ' ἦν καὶ ἀκατάληκτος, ἀλλ' οὐκ ἐν καταλήξει,
ἐπίτριτος ἐγένετο δεύτερος ἄν σοι τοῦτο.
εἰς ταῦτα γὰρ τὰ σχήματα ἰωνικὸν ἀλλάττει.

ἰωνικὸς ἀπ' ἐλάσσονος ἰωνικὸς ἀπὸ μείζονος
◡ ◡ – ◡ · – ◡ –

Περὶ τοῦ τρίτοτ κῶλοτ.

Τὸ τρίτον ἰαμβέλεγος καὶ συλλαβὴ πρὸς τούτῳ.

ἰαμβικὸν δακτυλικὸν συλλαβὴ
– – · ◡ – · – · – ◡ ◡ · – ◡ ◡ · – · ◡ ·

Περὶ τοῦ τετάρτοτ κῶλοτ.

Τὸ τέταρτον ἰαμβέλεγος πλὴν οὐχ ὁλόκληρός τις,
μιᾶς λειπούσης συλλαβῆς ἐν πρώτοις τῶν ἰάμβων.

λείπουσα συλλαβὴ ἰαμβικὰ δακτυλικὰ
– · ◡ – · – · – ◡ ◡ · – ◡ ◡ · –

Τοῦτο καὶ ἄλλως λέγεται καὶ ἄλλως ἐκμετρεῖται·
χρονῶν τῶν ἐν ταῖς συλλαβαῖς πάλιν φυλασσομένων
τοῦτ' ἐπιχοριαμβικὸν Πινδαρικὸν καλεῖται.
εὕρηται γὰρ τῷ λυρικῷ τοῦτο καινὸν εἰς μέλος·
ἀλλὰ καλέσω Σαπφικόν, Πινδαρικὸν οὐδ' ὅλως·
Σαπφοῦς γὰρ τὸ μελῴδημά ἐστι τῆς ποιητρίας,
μᾶλλον δ' Ἀλκαῖος κέχρηται τούτῳ τῷ μέλει πάλιν·
ἀλλ' ἄδηλον τὸ εὕρημα ὁποτέρου ὑπάρχει,
εἰ λέγεται καὶ Σαπφικόν, φησὶν ὁ ῥυθμόγραφος.

Digitized by Google

ἀλλ᾽ ἴδε τὴν διαφορὰν καὶ δὴ τὴν κοινωνίαν,
ἥνπερ τὸ Σαπφικὸν πρὸς τὸ Πινδάρου ἔχει.
ἄμφω ἐν δεκασυλλάβῳ καὶ καταληκτικάγε·
ἀλλάγε ἀντισπαστικὴν πρώτην τὸ τοῦ Πινδάρου
5 κρηπῖδα ὥσπερ κέκτηται χορίαμβον δευτέραν,
καὶ τρίτην τὴν κατάκλειδα ἴαμβον συλλαβήν τε·
τὸ δέ γε πάλιν Σαπφικὸν ὅμοια πάντα ἔχει,
τὴν πρώτην δὲ διάφορον οὐκ ἀντισπαστικὴν γάρ,
ἀλλά τινα τροχαϊκὴν ἑπτάσημον καὶ μᾶλλον,
10 ἤγουν ἁπλῆν συζυγίαν τροχαίου καὶ σπονδείου·
ὅθεν καὶ σκόπησον ὠδὶ ἐν τουτωὶ τῷ κώλῳ,
εἰ εὕροις ἀντισπαστικὴν τὴν πρώτην, ἔχε τοῦτο
Πινδαρικὸν ὡς εἴπομεν, εἰ δὲ τροχαϊκήν γε,
καθὰ καὶ ἔστι, Σαπφικὸν λέγε τὸ κῶλον τοῦτο.
15 ὅρα τὴν καταγραφὴν ἐξ ἧς θηράσεις τόδε.

τροχαϊκὴ ἑπτάσημος χορίαμβος ἴαμβος συλλαβὴ
– ⏑ – – · – ⏑ ⏑ – · ⏑ – · ⏑ ·

ἔστι γὰρ τὸ Πινδαρικὸν οὕτως ἔχον πρὸς ῥῆμα·
ἀντίσπαστος, χορίαμβος, ἴαμβος καὶ συλλαβὴ
“ὁ μουσαγε· τας με καλεῖ· χορεῦσαι·” ὅρα τοῦτο.

20 ΠΕΡΙ ΤΟΥ ΠΕΜΠΤΟΥ ΚΩΛΟΥ.

Τὸ πέμπτον προσοδιακὸν ὑπερκατάληκτόν τε
καὶ δίμετρον, ἐξ Ἴωνος τοῦ ἀπὸ μείζονός γε[44].

ἰωνικὸς χορίαμβος συλλαβὴ
– – ⏑ ⏑ – ⏑ ⏑ – · ⏑

ΠΕΡΙ ΤΟΥ ΕΚΤΟΥ ΚΩΛΟΥ.

25 Τὸ ἕκτον προσοδιακὸν καὶ καταληκτικόν γε,
ὡς τρίμετρον πληροῦσθαί σοι Ἴωνος ὄντος μέσου.

χορίαμβος ἰωνικὸς ἀπ᾽ ἐλάσσονος χορίαμβος λειπούσης συλλαβῆς
– ⏑ ⏑ – ⏑ ⏑ – – · – ⏑ ⏑

[44] Τοῦτο καὶ ἀναπαιστικόν ἐστιν ἐφθημιμερὲς σπονδείου ἀρχομένου,
– – · ⏑ ⏑ – · ⏑ ⏑ – · – ·

Digitized by Google

Περὶ τοῦ ἑβδόμου κώλου.

Τὸ ἕβδομον δακτυλικὸν καὶ πενθημιμερές γε.

δακτυλικὰ

— ◡ ◡ · — ◡ ◡ · — ·

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον ἰωνικὸν καὶ καταληκτικόν γε,
ὡς δίμετρόν σοι γίνεσθαι, τροχαῖος ἐν δευτέρῳ.

ἰωνικὸς ἀπ' ἐλάσσονος — κρητικὸν τροχαϊκὸν
◡ ◡ — — — ◡ —

Περὶ τοῦ ἐννάτου κώλου.

Ἔνατον δ' Εὐριπίδειον, ληκύθιον εἰ θέλεις
τροχαϊκὸν γὰρ δίμετρον καὶ καταληκτικόν γε·
ὁπόθεν δ' Εὐριπίδειον εἰρήκαμεν τοῖς ἄνω.

τροχαῖοι

— ◡ · — — · — ◡ · — ·

Περὶ τῆς ἐπῳιδοῦ.

Δεῦρ' ἴθι καὶ τῆς ἐπῳδοῦ τὰ κῶλα καταρίθμει.
τὸ πρῶτον προσοδιακὸν ἀλλ' ἀκατάληκτόν γε,
καὶ τρίμετρον καθέστηκε, χορίαμβος ἐν μέσῳ·
τὸ δὲ τρίτον ἰωνικὸν δύο τροχαίους ἔχει,
μεταβληθέντων τῶν ποδῶν καὶ ἀμφοτέρων τούτου.

ἰωνικὸς — χορίαμβος — διτρόχαιος
— — ◡ ◡ — ◡ ◡ — — ◡ — ◡

Ἀμφοτέρων ἰωνικῶν· τὰ σχήματα γὰρ πέντε· δύο τὰ ἀπὸ μείζονος παιωνικὸν (— ◡◡◡) τὸ πρῶτον, ὅτε σοι ποὺς ὁ πρότερος ἀλλάττει εἰς τροχαῖον ἐπίτριτος ὁ τέταρτος (— — — ◡) τροπῇ ποδὸς δευτέρου· πᾶσαι γὰρ γίνονται τροπαὶ τούτων εἰς τοὺς τροχαίους· ἔχεις τὰ ἀπὸ μείζονος· τὰ δ' ἀπ' ἐλάσσονός γε ἐπίτριτος (— ◡ — —) ὁ δεύτερος τροπῇ ποδὸς τοῦ πρώτου· τροπῇ ποδὸς δευτέρου τε, ὁ τρίτος παιὼν (◡◡ — ◡) αὖθις εἰσὶν ἰδού σοι τέσσαρα ἴωνων τὰ εἴδη ἐκ τῶν τροπῶν γινόμενα· θέλεις μαθεῖν τὸ πέμπτον· ἐξ ἀμφοτέρων γίνεται μειζόνων ἐλαττόνων· γίνεται δ' εἷς διτρόχαιος ποδῶν τροπῇ τῶν δύο.

Digitized by Google

Περὶ τοῦ δευτέρου κώλου.

Τὸ δεύτερον δακτυλικὸν ἀκατάληκτον δ' ἐστὶν,
καὶ τρίμετρον καθίσταται, ἰδού σοι καὶ τὸ κῶλον.

δακτυλικὰ

– ⏑ ⏑ · – ⏑ ⏑ · – ⏑ ⏑

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον χοριαμβικὸν καὶ καταληκτικόν γε,
ὡς δίμετρον πληροῦσθαί σοι ἐν μίξει τῶν ἰάμβων·
ἰάμβους γὰρ ἐμάνθανες οἰκείους χοριάμβῳ.

χορίαμβοι

– ⏑ ⏑ – · ⏓ ⏒ ⏑

Περὶ τοῦ τετάρτου κώλου.

Ἐγκωμιολογικὸν τέταρτον παρ' ἐσχάτην·
ἐκ τῶν ἰάμβων λείπει γὰρ συλλαβὴ τελευταῖα.

δακτυλικὰ ἰαμβικὰ

– ⏑ ⏑ · – ⏑ ⏑ · – ⏒ ⏓ · ⏑ –

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον δὲ δακτυλικὸν τρίμετρον τελικόν τε,
εἰ θέλεις προσοδιακὸν, χορίαμβος ὁ πρῶτος.

δακτυλικὰ χορίαμβος ἰωνικὸς

– ⏑ ⏑ · – ⏑ ⏑ · – – ·

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον ὅμοιον αὐτῷ τῷ πέμπτῳ σοι ὑπάρχει.

δακτυλικὰ χορίαμβος ἰωνικὸς

– ⏑ ⏑ · – ⏑ ⏑ · – –

Περὶ τοῦ ἑβδόμου κώλου.

Τὸ ἕβδομον δὲ ὅμοιον αὐτῷ τῷ ἕκτῳ πέλει.

δακτυλικὸν χορίαμβος ἰωνικὸς

– ⏑ ⏑ · – ⏑ ⏑ · – –

Digitized by Google

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον δακτυλικὸν καὶ πενθημιμερές γε.

δακτυλικὰ

– ◡ ◡ · – ◡ ◡ · – ·

Περὶ τοῦ ἐνάτου κώλου.

Τὸ ἔνατον προσοδιακὸν, ἀρχόμενον δὲ ὅμως
ἐκ συζυγίας ἀκραιφνοῦς ἰαμβικῆς καὶ πρώτης,
ἥτις καὶ ἀντ' ἰωνικοῦ τῷ λογικῷ ἐτέθη.
ἀλλ ἔστι δὲ καὶ τρίμετρον· ὅρα τὴν θέσιν ὅμως.

ἰαμβικὴ συζυγία χορίαμβος ἰωνικὸς

⏑̄ – ◡ ◡ – ◡ ◡ – · – – ◡ ◡ ·

Περὶ τοῦ δεκάτου κώλου.

Τὸ δέκατον δὲ τρίμετρον βραχυκατάληκτόν τε·
ἔστι δὲ ἀπ' ἐλάσσονος ἰωνικοῦ τὸ σύμπαν·
φέρει δὲ τοῦ ἐλάσσονος τὰ δύο σχήματά σοι·
ἐπίτριτος γὰρ δεύτερος καθέστηκεν ὁ πρῶτος,
μεταβληθέντος τοῦ ποδὸς ἰωνικοῦ τοῦ πρώτου·
ὁ δεύτερος καθέστηκεν παιὼν ἀλλάγε τρίτος,
μεταβληθέντος τοῦ ποδὸς ἰωνικοῦ δευτέρου.

δεύτερος ἐπίτριτος τρίτος παιὼν ἰωνικὸς ἥμισυς ἀπ' ἐλάσσονος

– ◡ – – ◡ ◡ – ◡ ◡ ⏑̄ ·

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ἑνδέκατον ἰαμβικὸν ἀλλ' ἀκατάληκτόν τι,
καὶ δίμετρον πληροῦταί σοι· ἰδοὺ δε καὶ ἡ θέσις.

ἰαμβικὰ

⏑̄ – · ◡ – · ⏑̄ – ◡ – ·

Περὶ τοῦ ἐνάτου ἐπινικίου τῶν Ὀλυμπίων.

Ἐνάτου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντίστροφός γε
κώλων ἐστὶν ἑκκαίδεκα, ἡ ἐπῳδὸς δώδεκα[44].
τὸ πρῶτον ἀναπαιστικὸν μονόμετρον τυγχάνει·

[44] δέδεκα Cod. B.

Digitized by Google

ὑπερκατάληκτον δ' ἐστὶν, ἀλλ' εἰς δισυλλαβίαν·
πάλιν ὑπερκατάληκτον εἰς μονοσυλλαβίαν·
ἔστι καὶ ἀκατάληκτον μή τινος λειπομένου·
ἔστι καὶ κατάληκτον, ἀλλ' εἰς δισυλλαβίαν·
5 πάλιν δὲ κατάληκτον εἰς μονοσυλλαβίαν·
βραχυκατάληκτόν ἐστι τὸ τελευταῖον τούτου.
ταῦτα δὲ πάντα γίνονται εἰς πόδας τρισυλλάβους,
δυσὶ ποσὶν ἐν τῷ αὐτῷ μέτρον ἀναπληροῦντας.
εἴπομεν γὰρ περὶ αὐτοῦ ὡς κατὰ συζυγίαν
10 οἱ πόδες ἐκμετροῦνταί σοι. ἰδοὺ δὲ καὶ ἡ θέσις.

ἀναπαιστικὰ

⏑ ⏑ — · ⏑ ⏑ — · ⏑ ⏑ ·

Περὶ τοῦ δευτέρου κώλου.

Τὸ δεύτερον ἰωνικὸν ἀλλ' ἀπὸ μείζονός σοι
δίμετρον καταληκτικὸν, δεύτερον ἐκ τροχαίου·
15 καὶ τέως ἀπ' ἐλάσσονος τὸ δεύτερον ὑπάρχει.

ἰωνικὰ ἀπὸ μείζονος

— — ⏑ ⏑ · — ⏑ — ·

Περὶ τοῦ τρίτου κώλου.

Τρίτον ἐστὶ Φαλαίκειον, ἀλλ' ἀντισπαστικόν τι·
ἔχει δὲ διάφορον ἀντίσπαστος τὸν πόδα
20 τὸν πρότερον, ὡς εἴπομεν περὶ τοῦ ἀντισπάστου,
ὡς τρέπεται ὁ ποὺς αὐτοῦ δισύλλαβος ὁ πρῶτος
εἰς σχήματα τὰ τέσσαρα ποδὸς τοῦ δισυλλάβου,
ἰάμβου πυρριχίου τε σπονδείου καὶ τροχαίου.
καλεῖται δὲ Φαλαίκειον, οὗ Φάλαικος γεννήτωρ.
25 τὸ δ' ἔχον ἀντισπαστικὴν τὴν μόνην πρώτην μέτρον
τὰς ἄλλας δ' ἰαμβικὰς, ὡς εἶναι πᾶν τὸ κῶλον
τρίμετρον ἀντισπαστικὸν καὶ κατάληκτόν γε,
λέγε τούτῳ Φαλαίκειον Φαλαίκῳ παρωνύμως·
ἰδού σοι καὶ καταγραφὴ, καὶ τοῦτο καταμέτρει.

30 ἀντισπαστικὰ ἰαμβικὰ

— ⏑ — ⏑ · ⏑ — · ⏑ — · ⏑ — · ⏑ ·

Digitized by Google

Περὶ τοῦ τετάρτου κώλου.

Τὸ τέταρτον Γλυκώνειον καὶ ἀναπαιστικόν γε,
τοῦ Γλύκωνος τὸ εὕρημα ἐξ ἀντισπάστου πρώτου.
ἀντίσπαστος γὰρ ἀγαπᾷ συνὼν καὶ τοῖς ἰάμβοις
δευτέρων τῶν ἰαμβικῶν δυοῖν ἀκαταλήκτων, 5
ὡς εἶναι δίμετρον τὸ πᾶν καὶ ἀκατάληκτόν γε.
ὁ πρῶτος ποὺς δὲ τρέπεται τοῦ πρώτου ἀντισπάστου
εἰς τὰ οἰκεῖα πάντως γε σχήματα δισυλλάβου.

ἀντίσπαστος ἴαμβοι
— ◡ — ◡ · ◡ — · ◡ · — ·

Περὶ τοῦ πέμπτου κώλου. 10

Τὸ πέμπτον δὲ ἰαμβικὸν ὑπερκατάληκτόν τε
μονόμετρον τὸ σύμπαν δὲ ἰάμβου ἀναπαίστου·
τίθεται καὶ ἀνάπαιστος ἰαμβικαῖς ταῖς χώραις,
ἀρχόμενος ἐκ βραχειῶν ἐν ὅλαις δὲ τὸ σύμπαν,
καθώς περ καὶ ὁ ἴαμβος βραχείαν πρώτην ἔχων. 15

ἰαμβικὰ
◡ — · ◡ ◡ — · — ·

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον δὲ Γλυκώνειον ὅμοιον τῷ τετάρτῳ·
ἀντίσπαστος καὶ ἴαμβοι τὸ σύμπαν ἔστι δύο.

ἀντίσπαστος ἴαμβοι 20
◡̄ — — ◡ · ◡ — · ◡ — ·

Περὶ τοῦ ἑβδόμου κώλου.

Τὸ ἕβδομον ἰωνικὸν ἀλλ' ἀπὸ τῶν μειζόνων
ἔστι, βραχυκατάληκτον ὡς δίμετρον πληροῦσθαι.

ἰωνικὰ
— — ◡ ◡ · — — ·

Περὶ τοῦ ὀγδόου κώλου. 25

Τὸ ὄγδοον Γλυκώνειον ὅμοιον τῷ τετάρτῳ,
ἐκτρεπομένου τοῦ ποδὸς τοῦ πρώτου ἀντισπάστου.

ἀντίσπαστος ἴαμβοι
◡̄ — — ◡ · ◡ — · ◡ — ·

Digitized by Google

Περὶ τοῦ ἑνάτου κώλου.

Τὸ ἔνατον ἰωνικὸν ὅμοιον τῷ ἑβδόμῳ.

ἰωνικὰ

— — ◡ ◡ · — — ·

Περὶ τοῦ δεκάτου κώλου.

Δέκατον περιοδικὸν, ἐπίτριτος, τροχαῖος.
οἶδας τὸ περιοδικὸν καὶ τὸ ἐπίτριτόν γε.
ἐπίτριτον μὲν λέγεται διότι ἐκ τεσσάρων·
κέκληται περιοδικὸν σύμμικτον γὰρ ἰάμβοις,
ἡ τελευταία ἴαμβος ἀνοίκειος τροχαίοις.
ὅτε δὲ τὰ ἀνοίκεια συνέλθωσιν εἰς μίαν,
οὐ μέτρα ἐκλαμβάνομεν ἐκεῖσε ἑνὸς καὶ δύο,
ἀλλά τινα περίοδον καλοῦμεν τὰ τοιαῦτα·
ἐκ γὰρ ποδῶν περίοδος ὑπάρχει διαφόρων.

τροχαϊκὰ ἴαμβος

◡ ◡ ◡ ◡ · — ◡ · — ◡ · ◡ ◡ —

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ἑβδόμῳ καὶ ἑνάτῳ γε ἑνδέκατον ὁμοίως·
βραχυκατάληκτον καὶ γὰρ ἰωνικὸν ὑπάρχει.

ἰωνικὰ

— — ◡ ◡ · — —

Περὶ τοῦ δωδεκάτου κώλου.

Δωδέκατον Γλυκώνειον ὅμοιον τῷ ὀγδόῳ,
ἐξ ἀντισπάστου σύγκειται καὶ δύο τῶν ἰάμβων,
καὶ δίμετρον πληροῦταί σοι· ἰδοὺ δὲ καὶ ἡ θέσις.

ἀντίσπαστος ἴαμβοι

◡ — — ◡ · ◡ — · ◡ ◡ —

Περὶ τοῦ τρισκαιδεκάτου κώλου.

Τὸ τρισκαιδέκατον ἐστὶν ὅμοιον τῷ ἑβδόμῳ,
καὶ τῷ ἑνάτῳ ἔστι δὲ, καὶ δὴ τῷ ἑνδεκάτῳ·

Digitized by Google

βραχυκατάληκτον καὶ γὰρ ἰωνικὸν ὑπάρχει,
ὡς δίμετρόν σοι γίνεσθαι· ὅρα καὶ μέτρει πάλιν.

ἰωνικὰ
— — ◡ ◡ · — — ·

Περὶ τοῦ τεσσαρεσδεκάτου κώλου.

Τὸ τεσσαρεσκαιδέκατον ἰαμβικὸν ὑπάρχει
δίμετρον καταληκτικόν, δεύτερος ποὺς δὲ πέλει
ἀνάπαιστος ἢ τρίβραχος οἰκεῖος τῇ δευτέρᾳ,
τρισύλλαβος ἂν ἄρχηται, καὶ γὰρ ἐκ τῆς βραχείας
ἐν μέτροις τοῖς ἰαμβικοῖς τίθεται τοῖς ἀρτίοις,
ὡς ἴαμβος ἀρχόμενος καὶ πάλιν ἐκ βραχείας,
καθάπερ ἐν τροχαϊκοῖς ταῖς χώραις ταῖς ἀρτίαις
τίθεται ποὺς ἀρχόμενος ἐκ μακρᾶς οἷος ἔστι.

ἰαμβικὰ
◡ — · ◡ ◡ ◡ · ◡ — · — ·

Περὶ τοῦ πεντεκαιδεκάτου κώλου.

Τὸ δὲ πεντεκαιδέκατον ἐπιωνικόν ἐστιν,
καὶ ἀπ' ἐλάσσονος ἐστὶ καὶ ἄτακτον καλεῖται·
τὴν πρώτην συζυγίαν γὰρ ἐν ἀταξίᾳ ἔχει.
ἐπεὶ γὰρ ἐπιωνικόν, ἰαμβικὴ ὀφείλει
συζυγία ἐνάρχεσθαι τῷ μέτρῳ ἀνοικείως·
καὶ ἐστὶ γὰρ τροχαϊκή, ἰωνικὸν τὸ μέτρον·
οἰκεῖοι τῷ ἰωνικῷ εἰσὶ γὰρ οἱ τροχαῖοι·
ὤφειλεν οὕτω γίνεσθαι ἰαμβικὴν τὴν πρώτην
τυγχάνειν συζυγίαν σοι ἐν τουτῷ τῷ μέτρῳ·
ἐπεὶ δὲ τὸν σπονδεῖόν γε ἐν τῇ δευτέρᾳ ἔχει,
ἀνάγκη ἄτακτον αὐτὸ γίνεσθαι καὶ καλεῖσθαι.

ὤφειλεν ἰαμβικὴ ἰωνικὸς
◡ — · — — · ◡ ◡ — —

Περὶ τοῦ ἑκκαιδεκάτου κώλου.

Ἔστιν ἐπιωνικὸν δὲ τὸ ἑκκαιδέκατόν σοι
δίμετρον ἀκατάληκτον καὶ καθαρὸν τὸ μέτρον.

Digitized by Google

εἰσὶ γὰρ τὰ ἰαμβικὰ ἀνοίκεια ἐν πρώτοις
τῷ μέτρῳ τῷ ἰωνικῷ· ἰδοὺ δὲ καὶ ἡ θέσις.

ἰαμβικὰ ἰωνικὸς

⏑ – · ⏑ – · ⏑ ⏑ – – ·

Περὶ τῆς ἐπωιδοῦ.

Δεῦρ' ἴθι καὶ τὴν ἐπῳδὸν ἐγκατασκόπει πάλιν,
τὸ πρῶτον μὲν ἰαμβικὸν καὶ δίμετρον ὑπάρχει·
ἔστι γὰρ ἀκατάληκτον· ἰδοὺ δὲ καὶ ἡ θέσις.

ἰαμβικὰ

⏑ – · ⏑ – · ⏑ – · ⏑ – ·

Περὶ τοῦ δεττέρου κώλου.

Τὸ δεύτερον ἰαμβικὸν ὑπερκατάληκτόν τε
καὶ δίμετρον καθίσταται ἐκ πρώτου ἀναπαίστου.

ἀνάπαιστος ἰαμβικὰ

⏑ ⏑ – · ⏑ – · ⏑ – · ⏑ – · – ·

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον ἀναπαιστικὸν, κάλει δὲ τὸ τοιοῦτον
δίμετρον καταληκτικὸν τὴν συλλαβὴν εἰς μίαν,
δῆλον τῶν δύο λειπουσῶν ὡς ἀνάπαιστον εἶναι.

ἀναπαιστικὰ

⏑ ⏑ – · ⏑ ⏑ – · – – · ⏑ ·

Περὶ τοῦ τετάρτου κώλου.

Τὸ τέταρτον ἰωνικὸν ὑπερκατάληκτόν τε·
τὸ πρῶτον ἐκ τοῦ μείζονος, ἐλάσσονος τὸ ἄλλο,
ὡς γίνεσθαι καὶ τροχαῖον τὸν πρῶτον πόδα τούτου.

ἰωνικὰ

– – ⏑ ⏑ · – ⏑ – – · –

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον δ' ἐφθημιμερὲς δακτυλικὸν ὑπάρχει,
δάκτυλος καὶ σπονδεῖοι γὰρ καὶ συλλαβὴ, καὶ σκόπει.

δάκτυλος σπονδεῖοι συλλαβὴ

– ⏑ ⏑ · – – · – – · – ·

Digitized by Google

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον προσοδιακὸν καὶ τρίμετρον ὑπάρχει[47],
λείπει δὲ καὶ κατάληξις· ἰωνικὸν τὸ πρῶτον,
ἀλλ' ἀπὸ μείζονος ἐστὶ, χορίαμβός τε εἶτα,
καὶ πάλιν ἐξ ἐλάττονος ἰωνικός σοι κεῖται. 5

ἰωνικὸς — — ◡ ◡ · χορίαμβος — ◡ ◡ — · ἰωνικὸς καταληκτικὸς ◡ ◡ — ·

Περὶ τοῦ ἑβδόμου κώλου.

Τὸ ἕβδομον ἐπιωνικὸν βραχυκατάληκτόν τε[48]
ὡς τρίμετρον καθίστασθαι· ἔστι δ' ἐν τούτῳ ταῦτα,
ἰαμβικὴ συζυγία καὶ τρίτος παιὼν ἔστιν, 10
ἀντὶ τοῦ ἀπ' ἐλάσσονος ἰωνικοῦ δ' ὁ παιών·
καὶ γὰρ δεύτερος τρέπεται ὁ ποῦς εἰς τὸν τροχαῖον,
καὶ ἐφεξῆς ὑπάρχουσιν ἀμφότεραι βραχεῖαι·
πολλάκις ἡ ἐσχάτη δὲ ἀδιάφορος κεῖται.

ἰαμβικὴ — — ◡ — ἰωνικὸς παιὼν γ' ◡ ◡ — ◡ · ἰωνικὸς ἥμισυς ◡ ◡̄ 15

Περὶ τοῦ ὀγδόου κώλου.

Διπλοῦς τροχαῖος, ὄγδοον δίμετρον ἤγουν λέγε,
τροχαϊκόν τε οὐδαμοῦ κατάληξιν οὐκ ἔχον,
ἐν οἷς καὶ ὅρα ἄτακτον ἐν πρώτοις ὂν τὸ μέτρον·
σπονδεῖον καὶ γὰρ κέκτηται ἐν περιττῇ τῇ χώρᾳ, 20
ὅπερ οὐκ ἔστι κείμενον τροχαϊκοῖς τοῖς μέτροις,
ταῖς χώραις ὁ σπονδεῖος γὰρ ἐν ταῖς ἀρτίαις κεῖται.

τροχαϊκὰ — — · — — ἰαμβικὰ ◡ — · ◡̄ — ·

Περὶ τοῦ ἐνάτου κώλου.

Τὸ ἔνατον ἰωνικὸν βραχυκατάληκτόν τε 25
ὡς δίμετρον καθίστασθαι, πλὴν ἀλλ' ἀπὸ μειζόνων·

47 Τοῦτο καὶ ἀναπαιστικόν ἐστιν δίμετρον ἀκατάληκτον σπονδείου ἀρχομένου, — — · ◡ ◡ — · ◡ ◡ — · ◡ ◡ — ·

48 Τοῦτο ἀσυνάρτητόν μοι δοκεῖ ἐξ ἰαμβικῆς καὶ ἀναπαιστικῆς συζυγίας.

Digitized by Google

ἔστι γὰρ ἀδιάφορος ὁ πρῶτος ποὺς ἐνταῦθα·
καὶ παρατήρησίς ἐστιν αὐτῷ τῷ ῥυθμογράφῳ,
ὅτ' ἴαμβος ὁ πρότερος ἐν ἰωνικοῖς πέλει.

ἰωνικὸς ἀπὸ μείζονος ⏑ – ⏑ ⏑ · ἰωνικὸς ἥμισυς – ⏑ ·

5 Περὶ τοῦ δεκάτου κώλου.

Τὸ δέκατον ἀντισπαστικὸν ἐννεασύλλαβόν τε
λεγόμενον καὶ Σαπφικόν· Σαπφοῦς γάρ ἐστι χρῆσις.
εἴπομεν δὲ τὸ Σαπφικὸν ὑπάρχον ἐκ τροχαίων,
ἢ τροχαίου σπονδείου τε· τροχαϊκὸν καὶ τοῦτο·
10 ἑξάσημος, ἑπτάσημος, ἡ πρώτη συζυγία,
ἰαμβικὰ τὰ ἕτερα, ἐννεασύλλαβόν δε·
καθὸ καὶ οἶμαι γίνεται διαφορὰ κἀν τούτῳ
πρὸς τὸ ἑνδεκασύλλαβον Πινδαρικὸν ὑπάρχον,
μὴ μόνον ὅτι κέκτηται ἐν πρώτῃ συζυγίᾳ
15 τὸ Σαπφικὸν τροχαϊκὸν, ἀντίσπαστον δὲ τοῦτο.
ἰδού σοι καὶ καταγραφὴν ἐκτίθεμεν κἀνταῦθα.

διτρόχαιος – ⏑ – ⏑ · ἰαμβικὰ ⏑ – · ⏑ – · – ·

Περὶ τοῦ δεκάτου ἐπινικίου τῶν Ὀλυμπίων.

Δεκάτου εἴδους τὴν στροφὴν καὶ τὴν ἀντίστροφόν γε
20 ὅσων κώλων καθέστηκε καὶ οἵων καταλέξω.
ὄκτω τὸ σύμπαν γίνωσκε, τὴν ἐπῳδὸν δ' ἐννέα.
τὸ πρῶτον Ἀσκληπιάδειον, ἐκ τοῦ Ἀσκληπιάδου
εὑρόντος τοῦτο τὸ μέτρον ἢ καταχρησαμένου.
ἔστι δ' ἀντισπαστικὸν, ἀλλ' ἀκατάληκτόν τι,
25 καὶ τρίμετρον ὑπάρχει δὲ, ἰαμβικὴ ἐσχάτη·
ἐξ ἀντισπάστων δύο γὰρ καὶ δύο τῶν ἰάμβων,
πολλάκις τοῦ προτέρου δὲ τυγχάνοντος σπονδείου,
τὸ μέτρον ἐγκαθίσταται τὸ τοῦ Ἀσκληπιάδου.
ἐπεὶ δὲ ὁ ἀντίσπαστος ὁ πρότερος ἀλλάττει
30 πόδα κατὰ τὸν πρότερον σχήμασι δισυλλάβου,
καθώς σοι καὶ προείπομεν, τρέπεται καὶ ἐνταῦθα

Digitized by Google

τοῦ ἀκαταλήκτου κώλου τοῦ, καὶ τοῦτο τοῦ προτέρου εἰς τὸ ὁμοιόμετρον ἐκτείνεται καὶ δύνεται.

ἀκατάληκτα ἰαμβικὴ συζυγία

– – – – – – – – ⏑ – · ⏑ – ·

Περὶ τοῦ δευτέρου κώλου.

Δεύτερον χωλιαμβικὸν ὁμοιοκατάληκτόν τε
τυμπάνου ἐξ ἰαμβικῆς κατεσκευασμένης συζυγίας,
καὶ λέγω ἐξ ἰαμβικῆς ὁμοιοκατάληξιν. 5

ἰαμβικὴ συζυγία χωλιαμβικὸν

⏑ – ⏑ – – ⏑ · ⏑ ⏑

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον δὲ ἰαμβικὸν ἀτελεύτητόν τε
καὶ δίμετρον, τὸν τρίτον δὲ δάκτυλον ἔχει πολλά· 10
πολλάκις γὰρ εἰρήκαμεν, ὡς τρισύλλαβον κεῖται
ἐν μέτρῳ τοῖς ἰαμβικοῖς, ὡσεὶ δὲ τοῖς χορείοις.

ἰαμβικὰ συλλαβὴ

⏑ – · ⏑ – · – ⏑ ⏑ · ⏑ – · ⏑

Περὶ τοῦ τετάρτου κώλου. 15

Τὸ τέταρτον τροχαϊκὸν ἀλλ' ἀκατάληκτόν γε
καὶ δίμετρον καθέστηκε, τρίβραχυς πρὸς ὁ πρῶτος,
τρισύλλαβος ὁ τρίτος δὲ ἀνάπαιστος χορεῖος.

τροχαϊκὰ χορεῖος ἢ ἀνάπαιστος

⏑ ⏑ ⏑ · – – · ⏑ ⏑ ⏑ · – – ·

Περὶ τοῦ πέμπτου κώλου. 20

Τὸ πέμπτον προσοδιακὸν καὶ ἀκατάληκτόν γε
καὶ δίμετρον καθίσταται, ἀλλ' ἀπὸ τῶν μειζόνων·
πολλάκις τοῦ ἰωνικοῦ δεύτερος πρὸς ἐν τούτοις
εἰς τροχαῖον ἀλλάσσεται, διβραχύς τις ὀφείλων.

ἰωνικοὶ χορίαμβος 25

– – ⏑ ⏑ · – ⏑ ⏑ – ·

Digitized by Google

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον ἀντισπαστικὸν βραχυκατάληκτόν τε
ὡς δίμετρον καθίστασθαι· Φερεκράτειον εἴποις,
μιᾶς δὲ οὔσης συλλαβῆς· ἐκεῖνο γὰρ ὑπάρχει
5 δίμετρον καταληκτικὸν καὶ ἐφθημιμερές τι.

ἀντίσπαστος ἥμισυς ἀντίσπαστος
⏑ – – ⏑ · ⏑ ⏓ ·

Περὶ τοῦ ἑβδόμου κώλου.

Ἕβδομον ἐπιωνικὸν, οἱ ἴαμβοι γὰρ μέσον
τρίμετρον καταληκτικὸν, ἰωνικῆς ἐκ πρώτης,
10 δευτέρας τῆς ἰαμβικῆς, ἰωνικῆς τῆς τρίτης·
εἰ κέκτηται τροχαῖον δὲ ἰωνικαῖς οἰκεῖος.

ἰωνικὰ ἰαμβικὴ ἰωνικὸν
– – ⏑ ⏑ ⏑ – · ⏑ – · – ⏑ – ·

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον Γλυκώνειον, ἐλέγομεν δὲ τοῦτο
15 δίμετρον ἀντισπαστικὸν καὶ ἀκατάληκτόν τι.
ἔστι δ' ἐνταῦθα ἀντίσπαστος· ἴαμβοι μετὰ ταῦτα·
οἰκεῖος γὰρ ὁ ἴαμβος τῷ ἀντισπάστῳ πέλει·
ἔλυσε δὲ καὶ τὸ μακρὸν τοῦ ἀντισπάστου πάλιν
ὅπου τὸ "πέφνε Κτέατον ἀμύμονα" ὑπάρχει·
20 ἀντὶ μιᾶς μακρᾶς ἐστὶν ἐκεῖσε γὰρ τὸ "Κτέᾱ."

ἀντίσπαστος ἰαμβικὴ
⏑ – – ⏑ ⏑ – ⏑ ⏓ ·

Περὶ τῆς ἐπωιδοῦ.

Τὴν ἐπῳδὸν τὴν τούτου δὲ ἔννεα ἔφην κώλων·
τὸ πρῶτον χοριαμβικὸν βραχυκατάληκτόν τε,
25 ὡς τρίμετρον ὑπάρχειν σοι ἰαμβικῆς ἐκ πρώτης,
ἧς ὁ ποὺς ἀναλύεται εἰς τρίβραχυν δευτέρως·
πολλάκις ἐκ σπονδείου δε καὶ τοῦ δευτέρου ὄντος,
ὡς εἶναι καὶ ἰαμβικὴν δευτέραν συζυγίαν.

χορίαμβοι
⏑ – ⏑ ⏑ ⏑ · – ⏑ ⏑ – · ⏑ – ·

Digitized by Google

Περὶ τοῦ δεττέρου κώλου.

Τὸ δεύτερον προσοδιακὸν καὶ τρίμετρον τυγχάνει,
καὶ ἀκατάληκτόν ἐστιν ἰωνικοῦ ἐκ μέσου
ἐσχάτου χοριάμβου τε τροχαϊκοῦ τε πρώτου·
ταύτης τῆς συζυγίας δὲ τρισύλλαβος εἷς ἐστιν. 5
ἔχεις τὰς τροχαϊκὰς ἰωνικαῖς οἰκείας.

τροχαϊκὰ ἰωνικὸς χορίαμβος

⏑ ⏑ ⏑ – ⏑ ⏑̄ – ⏑ ⏒ – ⏑ ⏑ –

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον δὲ ἰαμβικὸν βραχυκατάληκτόν τε
ὡς τρίμετρον καθίστασθαι, ἐν χώραις ταῖς ἀρτίαις. 10
εἰς τρίβραχυν δὲ λέλυνται οἱ ἴαμβοι καιρίως.

ἰαμβικὰ

– ⏑̄ · ⏑ ⏒ ⏑ · – ⏑ ⏑ · ⏑ – ⏒ –

Περὶ τοῦ τετάρτου κώλου.

Τέταρτον ἐπιωνικὸν καὶ τρίμετρον ὑπάρχει,
πρὸς τούτοις ἀκατάληκτον· ἰαμβικὸς ὁ πρῶτος[49], 15
ὁ δεύτερος ἀνάπαιστος, ἰωνικὰ δὲ τ' ἄλλα.

ἴαμβος ἀνάπαιστος ἰωνικὰ

⏒ – · ⏑ ⏑ – · ⏑ ⏑ – – · ⏒ ⏑ – – ·

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον δὲ τετράμετρον καὶ καταληκτικὸν δὲ
ἰωνικὸν καθίσταται συνάμα τοῖς τροχαίοις· 20
τὸ λ δὲ ἐκτείνεται τὸ ō τὸ τοῦ "Ἰόλα."

ἰωνικὰ

⏑ ⏑ – ⏑ · ⏒ ⏒ – ⏒ · – – ⏑ ⏑ · – ⏑ ⏑ ·

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον δὲ ἰαμβικὸν βραχυκατάληκτόν τε[50]
ὡς τρίμετρον τελεῖσθαι σοι· τρίβραχυς γὰρ ὁ πέμπτος 25

49 Οὕτω κάλλιον ἢ ὥσπερ ἦν. ἔλεγε γὰρ τρίβραχυν εἶναι τὸν α' πόδα οὕτως, ὁ πρῶτος ποὺς γὰρ λύεται εἰς τρίβραχυν χορεῖον οὐ καλῶς.

50 Ἐμοὶ δοκεῖ ὡς ἰαμβέλεγος ἐστὶ τὸ τοιοῦτον κῶλον. ἐκ γὰρ ἰαμβῶν δύο καὶ συλλαβῆς· καὶ ἐκ δακτύλων δύο καὶ συλλαβῆς σύγκειται.

Digitized by Google

ὁ τέταρτος γὰρ δάκτυλος, οἰκεῖοι γὰρ ταῖς χώραις.
φησὶ δὲ ὁ καταγραφεὺς ἐκ συζυγίας εἶναι
ἰωνικῆς ἐκ μείζονος καὶ συλλαβῆς τὸ πρῶτον·
καὶ ἐστὶν ἐπιωνικὸν τεχνολογεῖ καθώσπερ,
5 εἰ θέλεις· λάμβανε δ' αὐτὸ, ἀμφήριστον οὐκ ἔστι.

ἰαμβικὰ δακτυλικὰ
⏑ – · ⏑ – – · – ⏑ ⏑ · – ⏑ ⏑ · ⏑ ·

Περὶ τοῦ ἑβδόμου κώλου.

Ἕβδομον προσοδιακὸν βραχυκατάληκτόν τε
ὡς γίνεσθαι καὶ τρίμετρον· ἰδού σοι καὶ ἡ θέσις.
10 ἰωνικὸς χορίαμβος
– – ⏑ ⏑ – ⏑ ⏑ – · ⏑ ⏑ ·

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον ἰαμβικὸν καὶ δίμετρον ὑπάρχει·
καὶ ἀκατάληκτόν ἐστιν, ἀλλ' ἐκ τρισυλλαβίας·
δεύτερος ποὺς ἀνάπαιστος, ὁ τέταρτος χορεῖος.
15 ἰαμβικὰ
⏑ – · ⏑ ⏑ – · – – · ⏑ ⏑ ⏑ ·

Περὶ τοῦ ἐννάτου κώλου.

Τὸ ἔνατον ἰωνικὸν καὶ καταλήκτικόν τε,
ἀπὸ πρώτης τροχαϊκῆς ἔστι δὲ συζυγίας.
τροχαϊκὰ ἰωνικὸν
– ⏑ · – – · ⏑ ⏑ – ·

20 Περὶ τοῦ ἑνδεκάτου ἐπινικίου τῶν Ὀλυμπίων.

Στροφὴ καὶ ἡ ἀντίστροφος τοῦ ἑνδεκάτου εἴδους[51]
ἐκ κώλων ἓξ συνίσταται, ἡ ἐπῳδὸς δὲ δέκα.
τὸ πρῶτον ἰαμβέλεγος· πλὴν ἔχει καὶ ξένον
ἡ τελευταία εἰς ἀρχὴν, μετάθεσιν γὰρ πάσχει·
25 καὶ οὕτως ἰαμβέλεγος ὁλόκληρος τυγχάνει·
τοῦ γὰρ "πλεῖστα" τὴν συλλαβὴν ἐν πρώτοις καταρίθμει.
ἴαμβοι δάκτυλοι
– – · ⏑ – · – · – ⏑ ⏑ · – ⏑ ⏑ ·

51 Ἐμοὶ δοκεῖ προσοδιακὸν εἶναι τοῦτο τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου β' χοριάμβου εἶναι ἀπ' ἐλάττονος· – ⏑ – – · – ⏑ ⏑ – · ⏑ ⏑ – – ·

Digitized by Google

Περὶ τοῦ δεττέρου κώλου.

Δεύτερον ἰαμβέλεγος· ὅμοιος γὰρ τῷ πρώτῳ,[51]
μεταθείσης εἰς ἀρχὴν ὁμοίως τῆς ἐσχάτης·
ἐσχάτη πλὴν ἡ συλλαβή, ἡ τῶν δακτύλων λέγω,
λείπει· καὶ ἐστὶν ἐλλιπὴς ὁ ἰαμβέλεγός σοι. 5

ἴαμβοι — — · ⏑ — · — · δάκτυλοι — ⏑ ⏑ · — ⏑ ⏑ ·

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον ἐστὶ τὸ αὐτὸ παρ' ἔσχατον τὸν πόδα·
λείπει γὰρ ὅλος δάκτυλος καὶ συλλαβὴ πρὸς τούτῳ
ὡς εἶναι ἰαμβέλεγον, ὥστε τὰ μέτρα ταῦτα 10
κατά τι συνενήνοχε, κατά τι διαφέρει.

ἴαμβοι — — · ⏑ — · — · δάκτυλος — ⏑ ⏑ ·

Περὶ τοῦ τετάρτου κώλου.

Τέταρτον ἀσυνάρτητον ἐκ διαφόρων κώλων·
ἐκ διμέτρου τροχαϊκοῦ καὶ ἡμίσεος ἔπους. 15
τί δ' ἔστιν ἀσυνάρτητον ἐλέγομέν σοι ἄνω.
τρίμετρον δὲ δακτυλικὸν τὸ ἥμισυ τοῦ ἔπους.
ἔστι δ' ὁ τελευταῖος ποὺς σπονδεῖος ἐνταῦθά σοι.

τροχαϊκὰ — ⏑ · — ⏑ · — ⏑ · — — · — ⏑ ⏑ · — ⏑ ⏑ · — — δακτυλικὰ

Περὶ τοῦ πέμπτου κώλου. 20

Τὸ πέμπτον δὲ τροχαϊκὸν βραχυκατάληκτόν τε,
ὡς τρίμετρον καθίστασθαι εἰς ἴαμβον πληροῦσθαι.
ἔστι δ' ἔθος Πινδαρικὸν τὸ τίθεσθαι ἰάμβους
ἐν χώραις ταῖς τροχαϊκαῖς παρὰ τὴν τελευταίαν.
τὸ μέτρον γὰρ οὐκ ἀπαιτεῖ τὸ τῶν τροχαίων τοῦτο. 25

τροχαϊκὰ — ⏑ · — — · — ⏑ · — — · ἴαμβος — ⏑ ·

51 καὶ τοῦτο προσοδιακόν ἐστιν ὅμοιον τῷ εἰρημένῳ πλὴν καταληκτικὸν τρίμετρον — ⏑ — — · — ⏑ ⏑ — · ⏑ ⏑ — ·

Digitized by Google

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον δὲ ἰαμβικὸν βραχυκατάληκτόν τε
καὶ τρίμετρον καθέστηκεν ἐξ ἰαμβαναπαίστων.
ἔστι δ' ὡς ἰαμβέλεγον μετρεῖσθαί σοι τὸ κῶλον.

ἰαμβικὰ δακτυλικὰ
— — · ⏑ — · ⏑ · — ⏑ ⏑ · — ⏑ ⏑ · — ·

κρειττόνως δ' ἰαμβέλεγος μετρεῖταί σοι τὸ κῶλον.[52]

Περὶ τῆς ἐπῳδοῦ.

Τὰ κῶλα δὲ τῆς ἐπῳδοῦ εἰσὶ τὸ σύμπαν δέκα.
τὸ πρῶτον ἐγκωμιολογικόν· πλὴν παρατήρει
τὸν πρῶτον τοῦ ἰαμβικοῦ πόδ' ἀμφίμακρον ὄντα,
ὃς κατὰ συνεκφώνησιν γένοιτό σοι σπονδεῖος.

δακτυλικὰ ἰαμβικὰ
— ⏑ ⏑ · — ⏑ ⏑ · — — · ⏑ — · ⏑ — · —

Περὶ τοῦ δεττέρου κώλου.

Τὸ δεύτερον δὲ δίμοιρον καθέστηκε τοῦ ἔπους·
τετράμετρον δακτυλικὸν εἴποιμεν τοῦτο εἶναι.

δακτυλικὰ
— ⏑ ⏑ · — ⏑ ⏑ · — — · — ⏑ ⏑ ·

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον ἰαμβέλεγος· ἰδού σοι καὶ ἡ θέσις.

ἴαμβοι δακτυλικὸν
⏑ — · ⏑ — · — · — ⏑ ⏑ · — ⏑ ⏑ · —

Περὶ τοῦ τετάρτου κώλου.

Τὸ τέταρτον τροχαϊκὸν καὶ καταληκτικόν γε,
ὡς τρίμετρον ὑπάρχειν σοι ὁλόκληρόν τε στίχον.

τροχαϊκὰ
— ⏑ · — — · — ⏑ · — ⏑ · — ⏑ · —

52 οὕτω κάλλιον· ἔλεγε γὰρ δάκτυλον εἶναι τὸν α' πόδα τοῦ ἰαμβικοῦ οὐ καλῶς.

Digitized by Google

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον δὲ τροχαϊκὸν ὅμοιον τῷ τετάρτῳ.

τροχαϊκὰ

– ◡ · – – · – ◡ · – ◡ · – ◡ · – ·

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον δίμετρόν ἐστι καὶ καταληκτικόν γε 5
τροχαϊκὸν δὲ γίνωσκε ὑπάρχειν σοι τὸ κῶλον.

τροχαῖοι

– ◡ . – ◡ · – ◡ . –

Περὶ τοῦ ἑβδόμου κώλου.

Ἕβδομον ἐγκωμιολογικὸν, καὶ πλεονάζει
δακτύλῳ, ὅθεν λέγουσι τοῦτο ἐπιλαμβάνειν. 10

δακτυλικὰ ἰαμβικὰ δακτυλικὸν

– ◡ ◡ · – ◡ ◡ · – · – – · ◡ – – – ◡ ◡

Περὶ τοῦ ὀγδόου κώλου.

Ὄγδοον χοριαμβικὸν ὑπερκατάληκτόν τε
τελεῖ δὲ εἰς δίμετρον μικτόν τε τοῖς ἰάμβοις.
ὁ πρῶτος γὰρ χορίαμβος· δεύτερος ἐκ σπονδείου, 15
τρίτος ποὺς ὁ σπονδεῖος δὲ κατὰ δισυλλαβίαν.
τῷ μέτρῳ δ' οὐ λυμαίνεται· ἴαμβος γὰρ ὁ ἄλλος
τέταρτος εὑρισκόμενος ποὺς ἀπολελυμένος.

χοριαμβικὰ συλλαβὴ

– ◡ ◡ – · – – ◡ – · –

Περὶ τοῦ ἐννάτου κώλου. 20

Ἔνατον Εὐριπίδειον ληκύθιον εἰ θέλεις·
τροχαῖος ἐφθημιμερὴς ἔστι γὰρ τὸ τοιοῦτον.

τροχαϊκὰ

– ◡ · – ◡ · – ◡ · ◡ ·

Digitized by Google

Περὶ τοῦ δεκάτου κώλου.

Τὸ δέκατον τροχαϊκὸν καὶ δίμετρον τυγχάνει·
καὶ ἀκατάληκτόν ἐστιν· ἰδού σοι καὶ ἡ θέσις.

τροχαϊκὰ

— ◡ · — — · — ◡ · — ◡ ·

5 ### Περὶ τοῦ ιβ ἐπινικίου τῶν Ὀλυμπίων.

Στροφὴ καὶ ἡ ἀντίστροφος τοῦ δωδεκάτου εἴδους,
ἐννέα κῶλα ἐν αὐταῖς γνωρίζονται τὰ πάντα.
τὸ πρῶτον ἰαμβέλεγος· πλὴν γίνωσκε ἐν τούτῳ,
ὡς παλαιὰ ἀντίγραφα τοῦ ψε κειμένου δίχα
10 τοῦτο τὸ κῶλον ἔχουσιν· ἔχον τὸ ψε τινάδε·
εἰ οὖν τὸ ψε οὐ κεῖταί σοι ἀνάγραπτον ἐν βίβλοις,
ἔστι μὲν ἰαμβέλεγος, τῆς πρώτης δὲ λειπούσης·
εἰ δὲ κεῖταί σοι τὸ ψε, ὁλόκληρον τὸ μέτρον.[53]

ἰαμβικὰ — δακτυλικὰ

— ◡ — · — — ◡ · — ◡ ◡ · —

15 ### Περὶ τοῦ δευτέρου κώλου.

Καὶ ἐπιχοριαμβικὸν τὸ δεύτερόν μου μάθε
δίμετρον ἀκατάληκτον τροχαίων ἀρχομένων.
ἐχθὸν δὲ τὸ τροχαϊκὸν ἐστὶ τοῖς χοριάμβοις·
ὅθεν κατ' ἀντιπάθειαν καλοῦνται τὰ τοιαῦτα.

20 τροχαϊκὰ — χορίαμβος

— ◡ · — — · — ◡ ◡ —

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον προσοδιακὸν, ἀλλ' ἀπὸ ἐλασσόνων,
δίμετρον ἀκατάληκτον ἰωνικοῦ ἐκ πρώτου.

ἰωνικὰ — χορίαμβος

◡ ◡ — — · — ◡ ◡ —

53 περισσὰ ταῦτα πάντα· ἔστι δὲ τὸ τοιοῦτον κῶλον προσοδιακὸν ἐξ ἐπιτρίτου β, χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος καταληκτικοῦ· τοιοῦτον γὰρ καὶ τὸ τῆς ἀντιστροφῆς κῶλον, ὅρα καὶ τὴν θέσιν, — ◡ — — · — ◡ ◡ — · ◡ ◡ — ·

Digitized by Google

Περὶ τοῦ τετάρτου κώλου.

Τὸ τέταρτον τροχαϊκὸν καὶ κατάληκτόν τι
ὡς τρίμετρον καθίστασθαι· ὅρα τὴν θέσιν ὧδε.

τροχαϊκὰ

— ◡ · — — · — ◡ · — — · — ◡ · —

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον Στησιχόρειον, ἡ χρῆσις Στησιχόρου·
πλὴν ἔχει καὶ Πινδαρικὸν ἔθος ἐν τελευταίοις·
ἀντὶ τροχαίου κεῖται γὰρ ἴαμβος ἔθει τούτου.
τὸ μέτρον δὲ τροχαϊκὸν ἀλλ' ἀκατάληκτόν τι
καὶ τρίμετρον καθίσταται. ὅρα ἰδοὺ τὴν θέσιν.

τροχαϊκὰ ἴαμβος

— ◡ · — — · — ◡ · — — · — ◡ · ◡ — ·

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον ἰαμβέλεγος, ἀσυνάρτητα ταῦτα
ἐλέγομεν καλεῖσθαί σοι τοῖς ἀνωτέρω τόποις·[54]
πλὴν δὲ καὶ μετατέθειται κατ' ἀρχὰς ἡ ἐσχάτη.

ἰαμβικὰ δακτυλικὰ

— — · ◡ — · — · — — ◡ ◡ · — ◡ ◡ · — ·

Περὶ τοῦ ἑβδόμου κώλου.

Ἕβδομον Εὐριπίδειον ληκύθιον εἰ θέλεις.

τροχαϊκὰ

— ◡ · — ◡ — ◡ · — ·

Περὶ τοῦ ὀγδόου κώλου.

Ὄγδοον προσοδιακὸν ὑπερκατάληκτόν τε
καὶ δίμετρον ὑπάρχειν σοι, ἀλλ' ἀπὸ τῶν μειζόνων.[55]

ἰωνικὸς χορίαμβος συλλαβὴ

— — ◡ ◡ · — ◡ ◡ — · —

[54] ἐμοὶ δοκεῖ προσοδιακὸν εἶναι καὶ τοῦτο ἐξ ἐπιτρίτου β' χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλάσσονος τρίμετρον ἀκατάληκτον. — ◡ — — · — ◡ ◡ — · ◡ ◡ — — ·

[55] τοῦτο καὶ ἀναπαιστικὸν ἐστὶν ἐφθημιμερὲς σπονδείου ἀρχομένου,

— — · ◡ ◡ — · ◡ ◡ — · — ·

Digitized by Google

Περὶ τοῦ ἐννάτου κώλου.

Ἔνατον Εὐριπίδειον ληκύθιον εἰ θέλεις.

τροχαικὸν ἐφθημιμερὲς

– ⏑ · – – · – ⏑ · – ·

Περὶ τῆς ἐπῳδοῦ.

5 Ἡ ἐπῳδὸς δὲ κέκτηται ταῦτα τὰ κῶλα δέκα.
ἔστιν ἐγκωμιολογικὸν διπενθημιμερές τε
τὸ πρῶτον ἀλλ' ὁλόκληρον· τὴν θέσιν κατανόει.

δακτυλικὰ ἰαμβικὰ

– ⏑ ⏑ · – ⏑ ⏑ · – · ⏑ – ⏑ – · – ⏑ ·

Περὶ τοῦ δευτέρου κώλου.

10 Τὸ δεύτερον δακτυλικὸν καὶ ἀκατάληκτόν γε
καὶ τρίμετρον τυγχάνει σοι· ὁ τρίτος δὲ σπονδεῖος.

δακτυλικὰ

– ⏑ ⏑ · – ⏑ ⏑ · – –

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον Εὐριπίδειον, ἔμαθες τὸ τοιοῦτον.

15 τροχαϊκὰ

– ⏑ · – ⏑ · – ⏑ · – ·

Περὶ τοῦ τετάρτου κώλου.

Τὸ τέταρτον ἀναπαιστικὸν βραχυκατάληκτόν τε
ὡς τρίμετρον καθίστασθαι· κατὰ δὲ συζυγίαν·
σύνοιδας γὰρ ἐν σεαυτῷ ἀκούσας περὶ τούτου
20 συζυγίαις μετρούμενον· ἡ θέσις ἐνταυθοῖ σοι.

ἀναπαιστικὰ

⏑ ⏑ – · – – · ⏑ ⏑ – · ⏑ ⏑ – · ⏑ ⏑ – ·

Digitized by Google

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον προσῳδιακὸν ὑπερκατάληκτόν τε.[56]

ἰωνικὸς χορίαμβος συλλαβὴ

– – ⏑ ⏑ · – ⏑ ⏑ – · –

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον δὲ τροχαϊκὸν καὶ δίμετρον ὑπάρχει, 5
πρὸς τούτοις ἀκατάληκτον· ἴδε τανῦν τὴν θέσιν.

τροχαϊκὰ

– ⏑ · – ⏑ · – ⏑ · – ⏑ ̄ ·

Περὶ τοῦ ἑβδόμου κώλου.

Ἕβδομον ἰαμβέλεγος, τῆς πρώτης δὲ λειπούσης.[57]

ἰαμβικὰ δακτυλικὰ 10

– · ⏑ – · – · – ⏑ ⏑ · – ⏑ ⏑ · ⏑ –

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον Πινδαρικὸν ἀπὸ Στησιχορείου·
τρίμετρον δὲ τροχαϊκὸν, ἴαμβος τελευταῖος.

τροχαικὸν ἀκαταληκτὸν ἴαμβος

– ⏑ · – – · – ⏑ · – – · – ⏑ · ⏑ – ·

Περὶ τοῦ ἐννάτου κώλου. 15

Ἔννατον Στησιχόρειον καὶ καθαρὸν ὑπάρχει·
ὁ τελευταῖος γάρ ἐστι τροχαῖος πρὸς τοῖς ἄλλοις.

τροχαικὸν

– · ⏑ · – – · – ⏑ · – – . – ⏑ . – ⏑ ̄ .

Περὶ τοῦ δεκάτου κώλου.

Τὸ δέκατον τροχαϊκὸν ἀλλ' ἀκατάληκτόν τι 20
καὶ δίμετρον ὑπάρχει σοι· ἰδού σοι καὶ ἡ θέσις.

τροχαϊκὰ

– ⏑ . – – · – ⏑ . – – ·

56 τοῦτο καὶ ἀναπαιστικὸν ἐστὶν ἐφθημιμερὲς σπονδείου ἀρχομένου,

– – · ⏑ ⏑ – · ⏑ ⏑ – · – ·

57 Ἐμοὶ δοκεῖ ὡς προσῳδιακόν ἐστι καὶ τοῦτο ὅμοιον τῷ ϛ στρῳ. πλὴν καταληκτικόν.

Digitized by Google

Περὶ τοῦ τρισκαιδεκάτου ἐπινικίου τῶν Ὀλυμπίων.

Ἐπείγομαι διδάξων σε περὶ τρισκαιδεκάτου,
οὗπερ τὰ κῶλα ἕνδεκα στροφῆς καὶ ἀντιστρόφου,
τῆς ἐπῳδοῦ δὲ ἕνδεκα· ἅπερ καὶ καταλέξω.
5 τὸ πρῶτον ἀντισπαστικὸν καὶ τρίμετρον τυγχάνει,
πρὸς τούτοις καταληκτικὸν, ἀδιαφόρου πρώτου·
ἐκ πυρριχίου πρῶτος ποὺς, ὁ τρίτος ἐκ τροχαίου·
διὸ καὶ παραβέβασται ὁ τρίτος ποὺς ἐνθάδε·
δέχεται γὰρ ἰαμβικὰς, οὐδόλως δὲ τροχαίους.

10 ἀντίσπαστοι τροχαϊκὰ
⏑ ⏑ – ⏑ · ⏑ – – ⏑ · – ⏑ · – ·

Περὶ τοῦ δευτέρου κώλου.

Δεύτερον Φερεκράτειον ἀπὸ τοῦ Φερεκράτους·
ὑπάρχει δ' ἀντισπαστικὸν ἢ ἐφθημιμερές γε,
ἢ καταλήξει δίμετρον ἐν ἑπτασυλλαβίᾳ.
15 τὸ πρῶτον ὁ ἀντίσπαστος, διάφορος ὁ ποὺς δέ.
ἐκ γὰρ τροχαίου ἄρχεται ἑνὸς τῶν δισυλλάβων.

ἀντισπαστικὰ
– ⏑ – ⏑ · ⏑ – – ·

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον δὲ ἰαμβικὸν βραχυκατάληκτόν τε
20 ὡς τρίμετρον καθίστασθαι· δίμετρος τρίβραχυς δὲ,
ὁ τέταρτος δὲ ἄτακτος· σπονδεῖος γάρ σοι κεῖται·
οὕτως γὰρ οἱ μελοποιοὶ ἐκδέχονται τὸ μέτρον[58].

ἰαμβικὰ
⏑ – · ⏑ ⏑ ⏑ · ⏑̄ – · – – ⏑ – ·

Περὶ τοῦ τετάρτου κώλου.

25 Τὸ τέταρτον ἰαμβικὸν βραχυκατάληκτόν τε,
ὡς τρίμετρον ὑπάρχειν σοι καὶ καθαρὸν τὸ μέτρον.

ἰαμβικὰ
⏑̄ – · ⏑ – · ⏑̄ – · ⏑ – · ⏑ – ·

58 Ἐμοὶ δοκεῖ ἐπιωνικὸν εἶναι τὸ κῶλον τρίμετρον καταληκτικὸν ἐκ παιῶνος β' ἰωνικοῦ καὶ τροχαϊκῆς συζυγίας καταληκτικόν. ⏑ – ⏑ ⏑ · ⏑ ⏑ – – · – ⏑ –

Digitized by Google

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον περιοδικὸν ἰάμβοις καὶ τροχαίοις·
ἀνάπαιστος ὁ πρῶτος πούς, ἴαμβος μετὰ ταῦτα,
ἐν δέ γε τοῖς τροχαϊκοῖς, ὁ δεύτερος δάκτυλος.

ἀνάπαιστος ⏑ ⏑ – · ἴαμβος ⏑ – . τροχαϊκὰ – ⏑ · – ⏑ ⏑ · – ⏑ · 5

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον ἐπιωνικόν, πρῶτος ἐξ ἰαμβείας
τῆς συζυγίας ἐστὶ γάρ, ἰωνικὰ δὲ εἶτα,
καὶ ἔπειτα τροχαϊκὰ ἰωνικοῖς οἰκεῖα.

ἰαμβικὰ – – · ⏑ – ἰωνικὸς ⏑ ⏑ – – · τροχαϊκὰ – ⏑ · ⏑̄ – 10

Περὶ τοῦ ἑβδόμου κώλου.

Τὸ ἕβδομον δακτυλικὸν καὶ πενθημιμερές γε.

δακτυλικὰ
– ⏑ ⏑ · – ⏑ ⏑ · – ·

Περὶ τοῦ ὀγδόου κώλου.

Ὄγδοον ἐπιχοριαμβικὸν ἐκ διποδίας 15
πρώτης οὔσης τροχαϊκῆς· χορίαμβος εἶτά σοι
βραχεῖαν τὴν κατάληξιν ὡς λήξιν κεκτημένος.

τροχαϊκὰ – ⏑ · – ⏑̄ · χορίαμβος – ⏑ ⏑ ⏑̄ ·

Περὶ τοῦ ἐννάτου κώλου.

Ἔνατον προσοδιακὸν ἀπὸ τῶν ἐλαττόνων, 20
εἰ βούλει δ' ἀνάπαιστον βραχυκατάληκτόν τι,
ὡς εἶναι δίμετρον αὐτό· ὅρα δὲ καὶ τὴν θέσιν.[59]

ἰωνικὸν
⏑ ⏑ ⏑̄ . ⏑̄ · ⏑̄ . ⏑ ⏑ ⏑̄ : χοριαμβικὰ

[59] Προσοδιακόν ἐστι καὶ τοῦτο δίμετρον ἀκατάληκτον – ⏑ ⏑ – · – – – . ⏑ ⏑̄ . ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἢ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον.

Digitized by Google

Περὶ τοῦ δεκάτου κώλου.

Δέκατον Εὐριπίδειον ληκύθιον εἰ βούλει·
ὁ πρῶτος ποὺς δὲ δάκτυλος, ὁ τρίτος δὲ τροχαῖος.

τροχαϊκὰ

— ◡ ◡ · — — · — ◡ · ⏑̄ .

5 ### Περὶ τοῦ ἑνδεκάτου κώλου.

Καὶ ἐπιχοριαμβικὸν ὑπάρχει ἐκ τροχαίων
τὸ κῶλον τὸ ἑνδέκατον· ἡ θέσις ἐνταυθοῖ σοι.

τροχαϊκὸν χορίαμβος

— ◡ · — — · — ◡ ◡ — ·

Περὶ τῆς ἐπωιδοῦ.

10 Ἀλλ' ἄγε καὶ τὴν ἐπῳδὸν ἐγκαταρίθμει μέτρῳ,
τὸ πρῶτον προσοδιακὸν καὶ δίμετρόν ἐστί σοι
ἀλλὰ καὶ ἀκατάληκτον τῆς μοι βραχείας οὔσης.

ἰωνικὸς χορίαμβος

— — ◡ ◡ · — ◡ ◡ — · — ·

Περὶ τοῦ δευτέρου κώλου.

15 Καὶ ἐγκωμιολογικὸν τὸ δεύτερον ὑπάρχει.

δακτυλικὰ ἰαμβικὰ

— ◡ ◡ · — ◡ ◡ · — · — — · ◡ — · ⏑̄ ·

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον δὲ τροχαϊκὸν ὑπερκατάληκτόν τε
καὶ δίμετρον καθίσταται· δάκτυλοι δὲ ἐν τούτῳ
20 ὁ τρίτος καὶ ὁ τέταρτος οἰκεῖοι τοῖς τροχαίοις.

τροχαϊκὰ συλλαβὴ

— ◡ · — — · — ◡ ◡ · — ◡ ◡ · —

Περὶ τοῦ τετάρτου κώλου.

Τὸ τέταρτον προσοδιακὸν τροχαίου ἀρχομένου,
σπονδείου μετὰ ταῦτα δὲ, εἶτα καὶ χοριάμβου.

25 τροχαῖος χορίαμβος

— ◡ · — — · — ◡ ◡ · ⏑̄

Digitized by Google

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον δὲ ἰωνικὸν ἀλλ' ἀπὸ ἐλασσόνων,
δίμετρον ἀκατάληκτον· ἴδε ἰδοὺ τὴν θέσιν.

ἰωνικὰ

⏑ ⏑ – – · ⏑ ⏑ – – ·

Περὶ τοῦ ἕκτου κώλου. 5

Τὸ ἕκτον Εὐριπίδειον τὸ καὶ ληκύθιόν σοι.

τροχαϊκὰ

– ⏑ · – ⏑ · – ⏑ · – ·

Περὶ τοῦ ἑβδόμου κώλου.

Τὸ ἕβδομον τροχαϊκὸν καὶ δίμετρον ὑπάρχει,
καὶ ἀκατάληκτον ἐστίν· ὅρα ἰδοὺ τὸ κῶλον. 10

τροχαϊκὰ

– ⏑ · – – · – ⏑ · – – ·

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον δακτυλικὸν καὶ πενθημιμερές γε.

δακτυλικὰ

– ⏑ ⏑ · – ⏑ ⏑ · – ·

Περὶ τοῦ ἐννάτου κώλου. 15

Ἔνατον ἐπιωνικόν, ἀλλ' ἄτακτον τυγχάνει·
ἔχει γὰρ ἐν ἰαμβικοῖς τὸν δεύτερον σπονδεῖον
ὥσπερ καὶ παρ' Εὐπόλιδι ἐν τῷ χρυσῷ τῷ γένει.

ἰαμβικὸν ἰωνικὸν ἰαμβικὸν ἰωνικὸν
ὦ καλλ. λίστη. πόλι. πασῶν. ὅσας. Κλέων ἐφορᾷ. 20

σπονδεῖος ἐστι γὰρ ἰδοὺ τὸ λίστη ἐν δευτέρῳ.
ὑπάρχει τοίνυν καθεξῆς ἐν τουτῳὶ τῷ κώλῳ
ἰαμβικὴ συζυγία ἔχουσα τὸν σπονδεῖον
καὶ συζυγίας ἥμισυ, τὸν ἴαμβον δὲ λέγω,
εἶθ' οὕτως τὸ ἰωνικὸν τὸ ἀπὸ τῶν μειζόνων. 25

ἰαμβικὰ ἴαμβος ἰωνικὸς
⏑ – · – – · ⏑ – · – – ⏑ ⏑ ·

Digitized by Google

Περὶ τοῦ δεκάτου κώλου.

Δέκατον Εὐριπίδειον· εἴπομεν τούτου πέρι.

τροχαϊκὰ

– ⏑ · – – · – ⏑ · – ·

Περὶ τοῦ ἑνδεκάτου κώλου.

5 Τροχαϊκὸν καὶ δίμετρον καὶ ἀκατάληκτόν γε
ὑπάρχει τὸ ἑνδέκατον· θέσις ἰδού σοι κεῖται.

τροχαϊκὰ

– ⏑ · – – · – ⏑ · – – ·

Περὶ τοῦ τεσσαρεσκαιδεκάτου ἐπινικίου τῶν Ὀλυμπίων.

Οὐκ ἄδηλον καὶ Πίνδαρος ἡ λύρα ἡ Θηβαία
10 μὴ μόνον ψάλλων ἐπῳδοῖς, καθὼς ἔφθημεν γνόντες,
ἀλλά γε μονοστροφικῆς τὸ μέλος μεθαρμόζων.
ἔγνως πρὸ τούτου προφανῶς τὸ εἶδος τὸ τοῦ πέμπτου
ἐν ταῖς τρισὶ περικοπαῖς μονόστροφον ὑπάρχον·
πλὴν ὅμοιαι περικοπαὶ ἐτύγχανον ἐκείνῳ,
15 ἀνόμοιαι ἐνταῦθα δὲ, οὐ τρεῖς ἀλλὰ καὶ δύο.
καὶ γὰρ ἑνδέκα καὶ ὀκτὼ συνίσταται τὸ πρῶτον.
τὸ δεύτερον δὲ σύγκειται κώλοις ἑπτὰ καὶ δέκα·
ἀλλ' εἴπομεν τὰ πρῶτά σοι καὶ πρῶτον ἀριθμοῦντες
τὸ πρῶτον Ἱππωνάκτειον ἢ Σαπφικὸν εἰ θέλεις.
20 Ἱππώνακτος ἡ χρῆσις γὰρ, εὕρημα τῆς Σαπφοῦς δέ.
ἔστι δ' ἐννεασύλλαβον ἐξ ἀντισπάστων δύο,
καὶ συλλαβῆς τῆς ὕστερον τελούμενον τὸ μέτρον.
ἐνταῦθα δ' ἀδιάφορος ἀντίσπαστος ὁ πρῶτος·
ἔστι δὲ γὰρ ἰαμβικὴ ἡ πρώτη συζυγία
25 ἐκ σπονδείου ἰάμβου τε· ὁ δεύτερος δὲ πάλιν
ἀντίσπαστος· ἐκ πρώτου δὲ ποδὸς τοῦ πυρριχίου.

ἀντίσπαστοι συλλαβὴ

– – ⏑ – · ⏑ ⏑ – ⏑ · –

Digitized by Google

Περὶ τοῦ δεττέρου κώλου.

Δεύτερον ἐπιωνικὸν καὶ τρίμετρον ὑπάρχει·
ἔστι καὶ καταληκτικὸν ἐκ πρώτης ἰαμβείας.

ἰαμβικὴ συζυγία ἰωνικὰ ἀπ' ἐλάσσονος
— — ⏑ — · ⏑ ⏑ — — · — ⏑ ⏑ ·

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον Φερεκράτεων· διπλοῦν ἀντὶ ἁπλοῦ δέ·
τὸ πρῶτον μὲν ὁλόκληρον· δεύτερον ἀτελές δέ·
μέτρον τὸ Φερεκράτους γὰρ ἀντίσπαστοι πληροῦσι.
δίμετρόν ἐστι τοῦτο δέ· πλὴν ἀλλ' ἐν καταλήξει
εἰ βούλει ἐφθημιμερὲς, ἀλλ' ἀντισπαστικόν γε,
ἀριθμουμένων τῶν ποδῶν κατὰ δισυλλαβίαν.
τὸ πρῶτον Φερεκράτειον ἄρχεται ἐκ σπονδείου.
εἶτα τροχαίου κατ' ἀρχὰς τοῦ ἄλλου ἀντισπάστου.
ὁ πρῶτος ποὺς γὰρ τρέπεται σχήμασιν δισυλλάβων.
δεύτερον Φερεκράτειον ἐξ ἀντισπάστου ἔστιν·
εἰσὶ καὶ δύο συλλαβαὶ ἥμισυ ἀντισπάστου,
πρὸς δὲ τὸ Φερεκράτειον συλλαβὴ λείπει μία.
ἀλλ' ὅρα τὴν καταγραφὴν τοῦ νοῦ ἐξηγουμένου·
Φερεκράτειον πρῶτον, Φερεκράτειον δεύτερον.

λειπούσης συλλαβῆς
— — — ⏑ · — ⏑ — · ⏑ — ⏑ ⏑ · — — ·

Περὶ τοῦ τετάρτου κώλου.

Τὸ τέταρτον παιωνικὸν δίμετρον καταλήξει.

τέταρτοι παιῶνες
⏑ ⏑ ⏑ — · ⏑ ⏑ ⏑ ·

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον ἐπιωνικὸν τρίμετρον καταλήξει,
ἐκ πρώτης τῆς ἰαμβικῆς ἰωνικῶν δευτέρων,
ἀλλ' ἀπ' ἐλάσσονος εἰσὶ, δεύτερον ἐκ τροχαίου.[60]

ἰαμβικὰ ἰωνικὰ ἀπ' ἐλάσσονος
⏑ — · ⏑ — · ⏑ ⏑ — ⏑ · — ⏑ — ·

[60] τοῦτο ὡς ἐμοὶ δοκεῖ καὶ παιωνικὸν ἐστὶ κρητικὸν λεγόμενον· ἐκ γὰρ β' σύγκειται κρητικῶν — ⏑ — · — ⏑ — ·

Digitized by Google

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον ἑξασύλλαβον δακτύλων διποδία.

δάκτυλοι

– ◡ ◡ · – ◡ ◡ ·

Περὶ τοῦ ἑβδόμου κώλου.

5 Ἐκ δύο τῶν παιωνικῶν τὸ ἕβδομον ὑπάρχει,
τοῦ πρώτου πρώτου παιῶνος, δευτέρου τοῦ δευτέρου,
καὶ δὴ ἐκ πενθημιμεροῦς· ἀλλ' ἀντισπαστικοῦ γε.
τοῦτο τὸ πενθημιμερὲς δοχμιακὸν καλεῖται
ἔκ τινος ἔθους οὕτως δὲ, ἢ ἐκ τοῦ εὑρηκότος.[61]

10 πρῶτος παιὼν δεύτερος παιὼν ἀντισπαστικὸν πενθημιμερές.

– ◡ ◡ ◡ · ◡ – ◡ ◡ · – ◡ – ◡ · –

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον τροχαϊκὸν ἑφθημιμερὲς δ' ἔστι·
καλεῖται δ' Εὐριπίδειον τὸ καὶ ληκύθιόν πως.

τροχαϊκὰ

– ◡ · – – · – ◡ · – ·

15 ### Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ἔννατον ἐκ δακτυλικῆς τῆς διποδίας ἔστι,
πρὸς τούτοις πενθημιμεροῦς ὄντος ἐκ τῶν τροχαίων.

διποδία δακτυλικὴ τροχαϊκὰ

– ◡ ◡ · – ◡ ◡ · – ◡ · – ◡ · ◡̄

Περὶ τοῦ δεκάτου κώλου.

20 Δέκατον ἀντισπαστικὸν δίμετρον καταλήξει·
τὸ ὅλον γὰρ ἀντίσπαστος τροχαϊκὴ κατάκλεις.

ἀντίσπαστος τροχαῖος

◡ – – ◡ · – ◡ – ·

61 τοῦτο ἐμοὶ δοκεῖ ἐκ δύο κρητικῶν ἐστι καὶ ἀντισπάστου καὶ δύο συλλαβῶν ἢ μιᾶς κατὰ συνίζησιν· ἵν' εἴη δοχμιακὸν τὸ ἀντισπαστικόν,

– ◡ – · – ◡ – · ◡ – – ◡ · ◡ ◡ ·

Digitized by Google

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ἑνδέκατον ἰωνικὸν ἀλλ' ἀπὸ τῶν μειζόνων,
δίμετρον καταληκτικὸν κατὰ δισυλλαβίαν·
καλεῖται δ' ἐφθημιμερές. ὅρα ἰδοὺ τὴν θέσιν.

ἰωνικὰ 5

— — ◡ ◡ · — ◡ ◡ ·

Περὶ τοῦ δωδεκάτου κώλου.

Δωδέκατον δακτυλικὸν καὶ πενθημιμερές γε.

δακτυλικὰ

— ◡ ◡ · — ◡◡ · — ·

Περὶ τοῦ τρισκαιδεκάτου κώλου.

Δίμετρον δὲ τροχαϊκὸν τὸ τρισκαιδέκατόν σοι. 10

τροχαϊκὰ

— ◡ . — ◡ · — ◡ . — — .

Περὶ τοῦ τεσσαρεσκαιδεκάτου κώλου.

Τὸ τεσσαρεσκαιδέκατον συγκείμενόν μοι βλέπε
ἐκ βάσεως ἰωνικῆς τῆς ἀπ' ἐλάσσονός γε,
τροχαίου πενθημιμεροῦς τὸ ὅλον ἐν τῇ θέσει. 15

ἰωνικὸς τροχαϊκὰ

◡ ◡ — — . — ◡ · — ◡ . — .

Περὶ τοῦ πεντεκαιδεκάτου κώλου.

Τὸ δὲ πεντεκαιδέκατον κατὰ δισυλλαβίαν·
τὸ σύμπαν ἐφθημιμερὲς ἰωνικὸν καλεῖται·
ἔστι δὲ ἀπ' ἐλάσσονος ὁ πρῶτός σοι τροχαῖος. 20

ἰωνικὰ [62]

— ◡ — — · ◡ ◡ — ·

Περὶ τοῦ ἑκκαιδεκάτου κώλου.

Ἐκ βάσεως ἰωνικῆς τὸ ἑκκαιδέκατόν σοι
τῆς ἀπ' ἐλάσσονος αὐτῆς, ἰαμβικοῦ δευτέρου

[62] ἰαμβικὰ Cod. B.

Digitized by Google

ἡμιολία καὶ αὐτοῦ τρίποδος περιόδου·
οἱ τρεῖς δὲ ἡμιόλιον τελοῦσιν ἐν ἰάμβοις,
οἱ δύο πόδες συζυγία, ὁ εἷς ἥμισυς ταύτης,
τὸ ὅλον ἡμιόλιον, ὅλον καὶ ἥμισυ γὰρ
5 ἔστι καὶ ἄτακτον αὐτὸ τὸ ἰαμβικὸν λέγω·
ἐν γὰρ δευτέρᾳ τίθεται τῇ χώρᾳ ὁ σπονδεῖος,
ὁ ὕστερος ὑπάρχει δὲ ἀνάπαιστος καλῶς γε.[63]

ἰωνικὸς ⏑ ⏑ — ⏑ · ἰαμβικὸν ἡμιόλιον ⏑ — · — — · ⏑ ⏑ — ·

Περὶ τοῦ ἑπτακαιδεκάτου κώλου.

10 Καὶ τὸ ἑπτακαιδέκατον χορίαμβος ὑπάρχει,
δευτέρου πενθημιμεροῦς δευτέρου ἐξ ἰάμβου.

χορίαμβος — ⏑ ⏑ — · ἰαμβικὸν πενθημιμερὲς ⏑ — · ⏑ — · — ·

Περὶ τοῦ ὀκτωκαιδεκάτου κώλου.

Καὶ τὸ ὀκτωκαιδέκατον ἰαμβικὸν ὑπάρχει,
15 πλὴν ἑφθημιμερὲς, ὅρα δὲ καὶ τὴν θέσιν.

ἰαμβικὰ ⏑ — · ⏑ — · — · — ·

Περὶ τοῦ ιζ^ου^.[64] κώλου τοῦ αὐτοῦ ἐπινικίου.

Δεῦρο τὰ ἑπτακαίδεκα ἐν τούτοις καταμέτρει·
τὸ πρῶτον ἀντισπαστικὸν Φαλαίκειον ὑπάρχει·
20 Φαλαίκου δὲ τὸ εὕρημα, ἀντίσπαστος ὑπάρχει
ἡ πρώτη συζυγία σοι, ἰαμβικαὶ αἱ ἄλλαι·
ὑπάρχει δὲ καὶ τρίμετρον πλὴν καταληκτικόν γε·
ἄρχεται δ' ἀντίσπαστος ἐνταῦθα ἐκ τροχαίου.

ἀντίσπαστος — ⏑ — ⏑ · ἰαμβικὴ συζυγία ⏑ — · ⏑ — · ⏑ — · ⏑ ·

63 Ἐμοὶ δοκεῖ ἀναπαίστικον εἶναι καὶ τοῦτο δίμετρον ἀκατάληκτον· εὕρηται γὰρ τοῦ Ἀπόλλωνος τὸ α καὶ μακρὸν, εἰ δὲ βούλει ἔστι ὁ β' ποὺς τρίβραχυς·
⏑ ⏑ — · ⏑ ⏑ ⏑ — · — — · ⏑ ⏑ — · τοῦτο ἰωνικὸν γένοιτ' ἂν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικὸν παίωνος τρίτου ἀρχομένου ἀντὶ ἰωνικοῦ
⏑ ⏑ — ⏑ · ⏑ ⏑ — — · ⏑ ⏑ — ·

64 Sic.

Digitized by Google

Περὶ τοῦ δεττέρου κώλου.

Τὸ δεύτερον χορίαμβος, πρὸς τούτῳ δὲ τυγχάνει
ἰάμβων ἐφθημιμερὲς, ἰδοὺ σκέπει τὴν θέσιν.

χορίαμβος ἰαμβικὸν ἐφθημιμερές
— ◡ ◡ — · ◡ — · ◡ — · — — · ◡ ·

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον Ἀλκμαιώνειον, ἐν συλλαβαῖς τε δέκα·
Ἀλκμαίωνος[64] τὸ εὕρημα, ἔστι δ' ἴαμβοι δύο,
καὶ ἐφεξῆς συντέθειταί δάκτυλοι ἄλλοι δύο.

ἴαμβοι δακτυλικὰ
◡ — · ◡ — · — ◡ ◡ · — ◡ ◡ ·

Περὶ τοῦ τετάρτου κώλου.

Τέταρτον ἀντισπαστικὸν ὑπερκατάληκτόν τε
καὶ δίμετρον ἐκμέμικται σύναμα τοῖς ἰάμβοις,
ὁ δεύτερος ἀντίσπαστος ἐκ δύο γὰρ ἰάμβων.

ἀντίσπαστος ἰαμβικὰ
— ◡ — ◡ · ◡ — · ◡ — · — .

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον χοριαμβικὸν ἰάμβοις μεμιγμένον,
ὁ δεύτερος χορίαμβος, ἐκ δύο γὰρ ἰάμβων.

χορίαμβοι
— ◡ ◡ — · ◡ — · ◡ — ·

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον χοριαμβικὸν ὑπερκατάληκτόν τε
καὶ δίμετρον καθέστηκεν ἰάμβοις μεμιγμένον·
ὁ δεύτερος χορίαμβος, ἐκ δύο γὰρ ἰάμβων.

χορίαμβοι συλλαβὴ
— ◡ ◡ — · ◡ — · ◡ — . —

[64] ἀλμαίωνος Cod. B.

Digitized by Google

Περὶ τοῦ ἑβδόμου κώλου.

Ἕβδομον ἀντισπαστικὸν δίμετρον καταλήξει·
τροχαϊκὴ κατάκλεις δὲ ὑπάρχει ἐν τῷ κώλῳ.

ἀντίσπαστος τροχαῖος συλλαβὴ
⏑ – – ⏑ · – ⏑ · –

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον ἐκ χοριαμβικοῦ προτέρου ὄντος
λῆγον εἰς ἀντισπαστικὸν, ἰδού σοι καὶ ἡ θέσις.[65]

χορίαμβος ἀντίσπαστος
– ⏑ ⏑ – ⏑ ⏑ – ⏑

Περὶ τοῦ ἐννάτου κώλου.

Ἔνατον ἡμιόλια δύο ἐν τούτῳ πέλει·
τὸ πρῶτον ἀναπαιστικὸν, ἀνάπαιστοι τρεῖς ἤγουν,
καὶ δεύτερον ἰαμβικὸν, ἴαμβοι τρεῖς γὰρ δῆλον·
ἔγνως τὸ ἡμιόλιον ἥμισυ ὂν καὶ ὅλον.
ἡ συζυγία λέγεται δύο ποδῶν τὸ ὅλον.

ἀνάπαιστοι ἰαμβικὰ
⏑ ⏑ – · ⏑ ⏑ – · ⏑ ⏑ – · ⏑ – · ⏑ – · – – ·

Περὶ τοῦ δεκάτου κώλου.

Ἀσκληπιάδειον ἐστὶ τὸ δέκατόν μοι κῶλον,
Ἀσκληπιάδου εὕρημα καὶ χρῆσις δ' ἔστι τοῦτο·
ὑπάρχει δ' ἀκατάληκτον καὶ τρίμετρον τὸ μέτρον,
ἐξ ἀντισπάστων δύο τε καὶ ἄλλης συζυγίας,
τῆς ἐσχάτης ἰαμβικῆς, ὁ πρῶτος δὲ τροχαῖος.

ἀντίσπαστοι ἰαμβικὴ συζυγία
– ⏑ – ⏑ · ⏑ – – ⏑ · ⏑ – · ⏑ – ·

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Ἑνδέκατον δακτυλικὴ ὑπάρχει τριποδία,

[65] Καὶ τοῦτο προσοδιακόν ἐστι δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου καὶ ἰωνικοῦ ἀπ' ἐλαττονος – ⏑ ⏑ – · ⏑ ⏑ – – ·

Digitized by Google

εἰ καὶ ἑνὶ σπονδείῳ σοι τὸ μέτρον σκευωρεῖται·
ἔσχον γὰρ ἄδειαν πολλὴν σπονδεῖοι ἐν δακτύλοις.

δακτυλικὰ

– ◡ ◡ . – ◡◡ . – – ·

Περὶ τοῦ δωδεκάτου κώλου.

Δωδέκατον ἰαμβικὸν, ἀλλ' ἐφθημιμερές τι. 5

ἰαμβικὰ

◡ – · ◡ – · ◡ – · – ·

Περὶ τοῦ τρισκαιδεκάτου κώλου.

Τὸ δέ γε τρισκαιδέκατον ἐξ ἀντισπάστου πέλει·
τὸ δ' ἄλλο ἐφθημιμερὲς ἰαμβικὸν τυγχάνει·
ἐκ πυρριχίου δ' ἄρχεται ἀντίσπαστος ὁ πρῶτος. 10

ἀντίσπαστος ἰαμβικὰ

◡ ◡ – ◡ · ◡ – · ◡ – · ◡ – · –

Περὶ τοῦ τεσσαρεσκαιδεκάτου κώλου.

Τὸ τεσσαρεσκαιδέκατον Γλυκώνειον ὑπάρχει.
ἔστι δὲ ἀκατάληκτον δίμετρον ἀντισπάστοις·
ἐνταῦθα δὲ καὶ ἴαμβοι ἀναμὶξ ἀντισπάστοις· 15
ὁ δεύτερος ἀντίσπαστος ἐκ δύο γὰρ ἰάμβων.

ἀντισπαστικὰ

◡ – – ◡ · ◡ – · ◡ – ·

Περὶ τοῦ πεντεκαιδεκάτου κώλου.

Τὸ δὲ πεντεκαιδέκατον ἰαμβικὸν τυγχάνει
δίμετρον ἀκατάληκτον, ἄρτιοι δὲ οἱ δύο· 20
ὁ δεύτερος καὶ τέταρτος ἀνάπαιστοι εἰσί σοι.

ἰαμβικὰ

– – . ◡ ◡ – · – – · ◡ ◡ ·

Περὶ τοῦ ἑκκαιδεκάτου κώλου.

Τὸ ἑκκαιδέκατον ἐστὶν ἐκ χοριάμβου πρώτου,
δευτέρου δ' ἐφθημιμερεῦς ἰαμβικοῦ τὸ ὅλον. 25

χορίαμβος ἰαμβικὸν ἐφθημιμερὲς

– ◡ ◡ – · ◡ – · ◡ – · ◡ – · – ·

Digitized by Google

Περὶ τοῦ ἑπτακαιδεκάτου κώλου.

Τὸ δὲ ἑπτακαιδέκατον ἰαμβικὸν ὑπάρχει·
ἀλλ' ἔστι πενθημιμερὲς, ὅρα καὶ γὰρ τὸ κῶλον.

Περὶ τοῦ πρώτου τῶν Πυθίων ἐπινικίου.

Τοῦ πρώτου τῶν Πυθίων δὲ εἶδους ἐπινικίου
ἡ στροφὴ καὶ ἀντίστροφος δώδεκα κώλων πέλει·
ἐκ κώλων πεντεκαίδεκα ἡ ἐπῳδὸς δέ ἐστιν.
πρῶτον τροχαίου δίμοιρον· τέσσαρες γὰρ οἱ πόδες·
δίμετρον ἀκατάληκτον τροχαϊκόν τε λέγε.

τροχαϊκὰ

– ◡ ◡ · – – · – ◡ · – – ·

Περὶ τοῦ δεττέρου κώλου.

Τὸ δεύτερον δακτυλικὸν καὶ πενθημιμερές γε.

δακτυλικὰ

– ◡ ◡ · – ◡ ◡ · – .

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον ὀκτωσύλλαβον δίμετρον ἐκ τροχαίων,
καὶ ἐπιχοριαμβικὸν καὶ ἀκατάληκτόν τι,
ἐνδέον καὶ τοῦ Σαπφικοῦ τρισὶ ταῖς συλλαβαῖς δε·
ἐλλείπει ἡ κατάκλεις γὰρ ἴαμβος συλλαβή τε.
εἴπομεν γὰρ τὸ Σαπφικὸν ἔκ τε τροχαίων πέλειν,
δευτέρου χοριάμβου τε ἰάμβου συλλαβῆς τε·
ὡς ὃν ἑκδεκασύλλαβον τοῦτο τὸ κῶλον ὅλον.
ἐνταῦθα δὲ τροχαϊκὴ ὑπάρχει συζυγία·
χορίαμβος ὁ δεύτερος, ἡ δὲ κατάκλεις λείπει.

τροχαϊκὴ — χορίαμβος

– ◡ · – – · — ◡ – – ◡̲

Περὶ τοῦ τετάρτου κώλου.

Τὸ τέταρτον Πινδαρικὸν ὑπερκατάληκτόν τε
καὶ τρίμετρον καθέστηκεν, ἀλλ' οὐκ ἐξ ἀντισπάστου.
τοιοῦτον τὸ Πινδαρικὸν εἴπομεν γὰρ ὑπάρχειν·
εἰ μὲν ἑνδεκασύλλαβον ἐξ ἀντισπάστου εἶναι,

Digitized by Google

δευτέρου χοριάμβου τε ἰάμβου συλλαβῆς τε·
εἰ δέ γε ἔχειν συλλαβὰς τρεῖς πρὸς τοῖς δέκα πάλιν,
ἐξ ἀντισπάστου πρώτου τε δευτέρου χοριάμβου,
καὶ τρίτου τοῦ ἰωνικοῦ καὶ συλλαβῆς πρὸς τούτοις.
ἐνταῦθα δὲ ἡ ἄρχουσα ἀντίσπαστος οὐκ ἔστιν, 5
ἵν' εἶχε καὶ Πινδαρικὸν καὶ καθαρὸν καλεῖσθαι·
ἀλλ' ἔστι σοι τροχαϊκὴ ἡ πρώτη συζυγία.
Σαπφοῦς δὲ τοῦτο ἴδιον καὶ Σαπφικοῦ τοῦ μέτρου.
ἐκ Σαπφικοῦ δὲ ἄρχεται Πινδαρικὸν ὑπάρχον.

τροχαϊκὸν	χορίαμβος	ἰωνικὸς	συλλαβὴ	10
– ⏑ – ⏑̄ .	– ⏑ ⏑ – .	⏑ ⏑ – – .	– .	

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον ἀντισπαστικὸν ὑπερκατάληκτόν τε
καὶ δίμετρον καθέστηκε· διάφοροι οἱ πόδες
τῶν ἀντισπάστων οἱ πρῶτοι, σπονδεῖοι γὰρ εἰσί γε.

ἀντίσπαστοι 15

– – – ⏑ · – – – ⏑ . – ·

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον σύνθετόν ἐστιν ἐκ προσοδιακοῦ τε
καὶ δευτέρας ἰαμβικῆς τελούσης συζυγίας.

ἰωνικὰ	χορίαμβος	ἰαμβικὴ συζυγία
– – ⏑ ⏑ ·	– ⏑ ⏑ – ·	⏑̄ – · ⏑ – ·

Περὶ τοῦ ἑβδόμου κώλου. 20

Τὸ ἕβδομον Πινδαρικὸν ἐκ Σαπφικοῦ δὲ ἔστι.
ἡ πρώτη γὰρ τροχαϊκὴ οὐκ ἀντισπαστική τις·
ἔστι δ' ἑνδεκασύλλαβον καὶ τέλειον τὸ μέτρον·
κατάκλεις παραβέβασται· οὐχὶ ἰαμβικὴ γάρ,
ἀλλ' ἔστιν ἀντ' ἰάμβου τε καὶ συλλαβῆς ἐσχάτης· 25
μόνος εἷς τις ἀνάπαιστος κείμενος ἐν ἐσχάτοις.

τροχαϊκὸν	χορίαμβος	ἀνάπαιστος
– ⏑ · – ⏑̄ ·	– ⏑ ⏑ – ·	⏑ ⏑ – ·

Digitized by Google

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον τροχαϊκὸν τρίμετρον καταλήξει.

τροχαϊκὰ

— ◡ · — — · — ◡ · — — · — ◡ · — ·

Τὸ ἔννατον δακτυλικὸν καὶ πενθημιμερές γε·
5 ὁ πρῶτος ποὺς πολλάκις δὲ σπονδεῖός σοι τυγχάνει.

δακτυλικὰ

— ◡◡ · — ◡ ◡ · — ·

Περὶ τοῦ δεκάτου κώλου.

Τὸ δέκατον παρόμοιον ὑπάρχει τῷ ἑβδόμῳ·
Πινδαρικὸν ἐκ Σαπφικοῦ, ἢ Σαπφικὸν εἰ θέλεις.

10 τροχαϊκὸν — ◡ · — — · χορίαμβος — ◡ ◡ — · ἀνάπαιστος ◡ ◡ — ·

Περὶ τοῦ ἑνδεκάτου κώλου.

Δίμετρον προσοδιακὸν ἑνδέκατον ὑπάρχει.

ἰωνικὸς — — ◡ ◡ · χορίαμβος — ◡ ◡ — ·

Περὶ τοῦ δωδεκάτου κώλου.

15 Τὸ δέ γε σοι δωδέκατον τροχαίων διποδία,
εἰ βούλει δὲ μονόμετρον τροχαϊκὸν καλεῖται.

τροχαϊκὸν

— ◡ · — — ·

Περὶ τῆς ἐπῳδοῦ.

Τὸ πρῶτον δὲ τῆς ἐπῳδοῦ δακτυλικὸν ὑπάρχει,
20 τρίμετρον καταληκτικὸν καὶ ἀκατάληκτόν γε.
εἰ ἔστιν ἐσχάτη γὰρ βραχεῖά τις τοῦ κώλου,
τὸ κῶλον καταληκτικόν· ἡ συλλαβὴ γὰρ λείπει
πρὸς τὴν δακτύλου πλήρωσιν· εἰ δ' ἔστι μακρὰ πάλιν,
τὸ κῶλον ἀκατάληκτον, ὁ ἔσχατος σπονδεῖος.

25 δακτυλικὰ

— ◡ ◡ · — ◡ ◡ · — ◡̄ ·

Digitized by Google

Περὶ τοῦ δευτέρου κώλου.

Τὸ δεύτερον τροχαϊκὸν δίμετρον καταλήξει,
ὅ περ καὶ Εὐριπίδειον ληκύθιον καλεῖται.

τροχαϊκὰ
– ⏑ · – ⏑ · – ⏑ · – ·

Περὶ τοῦ τρίτου κώλου.

Τὸ τρίτον προσοδιακὸν καὶ ἀκατάληκτόν τι
δίμετρον, ἀδιάφορος δ' ἡ τελευταία κεῖται.

χορίαμβος ⏑ ⏑ – · ἰωνικὸς – – ⏑ ⏑ ·

Περὶ τοῦ τετάρτου κώλου.

Τὸ τέταρτον Πινδαρικόν, ἡ καταρχὴ Σαπφοῦς δὲ,
ἐκ γὰρ τροχαίων ἄρχεται φημὶ τῆς συζυγίας,
εἶτα κεῖται χορίαμβος, ἀνάπαιστος πρὸς τούτοις.

τροχαϊκὴ – ⏑ · – – · χορίαμβος – ⏑ ⏑ – · ἀνάπαιστος ⏑ ⏑ – ·

Περὶ τοῦ πέμπτου κώλου.

Τὸ πέμπτον δ' ἀκατάληκτον τροχαϊκὸν τυγχάνει,
καὶ δίμετρον καθέστηκεν· ἰδοὺ σοι καὶ τὸ κῶλον.

τροχαϊκὰ
– ⏑ · – – · – ⏑ · – – ·

Περὶ τοῦ ἕκτου κώλου.

Τὸ ἕκτον δὲ ἰωνικὸν ἀρχόμενον τροχαίοις
δίμετρον καταληκτικὸν ἀπὸ τῶν ἐλασσόνων.

ἰωνικὰ
– ⏑ · – ⏑ · ⏑ ⏑ – ·

Περὶ τοῦ ἑβδόμου κώλου.

Ἕβδομον προσοδιακὸν, συνάμα συζυγία
ἰαμβικὴ καθίσταται· ἰδοὺ σοι καὶ ἡ θέσις.

ἰωνικὸς – – ⏑ ⏑ · χορίαμβος – ⏑ ⏑ – · ἰαμβικὴ – – · ⏑ – ·

Digitized by Google

Περὶ τοῦ ὀγδόου κώλου.

Τὸ ὄγδοον τροχαϊκὸν συνάμα χοριάμβῳ,
καὶ ἐπιχοριαμβικὸν καλεῖταί σοι τὸ κῶλον·
ἀντὶ τροχαίου πρῶτος ποὺς δάκτυλος κεῖται ὧδε.

5 τροχαϊκὸν χορίαμβος
– ⏑ ⏑ · – – · – ⏑ ⏑ – ·

Περὶ τοῦ ἐννάτου κώλου.

Τὸ ἔνατον ἰωνικὸν ἀπὸ τῶν ἐλασσόνων
δίμετρον καταληκτικὸν, δεύτερον ἐκ τροχαίου.

ἰωνικὸς ἐκ τροχαίου ἰωνικὸς
⏑ ⏑ – – · – ⏑ – ·

10 ### Περὶ τοῦ δεκάτου κώλου.

Τὸ δέκατον Πινδαρικὸν, ἡ καταρχὴ Σαπφοῦς δέ·
ἐκ γὰρ τροχαίου ἄρχεται σπονδείου συζυγίας,
χορίαμβός τε σὺν αὐτοῖς· ἔσχατον δὲ ἐν τούτῳ.

τροχαϊκὰ συζυγία χορίαμβος ἰωνικὸς
– ⏑ · – ⏑ · – ⏑ ⏑ – · ⏑ ⏑ – – ·

15 ### Περὶ τοῦ ἑνδεκάτου κώλου.

Δίμετρον τὸ ἑνδέκατον τροχαϊκὸν ὑπάρχει,
καὶ ἀκατάληκτον ἐστιν, πρῶτος δὲ χορεῖος.

τρίβραχυς χορεῖος τροχαϊκὰ
⏑ ⏑ ⏑ · – – · – ⏑ · – – ·

Περὶ τοῦ δωδεκάτου κώλου.

20 Ὅμοιον τὸ δωδέκατον τῷ ἑνδεκάτῳ πέλει.

τροχαϊκὰ
– ⏑ · – – · – ⏑ · – – ·

Περὶ τοῦ τρισκαιδεκάτου κώλου.

Τὸ δέ γε τρισκαιδέκατον δακτυλικὸν ὑπάρχει,
ἀλλ' ἐστὶ πενθημιμερές· ἰδού σοι καὶ ἡ θέσις.

25 δακτυλικὰ
– ⏑ ⏑ · – ⏑ ⏑ · – ·

Digitized by Google

Περὶ τοῦ τεσσαρεσκαιδεκάτου κώλου.

Τὸ τεσσαρεσκαιδέκατον προσοδιακὸν πέλει.

ἰωνικὸς χορίαμβος

⏑ ⏑ – – · – ⏑ ⏑ ⏑ · ⏑̲ ·

Περὶ τοῦ πεντεκαιδεκάτου κώλου.

Τὸ δὲ πεντεκαιδέκατον τροχαϊκὸν τυγχάνει 5
δίμετρον ἀκατάληκτον· ὁ πρῶτος δὲ χορεῖος.

τροχαϊκὰ

⏑ ⏑ ⏑ · – – · – ⏑ · – – ·

Digitized by Google

EXCERPTA PHILOSOPHICA.

1. Περὶ Ἱππομάχου.—Ἐκ τῶν Μάρκου.—Περὶ Γτάρων.
2. Σχόλια εἰς τὰ τοῦ Ἀριστοτέλους Ἠθικὰ Νικομάχεια.
3. Σχόλια τοῦ Κτρίου Στεφάνου εἰς τὴν τοῦ Ἀριστοτέλους τέχνην Ῥητορικήν.
4. Ἐκλογαὶ Διάφοροι.

Digitized by Google

Digitized by Google

ΠΕΡΙ ΙΠΠΟΜΑΧΟΥ[1].

Ἱππομαχος τις ἦν τῶν πάλαι γεγονότων, ἀνὴρ γυμναστής. καί ποτε ἔτυχε συγκαθεζόμενος ἄλλοις ἰδιώταις τῆς τέχνης. ἐπεὶ δὲ ἐπήνουν τινὰ πύκτην ἀγαθὸν εἶναι, ᾧ μόνον σῶμα ὑψηλὸν ἦν καὶ χεῖρες μακραί· Ἱππόμαχος, εἴγε, ἔφη, ἤμελλε καθελεῖν κρεμάμενον τὸν στέφανον· ᾤετο γὰρ ὁ ἀγαθὸς, ὡς ἐδόκει, τέχνην εἶναι, καὶ μελέτην δὲ χερσὶ προσθετέον. οὐ μὲν δὴ πρέπει ἄνδρας φιλοσόφους, φρονεῖν ἥττον Ἱππομάχου τοῦ γυμναστοῦ· ἀλλὰ καὶ ἡμεῖς, ἐπειδὰν ὄχλων σύλλογος ἐπαινεῖ τὸν πλουσιώτατον ὡς ὄντα εὐδαίμονα, λέγομεν, ὅτι, εἴγε ἔδει πρίασθαί ποθεν εὐδαιμονίαν κρεμαμένην. ὁ δὲ αὐτὸς λόγος, ὅστις εὐγένειαν ἐπαινοίη, καὶ δόξαν ἀτιμάζει, ἤτοι ἄλλο τοιοῦτον, ὑφ' οἷς ὑψηλοὶ προσίασι. τούτων γὰρ ὑπ' οὐδενὸς ἡ εὐδαιμονία λαμβάνεται· οὐδὲ ἄν τις τύχῃ τὴν μεγίστην τυραννίδα ἔχων, ὡς ὁ λόγος, μακραὶ τυράννων χεῖρες· ἀλλὰ πρὸς ἄλλα ἴσως μακραί εἰσι· πρὸς δὲ τὸ καθελεῖν εὐδαιμονίαν, οὐκ ἐφικνεῖται πλέον τῶν λόγων· ἔοικε γὰρ, ὡς Ὅμηρος λέγει πάλιν ἐπὶ τῆς πυκτικῆς,

ᾧ δέ κ' Ἀπόλλων[2]
δῴη καμμονίην·

τὴν ἰσχὺν ὀνομάζων ἐμοὶ δοκεῖ, καὶ τὴν ἐμμένουσαν εὐτονίαν ἐν τῷ διαμάχεσθαι.

Τοιούτου τινὸς καὶ ἔτι μᾶλλον τοῖς μὲν φιλοσόφοις, τὸ μὲν ἆθλον εὐδαιμονίας ἐστίν· ἡ δὲ ταύτην λαβεῖν κωλύουσα κακία προβεβλημένη οὐ δύο χεῖρας, ἀλλὰ μᾶλλον ἴσως κατὰ τὸν Βριάρεων· ἡ δὲ νίκη τοῦ καρτερήσαντος πρὸς τὰ πάθη, καὶ ταῦτα καθελόντος· ὁ δὲ ὑπείξας κἂν πλούτῳ, ὡς παρ' Ὁμήρῳ ὁ ἡττηθεὶς

[1] Tria quæ sequuntur opuscula eruta sunt e Cod. Gr. Suppl. N°. 319. fol. 302. qui Chartaceus est et Sæc. XV. Cont. Stobæi Serm. Ethic. et post Theoctisti Sententias ἀποσπασμάτια ista, quæ exstant etiam in Cod. ol. Canonici 69 nunc Bodl. et forsan in aliis Codd. Stobæi, qui sunt Trincavellianæ familiæ. In Parisiensi autem Codice, qui olim ap. Soc. Jes. Colon. asservabatur, hæc opuscula in tabula capitum recensentur post Theoctisti Sententias; in Codice Bodleiano non item; in eo porro pars secundi et ultimum desiderantur.

[2] Cod. Canon. ὅ δέ κ' Ἀπόλλων. ὅ δὲ Ἀπ. Par.

Digitized by Google

τῶν πυκτευόντων καὶ ἐνταῦθα χρυσοῦν ποτήριον ἔχων, ἢ ἀργύρεον, ἤ τι ἄλλο τυχηρὸν δῶρον, ἄγεται ὑφ' ἑτέρων, οὐκ εἰδὼς ὅποι[3]·

κάδδ' ἄλλα φρονέοντα μετὰ σφίσιν ἦσαν ἄγοντες·

οὗ πολλοὶ καταμίξαντες ὡσαύτως[4] τὸν Ἀπελλῆ γενόμενον τῆς φιλοσοφίας.

Ἀλλ' ἄκουσον τὸ τοῦ Κρωβύλου· Ἀθηναῖος ἦν, τοῖς δὲ πολίταις ποτὲ τοῖς αὐτοῦ συνεβούλευε, μὴ προσέχειν τῷ Μακεδόνι Φιλίππῳ, προισχομένῳ τὰ εἰρηνικά. ὡς δὲ ἐθορυβήθησαν αὐτῷ, καί τις ἀναστὰς, δεδιττόμενος εἶπε, πόλεμον εἰσάγεις, Κρώβυλε; καὶ ὅς, οὐ μονόν γε, ἔφη, πόλεμον, ἀλλὰ καὶ θανάτους ἀώρους, καὶ μέλανα ἱμάτια, καὶ δημοσίους ταφὰς, λόγους ἐπιταφίους· εἴγε βούλεσθε μὴ ληρεῖν, ἀλλὰ τοὺς Ἕλληνας ἐλευθερῶσαι, καὶ κτήσασθαι πάλιν αὐτὴν[5] πατρῴαν ἡγεμονίαν[6], ἀπροφασίστως δουλεύοντα κατὰ τὸν Σιμωνίδην· οὐδὲν γάρ που μέγα μικρῷ θεραπεύεται· τὸ δὲ δὴ μέγιστον, ἄλυπος βίος καὶ ἐλεύθερος, οἷος ὅστις ἐπιβουλεύει καὶ διανοεῖται, ὡς ἑαυτὸν ἐλευθερώσων ἐκ τῶν παθῶν τε καὶ τῶν ἐθῶν, καὶ κτησάμενος, ἀνὴρ προσδιανοείσθω, καὶ εἰς ὅ τι χρὴ, οὐ μόνον τὸ Φωκυλλίδειον παθεῖν,

πολλ'[7] ἀέκοντα διζήμενον·

οὐ μόνον τὸ[8] ἐσθλὸν, ἀλλὰ καὶ πονῆσαι πόνους οὐ φαύλους· καὶ πατρίδος αὐτὸν ἀφελέσθαι χρεὼν, καὶ τῆς οὐσίας δι' ἀμέλειαν ἀπολλυμένης, θαῤῥῆσαι, καὶ ἀδοξίαν, καὶ ὀνείδη τὰ ἐπὶ τούτοις, καὶ πατρὸς ὀργὰς, καὶ φίλων ἀποτρεπόντων λόγους, νομίζοντα τῶν τοιούτων ἕκαστον Εὐθυκράτη καὶ Λασθένη, καὶ ἔτι, εἴτις προδοτικώτερος.

Ὅπερ γὰρ ἐπὶ τοῦ Φιλίππου ποιοῦντος προδότας πολλοὺς ἐκ τῶν μετάλλων τῶν ἐν Μακεδονίᾳ, καὶ ἐκ τοῦ χρυσίου τοῦ Φιλιππίου τὸ σιδηροῦν γένος, εἰπεῖν λέγεταί τις, ὡς ἄρα ὁ Φίλιππος πρότερον ἐξανδραποδίσει τοὺς Ἕλληνας, εἶτα ἐξανδραποδιεῖται· ταῦτά ἐστιν ἐπὶ τῆς κακίας εἰπεῖν, πλὴν ὅτι δίδωσι μὲν οὐδὲν, ἀλλὰ καὶ τῷ χρῆσθαι τῶν ἐχόντων ἀφαιρεῖται· ποιεῖ δὲ ἀνδράποδα, καὶ μήποτ' οὐ δούλους μόνον, [ἀλλὰ καὶ ἐθελοδούλους· οἷον ὁ φιλόπλουτος, οὐδενὸς αὐτὸν κηρύττοντος[9],]

3 ὅπῃ Cod. Par. ὅποι Cod. Can. 4 ὡς εἰσαύτως Paris. εἰσαύτως Can.
5 αὖ τὴν Paris. 6 ἡγε ευδαιμονίαν Can. 7 πολλὰ Paris. 8 τὸν Can.
9 Hæc om. Paris.

Digitized by Google

ἀλλὰ λέγει αὐτὸς, ὅτι ὤνιός ἐστιν ἀργυρίου, καὶ νὴ Δία πιπράσκει ἑαυτὸν, οὐ δι' ἀργυρίου πολλάκις, ἀλλ'[10] ἐλπίδος· ὥσπερ ὅταν τῷ[11] πλοῦτον ἔχοντι παρέπηται πρεσβύτῃ θεραπευτικῶς ὀνειρώττων κληρονομήσειν, καὶ ζῶντι δουλεύει[12] πᾶσαν δουλείαν, ἕως ἂν κομίσηται τὴν τιμὴν περὶ[13] νεκροῦ.

Ὁ δὲ ἀκόλαστος, ἑαυτὸν μὲν οὐ πιπράσκει· ἑαυτῷ δὲ ὠνεῖται δεσπότην, ἤτοι τινὰ τῶν ὡραίων λεγομένων, ἢ καὶ δέσποιναν[14] παλλακίδα. καὶ μὴν ὅ, γε δεισιδαίμων, λίθον τινὰ ἐξ ἀγορᾶς ἀράμενος, ἄψυχον δεσπότην γράπτον ἢ τινὰ πλαστὸν ἀλεξίκακον, ἢ μειλίχιον, ἢ κτήσιον ὄνομα θέμενος, τούτου δοῦλός ἐστι· καὶ φρίττων καὶ δεδοικὼς πρόσεισι. καὶ ἐνταῦθα συμβαίνει ὁ λόγος ὀρθὸς, ὃς οὐδένα πολλὰ ὁμολογεῖν τῶν φαύλων ἐλεύθερον εἶναι ἀεί.

Ἀρ' οὖν οὐ μόνον ὁ οἶνος γίνεται τοῖς τρόποις τῶν χρωμένων, ἀλλὰ καὶ πλοῦτος καὶ δόξα, καὶ τῶν τοῦ Διονύσου χορευτῶν. Πλάτων δὲ ὁ κωμῳδοποιὸς, ἔλεγε "τὸν οἶνον μίγνυσθαι τοῖς τῶν "πινόντων τρόποις," οὐ σκώπτων ἐκ τούτου, ὥσπερ ἀεὶ ἁπλῶς τὶς καὶ μὴ μετὰ σπουδῆς λέγων εἴπέ τις. οἷον γὰρ καὶ τὸ πῦρ πάσχει πρὸς τὰ θυόμενα, εἴτε λιβανωτὸς, εἴτε δέρματα, τὴν ὀδμὴν σαφηνίζει τοῦ ἑκατέρου· ταυτὸ δὴ τοῦτο καὶ ὁ οἶνος ποιεῖ. ὁποῖον μὲν ἂν τύχῃ ἦθος ἐν αὐτῷ θυμιώμενον, τοιοῦτος γίνεται· ἡδὺς μὲν ἀγαθῶν πινόντων· ὁ δὲ αὐτὸς εἰς τοὺς αὐτοὺς παροινοῦσι, λυπηρότατος· ἆρα οὖν τοῖς τρόποις τῶν χρωμένων ὁ οἶνος μιγνύμενος κιρνᾶται· οὐ μόνον, ἀλλὰ καὶ πλοῦτος, καὶ δόξα, καὶ ἡγεμονία.

Τὰ γὰρ αὐτὰ πράγματα, μὴ τὰ αὐτὰ φαίνεσθαι, αἴτιον ὁ ἑκάστου τρόπος, οἷον ἐγκιρνάμενος. ὡς ἔχει εὐθὺς ἐπὶ τοῦ πλούτου. μετὰ μὲν γὰρ ἀνδρὸς ὑπερηφάνου, πλοῦτος ὄδωδε[15] βαρύτητος καὶ ὕβρεως, καὶ πάσης ἀηδίας· ὥσπερ ἐν μὲν φειδωλῷ πάλιν, γῆς ὄδωδε καττορυττόμενος· τῷ δὲ ἀγαθῷ ὁμιλήσας, τὸ κάλλιστον ἔχει, δι' ἃς ἀνίησιν εὐεργεσίας. ἀνὴρ ἀγαθὸς πλούτῳ χρώμενος φαιδρύνει πατρίδα, καὶ τεμένη θεῶν κοσμεῖ, καὶ φίλους πεπεδημένους ἐπιλύεται, εὖ ποιῶν τὸν πλοῦτον, ἅτε δὴ ἀγαθοεργὸν ἱστάμενον. τὸν δὲ ἴσον καὶ πλείονα πλοῦτον ἀνόητος καὶ ἀκόλαστος λαβὼν, εἰς μαγειρεία καὶ βάθρα[16] παλλακίδων, καὶ ἑτέρας

10 ἀλλὰ Paris. 11 τὸν. Can. 12 δουλεύειν Can. 13 Leg. παρὰ.
14 δέσποινα Codd. 15 ὄδω δὲ Paris. 16 βάραθρα Canon.

Digitized by Google

τοιαύτας τρυφὰς, μὴ ὅτι δὲ τύφλον, ἀλλὰ καὶ πάντα[15] αἴσχιστον ἀπογράφεται.

Ὡς γὰρ ἐκ τῶν αὐτῶν χρωμάτων, γράφονται μὲν θεῶν καὶ ἡρώων εἰκόνες, οὕτω γράφεται τὰ γελοῖα τῶν πινάκων καὶ ἀκόλαστα, παραπλησίως ἀπὸ χρημάτων τῶν αὐτῶν ὁ μὲν σπουδαῖος καὶ τεχνί- 5 της ἀνὴρ, πόλεις εὖ ποιεῖ, καὶ φίλους· οἱ δὲ τρυφεροὶ ἐκ τοῦ πλούτου, πίθηκοι γίνονται καὶ μῖμοι, καὶ ἀμίδες ἀργυραῖ, καὶ ποδάνιπτρα, καὶ ἄλλαι τοιαῦται ὅμοιαι τοῖς τῶν χρωμένων τρόποις εἰκόνες.

Καὶ πᾶν δὲ ὅτι ἂν λάβῃς πρᾶγμα, τρέπεται ὑπὸ τοῦ χρωμένου, ὥσπερ οἱ ποταμοὶ, δι' ὁποίας ἂν γῆς ῥέωσιν, ἄν τε 10 νιτρώδους[16], ἄν τέ τινος ἀργιλώδους ὁμοιοι φαίνονται, γεύσασθαί τε καὶ ἰδεῖν. ἐπειδὴ γὰρ καὶ ἀγαθῶν, καὶ κακῶν ἐστιν ἀνθρώπων χρήματα καὶ πράγματα, λαμβάνει ἑκάτερα τὴν ὑφήν· ὑπὸ μὲν τῶν ἀγαθῶν, ἀγαθοποιούμενα, ὑπὸ δὲ τῶν κακῶν, κακούμενα. καὶ γὰρ αἵ τε μέλισσαι καὶ αἱ μυῖαι τοῖς αὐτοῖς 15 προσκαθίζουσιν· ἀλλ' αἱ μὲν μέλισσαι ἅτε ποιήτριαι τῶν σοφῶν, ἀπολάβουσαι ὅσον μέτριον, οὐ μιαίνουσι τὸ λοιπὸν, οὐδὲ διαβάλλουσιν, ὥσπερ αἱ μυῖαι, ὁποίων ἂν ἅψωνται σιτίων, ἢ καὶ πεμμάτων, ἀνθρώποις ἄβρωτα καταλείπουσιν· οὐ γὰρ ἐκ καθαρᾶς ὁμιλίας ἔρχονται. καὶ ὁ ἄνθρωπος ὁ μὲν ἐκ ῥυπαρῶν ἐπιτηδευμάτων, 20 οἷον ἕλκους, ἢ τινὸς ὁμοίου φόρτου πενόμενος[17], πλούτῳ προσπεσὼν, ὑπὸ τοῦ πνεύματος καὶ τυχῆς ὡς αὐτοὺς ἀρχὴν ἐπαίνων, ῥυπαίνει τὸ πρᾶγμα· ὅστις δὲ καθαρὸς καὶ ἀκήρατος, ἄντε πλουτῶν τύχῃ, ἄν τε ἐφ' ἡγεμονίας καθεζόμενος, ὁρμώμενος ἀπὸ τῶν ἐν λόγοις λειμώνων[18], καὶ τῆς παρὰ τῆς παιδείας εὐωδίας οἷον 25 μέλισσα, γλυκανεῖ κἀκεῖνα οἷς χρῆται· καὶ ἄλλα τίθησι σοφὰ καὶ τεχνικὰ, πλάττων καὶ καλλιερῶν πόλεις καὶ ναοὺς, καὶ ἀνθρώπων ἀντὶ κακῶν ἀγαθοὺς, ἀντὶ φιλαπεχθημόνων ὁμονοητικοὺς εἶναι. ὅθεν καὶ αἱ κολάσεις, αἱ μὲν ὑπὸ τῶν ἀγρίων, αἱ δὲ ὑπὸ τῶν πράων ἡγεμόνων γινόμεναι, ἐκεῖναι μὲν σφηκῶν ἐοίκασι πληγαῖς[19]· αὗται 30 δὲ μελισσῶν· ὅτι μεγάλα μὲν ποιοῦσιν· αἱ σφῆκες, οὐδὲν δὲ[20] διδόασιν ὠφέλιμον, ὥσπερ οὗτοι οἱ πικροὶ ἡγεμόνες· οἱ δὲ σοφώτεροι, καὶ παίουσι μελισσῶν τρόπον, μικρὰ τῷ κέντρῳ νύττοντες,

15 πάντα (ων) Paris. 16 λιτρώδους Can. 17 γενόμενος Can.
18 λειμόνων Paris. 19 πληγ. ἐοίκασι Can. 20 δὲ om. Can.

Digitized by Google

μεγάλα κέρδη παρέχουσιν· εἴπερ γε τὸ μέγιστον ἀνθρώπῳ κέρδος, οὐ μέλι λαβεῖν ἐστιν, ἀλλ' αὐτὸν γενέσθαι γλυκύτερον καὶ πόλει χρησιμώτερον. οἱ δὲ μειζόνως κακοὶ ὄντες ἐν τῇ πόλει, ὥσπερ ἐν κηρίῳ κηφῆνες, ἀργοί τε καὶ δαπανηροὶ, καὶ διαστατικοὶ τῆς με-
5 λισσῶν ὁμονοίας, παντελῶς ἐξορίζονται τῆς κοινωνίας, πιεζόμενοι μείζονι τῷ κέντρῳ. ἐκεῖνοι μὲν οὖν ὑπὸ τοῦ τῶν μελισσῶν λεγομένου ἡγεμόνος· ἐνταῦθα δὲ ὑπὸ τοῦ κατὰ ἀλήθειαν ἄρχοντος ἀνθρώπων· ὥστε καὶ τἄλλα μὲν πράγματα συνιστῶσιν οἱ χρώμενοι· ἀρχὴν δὲ μάλιστα· τὸ γὰρ αὐτὸ καὶ βαρύτατον φαίνεται
10 ἀνδρὸς ἀγροίκου τε καὶ σκληροῦ, καὶ βιαιότερον ἐσθέντος[21] εἰς ἡγεμονίαν. καὶ πάλιν τοῖς ὑπηκόοις τὸ αὐτὸ κουφότατον, ἂν μὴ φέρηταί τις ὑπὸ τῆς ἀρχῆς, ἀλλ' αὐτὸς φέρῃ τὴν ἀρχήν. δύο δὲ γεγόνασι περὶ ἀρχῆς ἀποφάσεις, Βίαντος καὶ Ἐπαμινώνδου. χρὴ μέντοι καὶ τοὺς ἐπιδήμους[22] ξένους μὴ καθάπαν ὥσπερ συμβού-
15 λους καρποῦσθαι τὴν πόλιν, ἀλλά τι καὶ συνεισφέρειν αὐτοὺς χρήσιμον τῇ πόλει, ἵν' οἷον ἀνταπόδοσις γίγνηται, καὶ σώζηται κἀνταῦθα τὸ δίκαιον. ἔστι δὲ ἀμοιβὴ δικαιοσύνης, καὶ σωτήριον ὥσπερ ἐν κόσμῳ καὶ περὶ πόλιν· τὸ γὰρ ἀπαντλούμενον καὶ ἐπιπιπλάμενον, οὐδέποτε κάμνει· καὶ ἄνθρωπος δὲ καὶ σώματα ἐκτρέ-
20 φεται ὑπὸ ἀμοιβῆς· καὶ σώζεται, μέχρις ἂν ὦσι διαλλαγαὶ τῶν ἀπιόντων τὰ προσιόντα.

Κατὰ δή τι τοιοῦτον διαβόημα, καὶ τῇ πόλει τῇδε νενόμισται, τοὺς εἰσπλέοντας τὰς ἀρχὰς ἀποτελεῖν ὧν ἄγουσιν· οἱ τροφὰς σώματι κενουμένῳ ἀποκρίσεις ἀμοιβῆς ὀνόματα ὄντα,
25 περὶ τὴν πόλιν γίνονται· ὡς δὲ τῶν χρημάτων καὶ ἐκείνων ὧν ἕκαστος ἐν τῇ ψυχῇ φέρει τὲ καὶ ἄγει[23] χρησίμων, ἄξιον τὸ μέρος ἐπιστέλλειν· ἀλλὰ μὴ οἷον κηφῆνας ἀσυμβόλους ἐν μελισσῶν πόλει διαπέτεσθαι· ἀμβλίσσοντας ὑπὸ τῶν μαθημάτων καὶ βιβλίων, ὥσπερ κηρίον, μηδὲν αὐτοὺς[24] τῷ κηρίῳ προσ-
30 τιθέντας· πολὺ μέντοι, συνεργεῖν δὲ τῇ προθυμίᾳ καὶ εὐνοίᾳ περὶ τὴν πόλιν ἀρίστη· καὶ ἔμοι γε τοῦτο προσῆκον ἐξαιρέτως· τῶν τε γὰρ λόγων ἡγεμονεύσω, ὧν ἐγὼ ζηλωτὴς, καὶ διὰ τέλους ἔχω γνώμην ἐπὶ τιμῇ τὴν πρέπουσαν. τί οὖν ἂν δρῶν ἀμειβοίμην

21 ἡσθέντος Can. 22 ἐπὶ δήμους Paris. 23 ἄγειν Can. 24 κηρίων αὐτοὺς μηδὲν Can.

Digitized by Google

σε κατὰ τὴν ἄλλην δύναμιν, ἄλλοις χρήσιμα· ἃ τοῖς σοῖς ὑπη-
κόοις οἷον ἑταίροις. ὁρῶ γὰρ εἰς ἔριν[24] ἀντίρροπον συντείνοντα
παρὰ τὴν πόλιν, ὅπως καλὴ μὲν ἔξωθεν ᾖ δι' εὐμορφίαν· καὶ εἰ
μὲν δὴ[25] δυνατὸς ἦν, τὸ ἀμφότερον ἂν συνεποίουν· νυνὶ δὲ οἷς μὲν
τὴν ἐκτὸς πόλιν κοσμεῖς, χρυσὸς καὶ λίθοι καὶ κίονες εἰσί, 5
ποιήματα χρημάτων· οἷς δὲ τὸν ἐντὸς κόσμον ἐνδημαγωγεῖς τῇ
πόλει, λόγοι εἰσίν. ἐνταῦθα δὴ συνπροθυμούμενος, καὶ αὐτὸς ὑπο-
θήσω λόγους, καὶ τούτους λαμβάνων ἐκ τῶν σῶν γραμμάτων
ὥσπερ ἐκ μετάλλων τινῶν· καὶ πρόσθεν δέ τι τούτων διετελοῦμεν,
ἐν τῷδε τῷ χωρίῳ συγγράφοντες· ὅτι δεῖ τὴν πόλιν οὖσαν μεγά- 10
λην καὶ μίαν εἶναι· μία δὲ πόλις γίνεται, ὅταν ᾖ τὸ θέατρον
ἀνθρώπων τῶν ἐνοικούντων δεδημιουργημένον[26] περιληπτικόν· μὴ
ποιεῖν δὲ διαστατικὸν, ἀλλ' ἓν[27] εἶναι καὶ συμφωνεῖν μᾶλλον τοῦ
χοροῦ. χοροῦ μὲν γὰρ ἀναρμοστία ποιεῖ γέλωτα· πολιτῶν δὲ
ἀναρμοστία ποιεῖ δάκρυα· ὁπόταν οὖν τὸ θέατρον ἀνοίγῃ, ἑορτή 15
τις ὦ πολῖται, εὖ χρὴ γινώσκειν, ὅτι καθέζεσθε· ὑμεῖς μὲν ὀρχη-
στὰς θεασόμενοι· ὁ δ' ἡγεμών πως ἐθεάσασθε· δεινὸν γὰρ αὐτῷ
δοκεῖ εἶναι, τοὺς μὲν κιθαρῳδοὺς, οἳ πρότερον τὴν πόλιν ἐποίησαν,
παλαί ποτε τεθνηκέναι· τὴν δ' ἐπ' ἐκείνοις ἀφροσύνην, ζῆν ἔτι· καὶ
τοὺς ἀπ' Ἀλεξάνδρου τοῦ Ἄμμωνος ὠνομασμένους χαίρειν, μετονο- 20
μαζομένους ὑπό τινος ἀπ' αὐτοῦ, καὶ ἑτέρου τοιούτου βαράθρου.

Ὑπεμίμνησκε δέ τι λέγων, καὶ περὶ τὰς ἱππικὰς θεωρή-
σεις, ὡς εἴη γελοιότατον, τοὺς μὲν ἡνιόχους ἄρχειν τῶν ἵππων·
τοὺς δὲ θεατὰς, ὑπὸ τῶν ἵππων ἄρχεσθαι· καὶ ὅτι ταῦτα ὄχλου
παίγνια πεποιημένα, παίζοντας πλανᾶσθαι. διελέγετο δὲ καὶ περὶ 25
θεῶν θεραπείας τὸν ἐοικότα λόγον, καὶ τοῦ μεγίστου Σαραπίδος,
ὡς χρὴ φίλους εἶναι μᾶλλον ἢ κόλακας· καὶ ὅπως ἂν[28] μάλιστα
γιγνώμεθα φίλοι τῷ θεῷ· καὶ ὅτι ἂν χρὴ μεμερίσθαι περὶ τοὺς
θεοὺς, μὴ δὲ εἶναι διαιρετὸν θεὸν ἀπὸ θεοῦ. ταῦτα ἃ σὺ λέγεις
γράφων καὶ σπείρων εἰς τὸ πλῆθος ἔλεγες, συγκομιζόμενος αὐτά 30
τε καὶ τὰ ὅμοια· ἔναγχος μὴν περὶ παίδων ἐπιμελείας διεξήλθο-
μεν· εἶτα ἑξῆς περὶ νέων· εἶτα ἑξῆς περὶ ἀνδρῶν ἀρετῆς, καὶ ἐπὶ
πᾶσι περὶ γερόντων εὐθυμίας, τὸ πρέπον[29] ἑκάστῳ τῶν ἀνδρῶν

[24] ἔριναν Paris. [25] δὴ om. Can. [26] δεδημιουργημένων Paris.
[27] εὖ Paris. [28] ἐὰν Can. [29] πρέπων Par.

Digitized by Google

διανέμοντες· νῦν δὲ ἐπεὶ καὶ σὺ πάρει ἡγεμὼν τοῦ λόγου καὶ ἐπακούεις[30], διπλῇ τῷ λόγῳ ἰτέον· τῇ μὲν ὡς πρὸς σέ· τῇ δὲ ὡς[31] πρὸς τοὺς ὑπὸ σοί· δευτέρους δὲ εἶναι τοὺς ἀρχομένους πρέπει, καὶ δὴ ὅσα μὲν ἁρμόζοντα τῷ πλήθει, τὰ μὲν εἴρηταί πως· τὰ δὲ καὶ μετ' ὀλίγον λελέξεται.

Ἔστι δὲ τὸ[32] ἁρμόττον, ἀρχομένοις μὲν, ἀκροᾶσθαι τοῦ ἄρχοντος ἐθέλοντας πειθομένους· ἡγεμόνι δ' αὖ, ὅπως ἂν εὐπειθεῖς τοὺς ἀρχομένους ἔχοι. οὐκοῦν τοῦτο μὲν ἐν βραχεῖ ὑπομνήσομεν· γίγνεται γὰρ ὁ λόγος πρὸς ἀκροατὴν, εὖ εἰδότα τὸ πλῆθος ὅπως πείθηται. ἃ δ' οὖν ἡμᾶς ὕπεισι, δηλωτέον. ὁ μὲν γὰρ Ξενοκράτης ἐρόμενος τὸν παρ' αὐτῷ φιλοσοφεῖν νέον βουλόμενον, εἰ γεγεωμέτρηκεν, εἰ μουσικῆς ἐπακήκοεν· ὡς οὐκ, ἔφη· ἀπιέναι πάλιν αὐτὸν ἐκέλευσεν, οὐκ ἔχειν γὰρ λαβὰς πρὸς φιλοσοφίαν. εἰ δέ τις ἄρχων σκέπτοιτο περὶ πειθοῦς τῶν ὑπηκόων, εἴ τι αὐτῷ πρότερον εἴη περὶ λόγους πεποιημένον, καλῶς σκέπτοιτο ἄν· εἰ δὲ μὴ, τὸ τοῦ Ξενοκράτους ἀκούων, οὐ χαλεπαίνει· ὅτι λαβὴν οὐκ ἔχει τοῦ πείθειν, λέγειν οὐκ ὢν ἱκανός. ὃς δὲ τοῦτο κέκτηται, τὸ διώνυμον ἔχει τοῦ πλήθους.

Ὅτι ἄλλο τε μὲν τὸ αὐτόματον, ἄλλο τε δὲ τὴν τυχὴν κατὰ τοῦ αὐτοῦ πράγματος ὀνομάζων φέρει· ὁ δὲ Ἀριστοτέλης τὴν μὲν τύχην, ἐπὶ τῶν ἀνθρώπων· τὸ δὲ αὐτόματον ἐπὶ τῶν ἀψύχων, ὡς[33] ἐν τῇ φυσικῇ ἀκροάσει· οὐδέτι διέχομεν τύχῃ λέγοντες τὴν ἀρετὴν παραγίγνεσθαι, εἰ μὴ δόξῃ Ἐμπεδοκλέους αἰνίττεται, ἐκ τῆς τῶν στοιχείων κράσεως τοὺς ἀγαθοὺς κακοὺς λέγων γίγνεσθαι. Ἀριστοτέλης[34] δὲ, φύσει[35] καὶ ἔθει καὶ λόγῳ· ἀμέλει καὶ οἱ Στωϊκοί· τέχνῃ γὰρ ἡ ἀρετή· πᾶσα δὲ τέχνη σύστημα ἐκ θεωρημάτων συγγεγυμνασμένων· καὶ κατὰ μὲν τὰ θεωρήματα ὁ λόγος· κατὰ δὲ τὴν συγγυμνασίαν τὸ ἔθος· φύσει δὲ πάντες πρὸς ἀρετὴν γεννώμεθα[36], καθ' ὅσον ἀφορμὰς ἔχομεν· ὥς τε φύσει, ἔθει, λόγῳ· ὁ δὲ λόγος τὴν διδασκαλίαν ἔχει.

Ὅτι ἐν τῷ ἐπιγραφομένῳ μεγάλῳ λόγῳ ὁ Πρωταγόρας εἶπε, "φύσεως καὶ ἀσκήσεως, διδασκαλία δεῖται· καὶ ἀπὸ νεότητος "δὲ ἀρξαμένους δεῖν μανθάνειν·" οὐκ ἂν δὲ ἔλεγε τοῦτο, εἰ

30 ὑπακούεις Par. 31 καὶ Par. 32 τὸ om. Can. 33 ὡς om. Can. 34 ἀριστοτέλει Can. 35 φύσιν Can. 36 γεννώμενα Can.

Digitized by Google

αὐτὸς ὀψιμαθὴς ἦν, ὡς ἐνόμιζε καὶ ἔλεγεν Ἐπίκουρος περὶ Πρωταγόρου.

Ὅτι οἱ Πυθαγορικοὶ, ὡς ἔφη Ἀριστόξενος, καθάρσει[37] ἐχρῶντο, τοῦ μὲν[38] σώματος διὰ τῆς ἰατρικῆς· τῆς δὲ ψυχῆς διὰ τῆς μουσικῆς· ἂν μὲν βούληται τὸν χαριέστατον τρόπον τῆς ἀπαι- 5 τήσεως τοῦ μισθοῦ, ἔταξε Πλάτων· τοῦτο γὰρ ὡς ἔοικεν ὕστερον· εἶτα Πρωταγόραν, εὐάθλου τινὸς τῶν ἀθλητῶν συκοφαντήσαντος αὐτόν.

37 καὶ θαρσεῖ Par. 38 μὲν om. Can.

Digitized by Google

ΕΚ ΤΩΝ ΜΑΡΚΟΥ.

Ὅτι χρὴ μαθεῖν, πῶς δεῖ λαμβάνειν τὰς δοκούσας χάριτας παρὰ τῶν φίλων, μήτε ἐξηττώμενον διὰ ταῦτα, μήτε ἀναισθήτως παραπέμποντα.

Ὅτι δεῖ τοιοῦτον ἑαυτὸν παρέχειν, ὥστε πάντας αὐτῷ πιστεύειν περὶ ὧν λέγει.

Ὅτι οὕτως φρονεῖ, καὶ περὶ ὧν πράττει.

Ὅτι οὐ κακῶς πράττει.

Ὅτι δεῖ τιμᾶν τοὺς ὡς ἀληθῶς φιλοσόφους· τοὺς δὲ ἄλλους μὴ ἐξονειδίζειν, μηδὲ παράγεσθαι ὑπ' αὐτῶν.

[1]Ἑωθέν φησι προὔλεγεν ἑαυτῷ, ἐντεύξομαι περιέργῳ, χαρίστῳ, ὑβριστῇ, δολερῷ, βασκάνῳ, ἀκοινωνήτῳ—πάντα ταῦτα συμβέβηκεν ἐκείνοις παρὰ τὴν ἄγνοιαν τῶν ἀγαθῶν καὶ κακῶν· ἐγὼ δὲ τεθεωρηκὼς τὴν φύσιν τοῦ ἀγαθοῦ, ὅτι καλὸν, καὶ τοῦ κακοῦ, ὅτι αἰσχρὸν, καὶ τὴν αὐτοῦ τοῦ ἁμαρτάνοντος φύσιν, ὅτι μοι συγγενὴς, οὐχὶ αἵματος ἢ σπέρματος τοῦ αὐτοῦ, ἀλλὰ νοῦ, καὶ θείας ἀπομοίρας μέτοχος, οὔτε βλαβῆναι ὑπό τινος αὐτῶν δύναμαι. αἰσχρῷ γάρ μοι οὐδεὶς περιβάλλει, οὔτε ὀργίζεσθαι τῷ συγγενεῖ δύναμαι, οὔτε ἀπέχθεσθαι αὐτῷ· γεγόναμεν γὰρ πρὸς συνεργίαν, ὡς πόδες, ὡς χεῖρες, ὡς βλέφαρα, ὡς οἱ στοῖχοι τῶν ἄνω καὶ τῶν κάτω ὀδόντων· τὸ οὖν ἀντιπράσσειν ἀλλήλοις, παρὰ φύσιν· ἀντιπρακτικὸν δὲ, τὸ ἀγανακτεῖν καὶ ἀποτρέπεσθαι.

Ὅτί ποτε τοῦτο ὅ εἰμι, σαρκία ἐστὶ καὶ πνευμάτιον καὶ τὸ ἡγεμονικὸν, ἄφες τὰ βιβλία, μηκέτι σπῶ· οὐ δέδοται· ἀλλ' ὡς ἤδη ἀποθνήσκων, τῶν μὲν σαρκίων, καταφρόνησον· λίθος καὶ ὀστράκια καὶ κροκύφαντος ἐκ νέβρων[2], φλεβίων, ἀρτηριῶν πλε-

[1] Marc. Antonin. lib. ii. §. 1.

[2] νευρῶν Leg.

Digitized by Google

γμάτιον· θεάσαι δὲ καὶ τὸ πνεῦμα ὁποῖόν τί ἐστιν, ἄνεμος, οὐδὲ ἀεὶ τὸ αὐτὸ, ἀλλὰ πάσης ὥρας ἐξεμούμενον, καὶ πάλιν ῥοφούμενον· τρίτον οὖν ἐστι τὸ ἡγεμονικὸν, ᾧ δὴ ἀπονοήθητι· γέρων εἶ· μηκέτι τούτῳ ἐάσης δουλεῦσαι· μηκέτι καθ' ὁρμὴν ἀκοινώνητον νευροσπασθῆναι· μηκέτι τὸ εἱμαρμένον, ἢ πάρον δυσχερᾶναι, ἢ μέλλον ἀναδύεσθαι.

Τὰ τῶν θεῶν προνοίας μεστά· τὰ τῆς τύχης οὐκ ἄνευ φύσεως, ἢ συγκλώσεως καὶ ἐπιπλοκῆς τῶν προνοίᾳ διοικουμένων· πάντα ἐκεῖθεν ῥεῖ· πρόσεστι δὲ τὸ ἀναγκαῖον καὶ τὸ τῷ ὅλῳ κόσμῳ συμφέρειν, οὗ μέρος εἶ· παντὶ δὲ φύσεως μέρει ἀγαθὸν, ὃ φέρει ἡ τοῦ ὅλου φύσις, καὶ ὃ ἐκείνης ἐστὶ σωστικόν· σώζουσι δὲ κόσμον, ὥσπερ αἱ τῶν στοιχείων, οὕτω καὶ αἱ τῶν συγκριμάτων μεταβολαί. ταῦτά σοι ἀρκείτω· ἀεὶ δόγματα ἔστω· τὴν δὲ τῶν βιβλίων δίψαν ῥίψον, ἵνα μὴ γογγύζων ἀποθάνῃς, ἀλλ' ἵλεως ἀληθῶς καὶ ἀπὸ καρδίας εὐχάριστος τοῖς θεοῖς.

[3] Ὅτι τούτων ἀεὶ δεῖ μεμνῆσθαι[4]· τίς ἡ τῶν ὅλων φύσις, καὶ τίς ἡ ἐμὴ, καὶ πῶς αὕτη πρὸς ἐκείνην ἔχουσα, καὶ ὁποῖόν τι μέρος, ὁποίου τοῦ ὅλου οὖσα· καὶ ὅτι οὐδεὶς ὁ κωλύων τὰ ἀκόλουθα τῇ φύσει, ἧς μέρος εἶ, πράσσειν τὲ ἀεὶ καὶ λέγειν.

Ὅτι φιλοσόφως[5] ὁ Θεόφραστος ἐν τῇ συγκρίσει τῶν ἁμαρτημάτων, ὡς ἄν τις κοινότερον τὰ τοιαῦτα συγκρίσεις φησὶ, βαρύτερα εἶναι τὰ καθ' ἐπιθυμίαν πλημμελούμενα τῶν κατὰ θυμόν· ὁ γὰρ θυμούμενος, μετά τινος λύπης καὶ λεληθυίας συστολῆς φαίνεται τὸν λόγον ἀποστρεφόμενος· ὁ δὲ καθ' ἐπιθυμίαν ἁμαρτάνων, ὑφ' ἡδονῆς ἡττώμενος, ἀκολαστότερός πως φαίνεται, καὶ θηλύτερος ἐν ταῖς ἁμαρτίαις. ὀρθῶς οὖν καὶ φιλοσοφίας ἀξίως ἔφη, μείζονος ἐγκλήματος ἔχεσθαι τὸ μεθ' ἡδονῆς ἁμαρτανόμενον, ἤπερ μετὰ λύπης· ὅλως τε, ὁ μὲν προηδικημένῳ[6] μᾶλλον ἔοικε, καὶ διὰ λύπης ἠναγκασμένῳ θυμωθῆναι· ὁ δὲ αὐτόθεν πρὸς τὸ ἀδικεῖν ὥρμηται, φερόμενος ἐπὶ τὸ πρᾶξαί τι καθ' ἐπιθυμίαν.

Ὡς ἤδη δυνατοῦ ὄντος ἐξιέναι τοῦ βίου, οὕτως ἕκαστα ποιεῖν, καὶ λέγειν, καὶ διανοεῖσθαι.

Τὸ μὲν ἐξ ἀνθρώπων, φησὶν, ἀπελθεῖν, εἰ μὲν θεοί εἰσιν, οὐδὲν

3 §. 9. 4 μεμνεῖσθαι Cod. Par. 5 φιλοσόφους Cod. Par.
6 προηδικωμένῳ Cod. Par.

Digitized by Google

δεινόν· κακῷ γάρ σε οὐκ ἂν περιβάλλοιεν· εἰ δὲ ἤτοι οὐκ εἰσὶν, ἢ οὐ μέλλει αὐτοῖς τῶν ἀνθρωπείων, καὶ τοῖς κατ' ἀλήθειαν κακοῖς ἵνα μὴ περιπίπτῃ ὁ ἄνθρωπος, ἐπ' αὐτῷ τὸ πᾶν ἔθεντο.

[5] Πῶς πάντα ταχέως ἐναφανίζεται· τῷ μὲν κόσμῳ, αὐτὰ τὰ
5 σώματα, τῷ δὲ αἰῶνι, αἱ μνῆμαι αὐτῶν· οἷά ἐστι τὰ αἰσθητα, καὶ μάλιστα τὰ ἡδονῇ δελεάζοντα, ἢ τῷ πόνῳ φοβοῦντα, ἢ τῷ τύφῳ διαβεβοημένα, πῶς εὐτελῆ καὶ εὐκαταφρόνητα, καὶ ῥυπαρὰ καὶ εὔφθαρτα, καὶ νεκρὰ νοερᾶς δυνάμεως.

Ὅτι οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ ἐμπεριεχομένου· καὶ
10 τὰ νέρθεν γὰρ, φησὶν, ἐρευνῶντος, καὶ τὰ ἐν ταῖς ψυχαῖς τῶν πλησίον διὰ τεκμάρσεως ζητοῦντος· μὴ αἰσθανομένου δὲ, ὅτι ἀρκεῖ πρὸς νόμῳ τῷ ἔνδον ἑαυτοῦ δαίμονι εἶναι, καὶ τοῦτον γνησίως θεραπεύειν· θεραπεία δὲ αὐτοῦ, καθαρὸν πάθους διατηρεῖν, καὶ εἰκαιότητος, καὶ δυσαρεστήσεως, τῆς πρὸς τὰ ἐκ θεῶν καὶ
15 ἀνθρώπων γινόμενα· τὰ μὲν γὰρ ἐκ θεῶν αἰδέσιμα δι' ἀρετήν· τὰ δὲ ἐξ ἀνθρώπων φίλα διὰ συγγένειαν. ἔστι δὲ ὅτε καὶ τρόπον τινὰ ἐλεεινὰ δι' ἄγνοιαν ἀγαθῶν καὶ κακῶν· οὐκ ἐλάττων ἡ πήρωσις [6] αὕτη, τῆς στερισκούσης τοῦ διακρίνειν τὰ λευκὰ καὶ μέλανα.

20 Κἂν τρισχίλια ἔτη βιώσεσθαι μέλλῃς, καὶ τοσαυτάκις μύρια, ὅμως μέμνησο, ὅτι οὐδεὶς ἄλλον ἀποβάλλει βίον, ἢ τοῦτον ὃν ζῇ· οὐδὲ ἄλλον ζῇ, ἢ ὃν ἀποβάλλει. εἰς ταυτὸν οὖν καθίσταται τὸ μήκιστον τῷ βραχυτάτῳ· τὸ γὰρ παρὸν πᾶσιν ἴσον, καὶ τὸ ἀπο-
25 λυόμενον οὐκ ἴσον, καὶ τὸ ἀποβαλλόμενον οὕτως ἀκαριαῖον ἀναφαίνεται· οὔτε γὰρ τὸ [7] παρῳχηκὸς, οὔτε τὸ μέλλον ἀποβάλλοι ἄν τις· ὃ γὰρ οὐκ ἔχει, πῶς ἄν τις τοῦτο αὐτοῦ ἀφέλοιτο;

[8] Ὅτι τοῦ ἀνθρωπίνου βίου, ὁ μὲν χρόνος στιγμή· ἡ δὲ οὐσία ῥέουσα· ἡ δὲ αἴσθησις ἀμυδρά· ἡ δὲ ὅλου τοῦ σώματος σύγκρισις εὔσηπτος· ἡ δὲ ψυχὴ ῥεμβός· ἡ δὲ τύχη δυστέκμαρτον·
30 ἡ δὲ φήμη ἄκριτον. συνελόντι δὲ εἰπεῖν, πάντα τὰ μὲν τοῦ σώματος ποταμός· τὰ δὲ τῆς ψυχῆς ὄνειρος καὶ τύφος· ὁ δὲ βίος πόλεμος καὶ ξένου ἐπιδημία· ἡ δὲ ὑστεροφημία λήθη.

[5] Marc. Antonin. lib. ii. §. 12. [6] πείρωσις Cod. Par. [7] τῷ Cod. Par. [8] Ibid. §. 17.

Digitized by Google

τί οὖν παραπέμψαι δυνάμενον, ὃν καὶ μόνον φιλοσοφία· τοῦτο δὲ ἐν τῷ τηρεῖν τὸν ἔνδον δαίμονα ἀνύβριστον καὶ ἀσινῆ, ἡδονῶν καὶ πόνων κρείσσονα, μηδὲν εἰκῆ ποιοῦντα, μηδὲ διεψευσμένως καὶ μεθ' ὑποκρίσεως, ἀνενδεῆ τοῦ ἄλλον ποιῆσαί τι, ἢ μὴ ποιῆσαι. 5

9 Ὅτι οὐχὶ τοῦτο μόνον δεῖ λογίζεσθαι, ὅτι καθ' ἑκάστην ἡμέραν ἀπαναλίσκεται ὁ βίος, καὶ μέρος ἔλαττον αὐτοῦ καταλείπεται· ἀλλὰ κακεῖνο λογιστέον, ὅτι εἰ ἐπὶ πλέον βιώῃ τις, ἐκεῖνό γε ἄδηλον, εἰ ἐξαρκέσει ὁμοία αὖθις ἡ διάνοια πρὸς τὴν σύνεσιν τῶν πραγμάτων. 10

10 Ὅτι Ἱπποκράτης πολλὰς νόσους ἰασάμενος, νοσήσας ἀπέθανεν· οἱ Χαλδαῖοι πολλῶν θανάτους προηγόρευσαν· εἶτα καὶ αὐτοὺς τὸ πεπρωμένον κατέλαβεν.

Ἀλέξανδρος καὶ Πομπήϊος, καὶ Γαΐος, καὶ Καῖσαρ ὅλας πόλεις τοσαυτάκις ἀνέλοντες, καὶ ἐν παρατάξει πολλὰς μυριάδας ἱππέων καὶ πεζῶν κατακόψαντες, καὶ αὐτοί ποτε ἐζήλουν τοῦ βίου. 15

Ἡράκλειτος περὶ τῆς τοῦ κόσμου ἐκπυρώσεως τοσαῦτα φυσιολογήσας, ὕδατος τὰ ἐντὸς πληρωθεὶς, βολβίτῳ κατακεχρισμένος, ἀπέθανε.

Δημόκριτον μὲν οἱ φθεῖρες· Σωκράτην δὲ ἄλλοι φθεῖρες ἀπέκτειναν· τί ταῦτα; ἐνέβης, ἔπλευσας, κατήχθης, ἔκβηθι· εἰ μὲν ἐφ' ἕτερον βίον, οὐδὲν θεῶν κενὸν οὐδὲ ἐκεῖ· εἰ δὲ ἐν ἀναισθησίᾳ πάσῃ, πόνων καὶ ἡδονῶν ἀνεχόμενος, καὶ λατρεύων τοσούτῳ χείρονι ἀγγείῳ, ἢ περίεστι τὸ ὑπερετοῦν· τὸ μὲν γὰρ νοῦς καὶ δαίμων· τὸ δὲ γῆ καὶ λύθρος. 20 25

Ἐθιστέον ἑαυτὸν μόνα φαντάζεσθαι, περὶ ὧν εἴ τις ἄφνω ἐπανέροιτο, τί νῦν διανοῇ; μετὰ παρρησίας παραχρῆμα ἂν ἀποκρίναιο, ὅτι τὸ καὶ τό. ὡς ἐξ αὐτῶν εὐθὺς δῆλα εἶναι, ὅτι πάντα ἁπλᾶ καὶ εὐμενῆ, καὶ ζώου κοινωνικοῦ, καὶ ἀμελοῦντος ἡδονικῶν· ἢ καθάπαξ ἀπολαυστικῶν φαντασμάτων, ἢ φιλονεικίας τινὸς, ἢ βασκανίας καὶ ὑποψίας, ὅτι ἐν ᾧ αὐτὸ εἶχες. ὁ γάρ τοι ἀνὴρ ὁ τοιοῦτος, οὐκέτι ὑπερτιθέμενος τὸ ἐν ἀρίστοις ἤδη εἶναι ἱερεύς τις, καὶ ὑπουργὸς θεῶν, χρώμενος καὶ τὸ ἔνδον ἱδρύμενον αὐτῷ, ὃ παρέ- 30

9 Marc. Antonin. lib. iii. §. 1. 10 Ibid. §. 3.

Digitized by Google

χεται τὸν ἄνθρωπον ἄχραντον ἡδονῶν, ἄτρωτον ὑπὸ παντὸς πόνου, πάσης ὕβρεως ἀνέπαφον, πάσης ἀναίσθητόν πονηρίας· ἀθλητὴν ἄθλου τοῦ μεγίστου, τὸ ὑπὸ μηδενὸς πάθους καταβληθῆναι· δικαιοσύνῃ βεβλαμμένον εἰς βάθος· ἀσπαζόμενον μὲν ἐξ ὅλης ψυχῆς
5 τὰ συμβαίνοντα, καὶ ὑπονεμόμενον πάντα· μὴ πολλάκις δὲ, μηδὲ χωρὶς μεγάλης καὶ κοινωφελοῦς ἀνάγκης φανταζόμενον, τί ποτε ἄλλος λέγει, ἢ τὶ πράσσει, ἢ διανοεῖται· μόνον γὰρ εἶναι ἑαυτοῦ πρὸς ἐνέργειαν ἕξει, καὶ τὰ ἑαυτῷ ἐκ τῶν ὅλων συγκλωθόμενα διηνεκῶς ἐννοεῖ· κἀκεῖνα μὲν καλὰ παρέχεται, ταῦτα δὲ ἀγαθὰ
10 εἶναι πέπεισται· ἡ γὰρ ἑκάστῳ νεμομένη μοῖρα, συνεμφέρεταί τε καὶ συνεμφέρει.

[11] Ὅτι ἀναχωρήσεις αὐτοῖς ζητοῦσιν ἀγροικίας, καὶ αἰγιαλοὺς, καὶ ὄρη· εἴωθας δὲ καὶ σὺ τὰ τοιαῦτα μάλιστα ποθεῖν· ὅλον δὲ τοῦτο ἰδιοτικώτατόν ἐστιν[12]· ἐξὸν ἧς ἂν ὥρας ἐθελήσεις, εἰς ἑαυτὸν ἀνα-
15 χωρεῖν· οὐδαμοῦ γὰρ, οὔτε ἡσυχιώτερον, οὔτε ἀπραγμονέστερον ἄνθρωπος ἀναχωρεῖ, ἢ εἰς τὴν ἑαυτοῦ ψυχήν· μάλισθ' ὅτ' ἔχει[13] ἔνδον τοιαῦτά τις, εἰς ἃ ἐγκύψας, ἐν πάσῃ εὐμαρείᾳ εὐθὺς γίνεται· τὴν δὲ εὐμάρειαν οὐθὲν ἄλλο λέγω, ἢ κοσμίαν· συνεχῶς οὖν δίδου σεαυτῷ ταύτην τὴν ἀναχώρησιν, καὶ ἀνανέου σεαυτὸν[14]· βραχέα δὲ
20 ἔστω καὶ στοιχειώδη, ἃ εὐθὺς ἀπαντήσαντα ἀρκέσει εἰς τὸ πᾶσαν αὐτὴν ἀποκλύσαι καὶ ἀποπέμψαι σε, μὴ δυσχεραίνοντα ἐκείνοις, ἐφ' ἃ ἐπανέρχῃ.

Ἀλλὰ τὸ δοξάριόν σε, φησὶ, περισπάσει· ἀλλ' ἀπιδὼν εἰς τὸ τάχος τῆς πάντων λήθης καὶ τὸ χάος τοῦ ἐφ' ἑκάτερα ἀπείρου
25 αἰῶνος, καὶ τὸ καινὸν τῆς ἀπηχήσεως, καὶ τὸ εὐμετάβολον καὶ ἄκριτον τῶν ἐφ' ἡμῖν δοκούντων, καὶ τὸ στενὸν τοῦ τόπου, ἐν ᾧ περιγράφεται. παύου ποτὲ γὰρ ἡ γῆ στιγμὴ καὶ ταύτης πόσον γωνίδιον καὶ ἡ κατοίκησις αὕτη· καὶ ἐνταῦθα πόσοι καὶ οἷοι τινὲς οἱ ἐπαινεσόμενοι. λοιπὸν οὖν μέμνησο τῆς ὑποχωρήσεως τῆς εἰς
30 τοῦτο τὸ ἀγροίδιον ἑαυτοῦ, καὶ πρὸ παντὸς μὴ σπῶ, μὴ δὲ κατεκτείνου, ἀλλ' ἐλεύθερος ἔσο· καὶ ὅρα τὰ πράγματα, ὡς ἀνὴρ, ὡς ἄνθρωπος, ὡς πολίτης, ὡς θνητὸν ζῶον· ἐν δὲ τοῖς προχειροτάτοις εἰς ἃ ἐγκύψεις, ταῦτα ἔστω τὰ δύο· ἓν μὲν, ὅτι τὰ πράγματα

11 Marc. Antonin. lib. iv. §. 3. 12 εἰσιν Cod. 13 ἔχει Cod.
14 ἀνανέουσε αὐτὸν Cod.

Digitized by Google

οὐχ ἅπτεται τῆς ψυχῆς, ἀλλ' ἔξω ἕστηκεν ἀτρεμοῦντα· αἱ δὲ ὀχλήσεις, ἐκ μόνης τῆς ἔνδον ὑπολήψεως· ἕτερον δὲ, ὅτι πάντα ταῦτα ὅσα ὁρᾷς, ὅσον οὐδέπω μεταβάλλει, καὶ οὐκ ἔτι ἔσται, καὶ ὅσον οὐκ ἤδη μεταβολαῖς αὐτὸς παρατετύχηκας συνεχῶς δι' ἀκοήν.

Ὁ κόσμος ἀλλοίωσις· ὁ βίος ὑπόληψις· εἰ τὸ νοερὸν ἡμῖν 5 κοινὸν, καὶ ὁ λόγος, καθ' ὃν λογικοί ἐσμεν, κοινός. εἰ τοῦτο, καὶ ὁ προστακτικὸς τῶν ποιητῶν, ἢ μὴ λόγος κοινὸς· εἰ τοῦτο, καὶ ὁ νόμος κοινός· εἰ τοῦτο, πολῖται ἐσμέν· εἰ τοῦτο, πολιτεύματός τινος μετέχομεν· εἰ τοῦτο, ὁ κόσμος ὡσανεὶ πόλις ἐστί· τίνος γὰρ ἄλλου φήσει τὶς τὸ τῶν ἀνθρώπων πᾶν γένος κοινοῦ πολιτεύ- 10 ματος μετέχειν.

Ἐκεῖθεν δὲ ἐκ τῆς κοινῆς ταύτης πόλεως, καὶ αὐτὸ τὸ νοερὸν καὶ λογικὸν καὶ νομικὸν ἡμῖν, ἢ πόθεν; ὥσπερ γὰρ τὸ γεῶδές μοι ἀπό τινος γῆς ἀπομεμέρισται, καὶ τὸ ὑγρὸν ἀφ' ἑτέρου στοιχείου, καὶ τὸ πνευματικὸν ἀπὸ πηγῆς τινὸς, καὶ τὸ θερμὸν καὶ πυρῶδες 15 ἔκ τινος ἰδίας πηγῆς· οὐδὲν γὰρ ἐκ τοῦ μηδενὸς ἔρχεται· ὥσπερ οὐδὲ[15] εἰς τὸ οὐκ ὂν ἀπέρχεται, οὕτω δὴ καὶ τὸ νοερὸν ἥκει πόθεν.

Ὁ θάνατος τοιοῦτον οἷον γένεσις, φύσεως μυστήριον· σύγκρισις δὲ ἐκ τῶν στοιχείων εἰς ταυτά.

[16] Ἐνυπέστης ὡς μέρος· ἐναφανισθήσῃ τῷ γεννήσαντι· μᾶλλον 20 δὲ ἀναληφθήσῃ εἰς τὸν λόγον αὐτοῦ τὸ σπερματικὸν κατὰ μεταβολήν. πολλὰ λιβανωτοῦ βωλάρια ἐπὶ τοῦ αὐτοῦ βωμοῦ, τὸ μὲν προκατέπεσε, τὸ δ' ὕστερον· διαφέρει δ' οὐδέν.

Ἐντὸς δέκα ἡμερῶν, θεὸς αὐτοῖς, οἷς νῦν θηρίον, καὶ πίθηκος, ἐὰν ἀνακάμψῃς ἐπὶ τὰ δόγματα, καὶ τὸν σεβασμὸν τοῦ λόγου. 25 μὴ ὡς κύρια ἔτη μέλλων ζῆν, τὸ χρέος ἐπήρτηται· ἕως ζῆς, ἕως ἔξεστιν, ἀγαθὸς γενοῦ.

Ὅσην ἀσχολίαν κερδαίνει ὁ μὴ βλέπων τί ὁ πλησίον εἶπεν, ἢ ἔπραξεν, ἢ διενοήθη· ἀλλὰ μόνον τί αὐτὸς ποιεῖ, ἵνα αὐτὸ τοῦτο δίκαιον ᾖ, καὶ ὅσιον· ἢ κατὰ τὸν ἀγαθὸν, μὴ μέλαν ἦθος καὶ 30 περιβλέπεσθαι, ἀλλ' ἐπὶ τῆς γραμμῆς τρέχειν ὀρθὸν μὴ διερριζομένον.

Πᾶν τὸ καὶ ὁπωσοῦν καλὸν, ἐξ ἑαυτοῦ καλόν ἐστι, καὶ ἐφ'

15 μὴ οὐδὲ Cod. 16 Marc. Antonin. iv. §. 14.

Digitized by Google

ἑαυτὸ καταλήγει· οὐκ ἔχον μέρος ἑαυτοῦ τὸν ἔπαινον· οὔτε γοῦν χεῖρον ἢ κρεῖττον, ἢ χεῖρον γίνεται τὸ ἐπαινούμενον· τοῦτό φημι καὶ ἐπὶ τῶν κοινότερον καλῶς λεγομένων, οἱ ἐπὶ τῶν ὑλικῶν καὶ ἐπὶ τῶν τεχνικῶν κατασκευασμάτων· τὸ δὲ δὴ ὄντως καλὸν, τίνος χρείαν ἔχει, οὐ μᾶλλον ἢ νόμος, ἀλήθεια, εὔνοια, αἰδώς· τί τούτων διὰ τὸ ἐπαινεῖσθαι καλόν ἐστιν, ἢ ψεγόμενον φθείρεται; σμαράγδιον ἑαυτοῦ χεῖρον γίνεται, ἐὰν μὴ ἐπαινῆται; τί δὲ χρυσὸς, ἐλέφας, πορφύρα, λύρα, μαχαίριον[17], ἀνθύλλιον, δενδρύφιον;

Τοιοῦτος ἔσο, οἷος ἂν εἴη τὶς παραμένων τὸ ἀνακλητικὸν ἐκ τοῦ βίου, εὔλυτος· μήτε ὅρκου δεόμενος, μήτε ἀνθρώπου τινὸς μάρτυρος· ὀρθὸν οὖν εἶναι χρὴ, οὐχὶ ὀρθούμενον.

Μνημόνευε ὅτι μόνον ζῇ ἕκαστος τὸ παρὸν τοῦτο, τὸ ἀκαριαῖον· τὰ δ' ἄλλα ἢ βεβίωται, ἢ ἐν ἀδήλῳ· μικρὸν μὲν οὖν ὁ ζῇ ἕκαστος· μικρὸν δὲ τὸ τῆς γῆς γωνίδιον, ὅπου ζῇ.

[18]Ὥσπερ οἱ ἰατροὶ ἀεὶ τὰ ὄργανα καὶ σιδήρια πρόχειρα ἔχουσι πρὸς τὰ αἰφνίδια τῶν θεραπευμάτων, οὕτω τὰ δόγματα σὺ ἕτοιμα ἔχε, τὸ τὰ θεῖα καὶ ἀνθρωπίνα εἰδέναι· καὶ πᾶν, καὶ τὸ μικρότατον οὕτω ποιεῖν, ὡς τῆς ἀμφοτέρων πρὸς ἄλληλα συνδέσεως μεμνημένον· οὔτε γὰρ ἀνθρωπίνων τι ἄνευ τῆς ἐπὶ τὰ θεῖα συνεμφορᾶς εὖ πράξεις, οὔτε ἔμπαλιν.

Μηκέτι πλανῶ· οὔτε γὰρ τὰ ὑπομνήματά σου μέλλεις ἀναγινώσκειν, οὔτε τὰς τῶν ἀρχαίων Ῥωμαίων καὶ Ἑλλήνων πράξεις, καὶ τὰς ἐκ τῶν συγγραμμάτων ἐκλογὰς, ἃς εἰς τὸ γῆρας σεαυτῷ ἀπετίθεσο· σπεῦδε οὖν εἰ θέλεις, καὶ τὰς κενὰς ἐλπίδας ἀφεὶς, σεαυτῷ βοήθει, εἴ τι σοι μέλει σαυτοῦ, ἕως ἔξεστι.

Περὶ Γτάρων.

Γύαρα, τῶν Ἀσιαδῶν νήσων ἐστὶ λυπηροτάτη, τόπος ἐξαίρετος[19] κολάσεως, καὶ πόλις ἀνάγκης· ἐπίγειός τις ἀσεβῶν χῶρος, οὐ ποταμοῖς οὐδὲ λίμναις περικλυζόμενος, ἀλλ' ἀξείνῳ πελάγει καὶ θαλάσσῃ δυσεμπελάστῳ φρουρούμενος· ὅθεν ζῶσιν οἱ καταδικασθέντες φυγάδες, ἅμα τύχην καὶ δασμὸν ὑπομένοντες· ἔχει γὰρ ὁ τόπος, γῆς μὲν τὸ ἐξόρειον, εἱρκτῆς δὲ τὸ ἄφυκτον· καὶ

17 μαχέριον Cod. 18 Marc. Anton. iii. §. 13. 19 ἐξαίρετο Cod.

Digitized by Google

φύγαδες λέγονται· φυγεῖν δ' οὐκ ἐῶνται τὸν τόπον· οὐ γὰρ τοῦ ζῆν ἀπελύθησαν, ἀλλ' ἐκεῖ ζῆν κατεκρίθησαν· ταύτην μέντοι τὴν νῆσον οἰκοῦσι τινὲς ἑκουσίως ἐντραφέντες πολῖται, καὶ λέγονται, καὶ ἀγαπῶσι· καί τις ἐξ αὐτῶν ἐπ' ἀδικήμασι δημοσίοις ἐκδιωχθεὶς, οὐκ ἠσπάσατο τὴν φυγὴν ὡς ἐλευθερίαν· οὐδὲ τὴν ἐκβο- 5 λὴν ὡς λύσιν προσεκύνησεν, ἀλλ' ἔδωκεν ἀργύριον ὑπὲρ τοῦ κατελθεῖν, καὶ πείσας, μετῆλθεν· οὕτω τὸν αὐτὸν τόπον ἡ συνήθεια, τοῖς μὲν, κόλασιν πεποίηκε· τοῖς δὲ, πατρίδα.

Digitized by Google

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΑ ΤΟΥ

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΗΘΙΚΑ ΝΙΚΟΜΑΧΕΙΑ.[1]

Ed. Bekker, Berol. in 4°. T. II. 1094. = Ed. Oxon. 8°. 1837.

5 C. 1. p. 1, 1. Πᾶσα τέχνη] Τριχῶς ἡ τέχνη λέγεται· καὶ γὰρ τὸ γένος τῶν τεχνῶν ἁπασῶν τε . . . ροῦσι τὰς τέχνας, λέγοντες τὰς μὲν ποιητικὰς, τὰς . . . . . .
. . . . . .
. . . ρικὴ δὲ καὶ διαλεκτικὴ ὁμοίως ἔχουσι πρὸς τὰ ἀντικεί-
10 μενα· ἐπεὶ δὲ τὴν πολιτικὴν καὶ ἠθικὴν μέθοδον ὀνομάτων, οὐ μόνον τὴν ῥητορικ . . . ἔνιοι ἔφασαν μέθοδον ὀνομάζεσθαι, πᾶσαν δύναμιν ἢ ἕξιν τῶν . . . . . ἐοίκασι δὲ καὶ οὗτοι ἀπολελεῖφθαι τῆς τοῦ ὀνόματος χρήσεως . . . . . τὴν πρώτην φιλοσοφίαν, καὶ τὴν περὶ ἀποδείξεως ἐπιστήμην· εἶπεν οὖν . . . . . εἶναι
15 ἕξιν θεωρητικὴν τῶν ὑπ' αὐτὴν, μετὰ λόγου ἐπακτικοῦ, ... τικοῦ. . . . . σα δὲ πᾶσα . . . . . τη μέθοδος . . . . . ὁδὸς γὰρ . . . . . λλο . . . . . γωγῆς . . . . . με . . . . . αλη . . . . . τὴν [πρ]ᾶξιν ἔνιοι . . . . . ἐπέδοσαν . . . . . τειαν λογι . . . . . κατὰ τοῦτο . . . . καὶ ἡ θεωρι . . . . [πρ]ᾶξις ἐνέρ . . . . γὰρ λογική.
20 λέγεται δὲ πρᾶξις . . . ἡ κατὰ πρα . . . . . ἐπιστήμην ἐνέργεια· πρακτικαὶ δὲ λέγονται . . . . νῶς πᾶσαι . . . . . μὴ ἐστὶ ποιη . . . ἄλλο περὶ τὴν πρᾶξιν· οἷον . . . χαστικὴ καὶ αὐλητικὴ ἰδίως δὲ, εἴτε πολιτικὴ καὶ ἠθικὴ πρακτικαὶ λέγονται.

[1] Descripta sunt hæc Scholia e Cod. 1854, membr. form. in 4°. sæc. XII. marginalia sunt, et plerumque eadem qua textus manu exarata; nonnulla autem recentiora sunt, XIV. fortasse sæculi. Horum Scholiorum lemmata signavimus juxta duas editiones textus Aristot. a Bekkero recensiti, unam impr. Berolini form. in 4°. alteram Oxonii an. 1837, in 8°.

Digitized by Google

Προαίρεσις δέ ἐστιν ὄρεξις βου[λευτι]κὴ· ἐπειδὰν γὰρ βουλευσάμενός τις ἕληται, καὶ ἡ ὄρεξις ἐπακολου . . . . . τῷ λογισμῷ, ἢ ἀνάπαλιν ὀρεχθεὶς καὶ βουλευσάμενος ἕληται· προαίρεσις δὲ τοιοῦτον ἐστίν.

1094. Col. B, 14.=C. 1, 9. p. 2. δημιουργουμένοις] Τοιαύτην τὴν ἐπαριστᾶ το . . . ὅτι πρὸς τὴν ὑποκειμένην ὕλην τῶν πραγμάτων δεῖ ποιεῖσθαι, καὶ τοὺς περὶ τούτων λόγους, ἀναληροῦντας. εἰ γάρ τις ἐπιτάττει ἐν διαφόροις ὕλαις πλασθῆναι αὐτῷ ἀνθρώπειαν μορφήν· οἷον ἐν κηρῷ καὶ μολίβδῳ καὶ σιδήρῳ καὶ λίθῳ· οὐ τὴν αὐτῶν πάντως ἀκρίβειαν ἀπαιτήσει, τόν τε ἐν λίθῳ, καὶ τὸν ἐν κηρῷ πλάττοντα, ἀλλ' ἐν μὲν κηρῷ διὰ τὸ εὔεικτον τῆς ὕλης, ζη, τὴν ἀκρίβειαν ... ἐν δὲ λίθῳ ο ... ἀγαπητὸν γὰρ ... λίθῳ καὶ ἀμυδρὰν εἰκόνα ἀνθρώπου ἐντυπωθῆναι, διὰ τὸ τῆς ὕλης ἀνύπειεκτον.

—— B, 25.=C. 1, 4. p. 3. Γένος] Γένος τὸ ὑποκείμενον κἀνταῦθα φησί.

Κατὰ γὰρ τὸ λογικὸν εἶναι τῶν ἄλλων ζώων ἄνθρωπος ..... διαφέρειν λεχθ ... οὐδὲ γὰρ ὄρεξις ἡ τοῦ ἀνθρώπου ἢ ἀ ..... ἔργον αὐτοῦ ἐστίν.

—— B. 5.—C. 2, 5. p. 4. διττῶς] Τῆς μὲν δυνάμεως τῆς δι' ἐνέργειαν, τὴν κατ' ἐνέργειαν θετέον· μὴ γὰρ ἐνδέχεσθαι τὸν ἔχοντα τὴν ἀρετὴν ἀνενέρ ...εἶναι· ἐπεὶ καὶ ἕπεται τῷ εἰδέναι καὶ ἔχειν τὸ ἐνεργεῖν.

Ἀντὶ τοῦ ἐν ἑκάστῳ δὲ εὖ, τὸ ἐν ἑκάστῳ τέλειον.

—— B, 18.=C. 6, 16. p. 11. Τοῦτο λέγειν βούλεται, διὰ τούτου· ὅτι οὐχ οἷόν τε διὰ μιᾶς ἐνεργείας χρηστῆς τὸν εὐδαίμονα βίον χαρακτηρίσαι. κέχρηται δὲ τῇ παροιμίᾳ Κρατῖνος, ἐν Δηλιάσι[2].

—— B, 23.=C. 7, 18. p. 11. Περιγραφὴν φησὶ τὴν ὑποτύπωσιν καὶ μερικὴν πρόληψιν. 2ª manu.

—— B, 1.=C. 7, 20. p. 11. Ὡς ἐπὶ μέλιτος, ὅτι γλυκύ, καὶ ἐπὶ ἀψίνθου, ὅτι πικρόν· τὸ γὰρ, διότι οὐκ εὔπονον ἀποδοῦναι· οὐ γὰρ ζητοῦμεν, φέρε ἐπὶ τοῦ σημείου, διατί ἀμερές· ἀρχῆς γὰρ ἀρχήν ἐστι πολυπραγμονεῖν.

[2] δειλιάσι Cod.

Digitized by Google

1094. B, 7.=C. 7, 21. p. 12. Ὥσπερ τὸ ἐὰν ἴσως ἴσα προστεθῇ· τὰ ὅλα ἐστὶν ἴσα· καὶ ὅτι πᾶς ἄνθρωπος λογικὸς, διὰ τῶν κατὰ μέρος ἀνθρώπων θεωρεῖται· αἰσθήσει δὲ, ὡς τὸ μέλι γλυκύ· ἐθισμῷ δὲ, ὡς αἱ ἀρεταί· ἐκ γὰρ τοῦ ἐθίζεσθαι τὰ σωφρονικὰ πράπτειν, ὅτι καλὰ γινώσκομεν τὰ σωφρονικά· ἔστι δὲ καὶ ἐμπειρίᾳ γνῶναι τινὰ ὠφέλιμα, ὡς ἀπό τινος πόας διαφόρως ὑγιασάσης, καὶ ὠφελίμου φανείσης.

—— B, 18.=C. 8, 3. p. 12. Ὀρθῶς, φησὶν ὁ Ἀριστοτέλης, λέγονται παρὰ τῶν παλαιῶν πράξεις καὶ ἐνέργειαι, τὸ τέλος πάντων τῶν πρακτῶν· διὰ τὸ καὶ τὴν αὐτοῦ δόξαν ταῖς ..... συν .... εἶναι· καὶ γὰρ καὶ αὐτὸς τὴν τῆς ψυχῆς κατ' ἀρετὴν ἐνέργειαν, εὐδαιμονίαν ἔφησεν, ἥτις ἐστὶ τέλος πάντων τῶν πρακτῶν· Hoc Schol. 2ª manu.

Τοῦτο γὰρ συνάγεται ἐκ τῶν κατασκευαστικῶν αυτ. . . . πρότερον· οἷον, ὅτι εὐζωΐα τίς ἡ εὐδαιμονία, ὅτι αὐτάρκης· δείκνυται γὰρ ἐκ τούτων ἀγαθόν· ἀπὸ δὲ τῶν περὶ αὐτῆς λεγομένων, ὅτι τὸ τέλος ἐν πᾶσι ἐν τῷ ἔργῳ τῷ οἰκείῳ ἐστὶ προσλαβόντι τὸ εὖ· ταῦτα γὰρ καὶ αἱ κοιναὶ ἔννοιαι συνῳδά ἐστι τῇ ἀληθείᾳ τοῦ δεικνυμένου, καὶ ὡς φύσις καὶ προλήψεις.

δόξαν] Τὴν λέγουσαν τὴν εὐδαιμονίαν ψυχῆς ἐνέργειαν . . . . .

Τῶν φιλοσοφούντων τὰ τῆς ψυχῆς ἀγαθὰ κυριώτατα εἶναι· καὶ μάλιστα τῶν ἄλλων ἀγαθῶν· ταῦτα δέ εἰσιν αἱ πράξεις· αἱ γὰρ πράξεις ψυχῆς ἐνέργειαι.

—— B, 25.=C. 9, 6. p. 12. Διὰ τούτων ὡς συμπληρωτικὸν αὐτὴν δείκνυσι τῆς εὐδαιμονίας οὖσαν, ἤγουν τὴν ἡδονήν. τὸ δὲ "ἢ οὐκ ἄνευ ἡδονῆς," βούλεται λόγον τῆς ἡδονῆς παριστᾶν· οἷον εἰπεῖν ἐπὶ τῶν ἁγίων μαρτύρων. οὗτοι γὰρ τεμνόμενοι ἤλγουν, καὶ ἡδονὴν οὐκ εἶχον· ἐπεὶ δὲ τὸ ὑπὲρ Χριστοῦ πάσχειν ἀπεδέχοντο, οὐκ ἄνευ ἡδονῆς ἔπασχον.

Εὐδαιμονία γάρ ἐστι καὶ τὸ μίαν τῶν ῥηθεισῶν ψυχικῶν ἀρετῶν ἔχειν· μεθ' ἡδονῆς τῆς ἐν τοῖς ἐκτὸς ἀγαθοῖς θεωρουμένοις, ἤγουν τοῖς καθόλου εὐημερίαν εὐπραξίαν καὶ τοῖς ὁμοίοις· ἢ οὐκ ἄνευ ἡδονῆς, τῆς μερικῆς φησὶ, τοῖς ἐν μιᾷ τῶν ψυχικῶν ἀρετῶν θεωρουμένοις· ἢ οὐκ ἄνευ ἡδονῆς ..... αὐτὸς καὶ συμπληρωτικὸν

Digitized by Google

..... τῆς εὐδαιμονίας, ἀλλ' ὡς παρακολουθ..... ση..... (manu recentiori.)

1099. A, 8. Ὧν γάρ ἐστιν ἡ αἴσθησις, τούτων καὶ ἡδονὴ παρακολουθεῖ καὶ λύπη, ὡς ἐν τῷ περὶ ψυχῆς ὁ αὐτὸς οὗτος φησί.

—— A, 11.=C. 9, 11. p. 13. Οὗτοι ἐπὶ διαφόροις καὶ μαχομένοις ἥδονται.

1098. B, 30.=C. 9, 8. p. 13. Οὕτως δοκεῖ τῷ Ἀριστοτέλει συνᾴδειν τὸν λόγον αὐτοῦ ταῖς δόξαις τῶν παλαιῶν. οἱ μὲν γὰρ εὐδαιμονίαν εἶπον πᾶσαν ἀρετὴν ἢ μίαν τούτων· ὁ δὲ εἶπεν, εὐδαιμονία ἐστὶ ψυχῆς ἐνέργεια κατ' ἀρετήν. κατασκευάζων οὖν πῶς συνᾴδει ταῖς δόξαις τῶν παλαιῶν ὁ οἰκεῖος λόγος φησί· ταύτης γὰρ τῆς ψυχῆς δηλαδὴ ἐστὶν ἡ καθ' αὐτὴν, ἤγουν τὴν ἀρετὴν, ἐνέργεια, ψυχῆς ἐστὶν ἐνέργεια, καὶ ἡ τῆς ψυχῆς κατ' ἀρετὴν ἐνέργεια, ἀρετή ἐστιν. (manu recentiori.)

—— B, 12.=C. 9, 10. p. 13. Ἅτε μὲν κόρον λύπης γινόμενον αἴτιον, ἢ ὅτι ὁ μὲν ἐστὶ φίλος, ὁ δὲ φιλογλυκής· καὶ ὁ μὲν φιλοθεάμων, ὁ δὲ φιλακροάμων. (man. rec.)

περιάπτον φησὶ τὸ ξένον.

—— A, 25.=C. 9, 14. p. 14. Δῆλος ἐστὶν ὄνομα νήσου. (2ª manu.)

—— B, 2.=C. 9, 16. p. 14. τηθώμενοι] στενούμενοι. (2ª manu.)

—— B, 11.=C. 10, 1. p. 14. Οἱ περὶ θεοῦ καὶ τῆς τούτου προνοίας λόγοι· φυσικῆς τινὸς ἢ μετὰ τὰ φυσικὰ θεωρίας ἤρτηνται· δεῖ γὰρ πρῶτον εἰπεῖν τίς ἡ τοῦ θεοῦ οὐσία, καὶ πῶς ἀπ' αὐτοῦ ἡ πρόνοια ἥκει· καὶ πῶς αἴτιος τῆς εὐδαιμονίας καὶ δοτὴρ ἐστί· ἢ οὐ περὶ τούτου νῦν λέγει τοῦτο· τουτέστιν ὅτι θεόσδοτόν τι χρῆμα ἐστὶ ἡ εὐδαιμονία· ἀλλὰ καθόλου περὶ τοῦ τίνα τρόπον περιγίνεται· προϊὼν γὰρ περὶ τούτου διαλήψεται καὶ εὐθυσόν γε ἐν τῷ δευτέρῳ ζητήσει, πῶς αἱ ἀρεταὶ περιγίνονται.

—— B, 18.=C. 10, 4. p. 15. Τὰ πολύκοινα τῶν ἀγαθῶν, δυνατὸν ὑπάρξαι παντὶ πολιτικῷ· θεῖον γάρ τι τοῦτο ἡ ἀρετὴ φησίν· οὐ πολύκοινον δὲ κα..... τελοῦντος· ἀρχ...νῖκαι, μέγεθος ἃ τῆς τυχηρᾶς...ἤρτηντο συστοιχίας.

—— B, 19. πεπηρωμένοις] τετυφλωμένοις. (2ª m.)

Digitized by Google

1099. B, 29.=C. 10, 8. p. 15. *τοῖς ἐν ἀρχῇ*] *ἤγουν τοῖς ἄνωθεν εἰρημένοις.*

1100. A, 1.=C. 10, 9. p. 15. *τοιαύτης ἐνεργείας*] *δηλαδὴ τῆς κατ' ἀρετὴν ψυχικῆς ἐνεργείας.* (2ª m.)

5 —— A. 17.=C. 11, 3. p. 16. *Δοκεῖ γὰρ προσεῖναί τι τῷ τεθνεῶτι, καὶ κακὸν καὶ ἀγαθόν· κακὸν μὲν ἡ ἀπραξία, ὡς τῶν καλῶν τοῦ βίου ἀπηλλαγμένῳ καὶ ἀναισθήτως ἔχοντι· ἀγαθὸν δὲ, ὡς ἐκτὸς γεγονότι τῶν τοῦ βίου κλυδωνισμάτων, καὶ ἐν ἀσφαλῇ ὄντι καταστάσει.*

10 —— A. 24.=C. 11, 5. p. 16. *κοινοτέρῳ λόγῳ γονεῖς τοὺς προγόνους καλεῖ.*

συνικνεῖσθαι] *συνέρχεσθαι καὶ συνακολουθεῖν.* (2ª m.)

—— A, 35.=C. 11, 7. p. 16. *τὸ ὑπάρχον*] *δηλαδὴ τὴν εὐδαιμονίαν.* (2ª m.)

15 *εὐμετάβολον*] *εἰ γὰρ καὶ ἕξεις αἱ ἀρεταὶ, καὶ μόνιμοι διὰ τοῦτο· ἀλλ' οὖν οὐχὶ καὶ πάντη ἀμετάβλητοι· δυσαπόβλητοι μέντοι, ἀλλ' οὐχ ὡς αἱ τύχαι εὐμετάβολοι.*

—— B, 8.=C. 11, 9. p. 17. *Οὐ γὰρ τῶν τυχηρῶν ἀγαθῶν ἤρτηται τὸ εὐδαιμονεῖν· ἀλλὰ τῆς κατ' ἀρετὴν ἐνεργείας· προσδεῖ-*
20 *ταί φησι τούτων, ὡς ὑλικῶν ἢ ὀργανικῶν αἰτίων.*

—— B, 13.=C. 11, 10. p. 17. *Αἱ γὰρ ἐπιστῆμαι ἰδιάζουσαν ἔχουσιν ὕλην· ἧς μὴ παρούσης, οὐχ οἷόν τε ταύτας ἐνεργεῖν· ἡ δ' ἀρετὴ ἀεὶ πάρεστι· περὶ γὰρ τὸ ζῆν τοῦ ἀνθρώπου ἀεί.*

—— B, 11.=C. 11, 9. p. 17. *μαρτυρεῖ δὲ*] *εἰς ἀπόδειξιν*
25 *τοῦ, ὅτι αἱ κατ' ἀρετὴν ἐνέργειαι ὡς ἀμετάβλητοι κύριαι τῆς εὐδαιμονίας εἰσὶ, καὶ οὐχὶ αἱ τύχαι ὡς εὐμετάβλητοι, φησί· μαρτυρεῖ δὲ τῷ ἐμῷ λόγῳ καὶ ἡ προρρηθεῖσα ἀπορία, ἐν ᾗ μόνιμον τὴν εὐδαιμονίαν λέγει, καὶ μηδαμῶς εὐμετάβολον.* (2ª m.)

—— B, 21.=C. 11, 11. p. 17. *τετράγωνος*] *τετράγωνον τὸν*
30 *ἑδραῖον φησὶ καὶ ἀμετακίνητον· ὃν οὐδὲν μεθίστησι τῶν τυχαίων· ὁ γὰρ ψεγόμενος τοὐναντίον μεθαρμόζεται, καὶ συμμεταβάλλεται ἀεὶ τοῖς ἐπικρατοῦσι συμμεθαρμοζόμενος· οἷον φασὶ Θηραμένην τὸν ἕνα τῶν τριάκοντα, ὃς διὰ τοῦτο καὶ Κόθορνος ἐκλήθη.*

1101. A, 7.=C. 10, 15. p. 18. *Μακάριος ἐκεῖνός ἐστιν ἐν*
35 *τοῖς πᾶσιν, ὁ κατὰ πᾶν εἶδος τῶν ἀγαθῶν εὐθυνούμενος.* (2ª m.)

Digitized by Google

1101. A, 28.=C. 11, 1. p. 18. Συνικνεῖσθαι φησὶ καὶ τὰς τῶν ἀπογόνων ἀτυχίας πρὸς τὰς τῶν θανόντων πρᾶ...εὐδαιμονίας· καὶ βλάπτειν αὐτὰς, πλὴν οὐ τοσοῦτον βλάπτειν· ἀνεπαίσθητον γὰρ τοῖς τεθνεῶσι ἡ τῶν ζώντων δυσπραγία, καὶ διὰ τοῦτο μικρὰ τὸ μακάριον λυμαινομένη· τοσοῦτον δὲ διαφέρει τὸ ζῶντας βλέπειν τὰς τῶν ἀπογόνων ἀτυχίας τοὺς πατέρας, ὅσον ἐν ταῖς τραγῳδίαις τὸ δοκεῖν ἤδη τὴν ἅλωσιν ὁρᾷν τῆς Ἰλίου, τοῦ διὰ τῆς ἱστορίας ἀκούειν.

—— A, 31.=C. 11, 3. p. 19. Διαφέρει φησὶ τὸ ζῶντας τινὰς δυστυχεῖν ἢ τεθνηκότας· εἰ μὲν γὰρ ζῶντες δυστυχοῦσι, ἂν ὦσιν εὐδαίμονες, τῇ δυστυχίᾳ τὸ μακάριον τούτοις καταρυπαίνεται. ἂν δὲ μετὰ θάνατον, διὰ τῆς τῶν ἀπογόνων καὶ φίλων δυστυχίας τὸ δυστυχὲς εἰς αὐτοὺς ἀναφέρηται, οὐχ οὕτως αὐτῶν ἡ εὐδαιμονία θλίβεται καὶ ῥυπαίνεται. (2ª m.)

—— B, 27.=C. 12, 5. p. 20. Ἔλεγε γὰρ τὴν ἡδονὴν ἐπέκεινα εἶναι πάντων τῶν ἀγαθῶν· καὶ διὰ τοῦτο ἀπένεμεν αὐτῇ ὁ Εὔδοξος τὰ ἀριστεῖα, ἤγουν τὰς νίκας καὶ τὰ τρόπαια. (2ª m.)

Οὗτος γὰρ λαμβάνων τὴν ἡδονὴν ἀγαθὸν εἶναι· ἀπό τε τοῦ κατὰ φύσιν καὶ τοῦ ἐναργοῦς· πάντα γὰρ αὐτῆς ἐφίεται καὶ αἱρεῖται αὐτήν· τὸ δὲ αἱρετὸν, τίμιον· ἐδείκνυε διὰ τοῦ αἱρετὴν αὐτὴν εἶναι καὶ ἀγαθὴν, μὴ οὖσαν τῶν ἐπαινετῶν, ἀλλὰ τῶν τιμίων.

—— B, 33.=C. 12, 7. p. 20. τὰ δὲ ἐγκώμια] Διενήνοχεν ἔπαινος ἐγκωμίου· διὰ τὸ τὸν μὲν ἔπαινον εἶναι τῶν ἀγαθῶν ἕξεων, δηλαδὴ τῶν ἀρετῶν· τὸ δὲ ἐγκώμιον, αὐτὰ τὰ ἔργα καὶ τὰς πράξεις ἐγκωμιάζειν, ἃς ὁ ἐγκωμιαζόμενος διαπράττεται. (2ª m.)

LIB. II.

1103. A, 14.=C. 1, 1. p. 23. Τῶν ἀρετῶν αἱ μὲν εἰσὶ τοῦ λογικοῦ μέρους τῆς ψυχῆς· οἷον ἡ φρόνησις, ἡ σύνεσις, καὶ αἱ τοιαῦται· αἱ δὲ τοῦ ἐπιθυμητικοῦ καὶ θυμικοῦ, αἵτινες καὶ πρακτικαὶ καὶ ἠθικαὶ λέγονται.

διανοητική] τὸ πλεῖον προσέθηκεν ἐνταῦθα, ὅτι οὐκ ἔχει τὸ πᾶν ἐκ μαθημάτων καὶ ἀναγνώσεων ἡ φρόνησις, ἀλλὰ δεῖ αὐτῇ καὶ φυσικῆς ἐπιτηδειότητος.

Digitized by Google

τὸ πλεῖον] δεῖται γὰρ καὶ φυσικῆς ἐπιδεξιότητος[2]. (2ª m.)

ἡ γὰρ πεῖρα ..... καλεῖν καὶ ἡ ..... ὡς τὰ ἀστρονομικά· πλειόν· καὶ μ... ἡ φρόνησις. (2ª m.)

ἐξε...θα. γὰρ αἱ τῆς ἀλόγου ψυχῆς ἀρεταί. (2ª m.)

5 1103. A, 24.=C. 1, 3. p. 23. οὔτ' ἄρα φύσει] περὶ τοῦ φύσει, τί ἐστὶ, καὶ ὅτι ἄλλο τὸ φύσει, καὶ ἄλλο τὸ κατὰ φύσιν, καὶ τὰ τοιαῦτα, ἐν ἑτέρᾳ πραγματείᾳ ὁ Ἀριστοτέλης διαλαμβάνει ἀκριβέστερον· ἐνταῦθα δὲ μόνον μνημονευτέον ἡμῖν τῶν συντεινόντων εἰς τὸ προκείμενον· ἔστι γὰρ φύσει καὶ τὸ ἀναπόβλητον καὶ
10 ἀεὶ ὡσαύτως ἔχον· οἷον τῷ πυρὶ, τὸ ἄνω φέρεσθαι· ἀεὶ γὰρ τὴν ἄνω φορὰν τὸ πῦρ κέκτηται καὶ οὐκ ἀποβάλλει αὐτὴν, ὥσπερ οὐδὲ ὁ λίθος τὸ βαρὺ καὶ κατωφερές· λέγεται φύσει καὶ τὸ ἐπιγινόμενον ἡμῖν ποτὲ, μηδὲν ἡμῶν εἰς αὐτὸ συμβαλλομένων, ὡς τὸ ἐν καιρῷ γενειάζειν· λεγόμεθα καὶ ἁπλῶς οἱ ἄνθρωποι φύσει δεκτικοὶ
15 εἶναι ὑγείας καὶ νόσου· ἀλλὰ τῆς μὲν ὑγείας φύσει· καὶ γὰρ οὕτω παρὰ τοῦ δημιουργοῦ κατ' ἀρχὰς κατήχθημεν, τῶν στοιχείων ἐξ ὧν συντεθείμεθα, εὐκράτως ἐχόντων· τῆς δὲ νόσου γινόμεθα δεκτικοὶ, τῶν στοιχείων τὴν οἰκείαν τάξιν μὴ φυλαξάντων, ἀλλ' εἰς τὸ παρὰ φύσιν μετενεχθέντων· οὔτε οὖν φύσει ἡμῖν
20 ἐγγίνονται αἱ ἀρεταὶ, ὡς τὸ πυρὶ τὸ ἀνωφερές· πάντες γὰρ ἂν ὑπῆρχον ἐνάρετοι, οὔτε παρὰ φύσιν, ὡς ἐπὶ τῆς νόσου.

1103. B, 1.=C. 1, 4. p. 24. Ἰστέον ὅτι τῶν φυσικῶν πάντων αἱ δυνάμεις καὶ ἕξεις προηγοῦνται τῶν ἐνεργειῶν· ἐπὶ δὲ τῶν τεχνητῶν, τὸ ἀνάπαλιν ἐκ τῶν ἐνεργειῶν αἱ ἕξεις περιγίνονται.

25 —— B, 4.=C. 2, 7. p. 26. Τοῦτο παρίστησιν ἐνταῦθα ὅτι περὶ ἡδονὰς καὶ λύπας καταγίνεται πᾶσα ἀρετὴ καὶ ταύτας ἔχει ὑποκείμενα· ἐπεὶ δὲ διαφέρει ἡδονὴ ἡδονῆς, ἡ μὲν γὰρ ἐπαινεῖται, ἡ δὲ ψέγεται, τὸ ἐκ τῶν αὐτῶν ὅς[3] νοήσεις, τῶν αὐτῶν τῷ γένει· ἡ ἡδονὴ γὰρ ἐπίσης κατηγορεῖται ὡς Γ· καὶ τῆς τοῦ σώφρονος
30 καὶ τῆς τοῦ ἀκολάστου ἡδονῆς· οὐ μὴν τῶν αὐτῶν τῷ εἴδει καὶ τῇ ποιότητι.

Ἡ ἕξις ἀεὶ ἐν ταυτότητι ἔστηκε, καὶ οὐ φθείρεται, οὐδὲ εἰς τὸ ἐναντίον περιτρέπεται· λοιπὸν τὸ φθείρεται ἀντὶ τοῦ ἐμποδίζεται ληπτέον.

[2] φυζ ἐπιδεξιότητα Cod. [3] Sic.

Digitized by Google

1103. B, 21.=C. 1, 7. p. 25. ἐκ τῶν ὁμοίων] τὸ "ἐκ τῶν "ὁμοίων ἐνεργειῶν" οὐκ ἀπολύτως νοητέον· οἷον ἀπὸ τῶν αὐτῶν ἐνεργειῶν καὶ τὴν ἀρετὴν καὶ τὴν κακίαν γίνεσθαι· ἀλλὰ ἀπὸ τῶν ὁμοίων ἑκάστη ἕξει.

—— B, 32.=C. 2, 2. p. 25. Ὡς ἐν τῷ ἕκτῳ ὅπου περὶ φρονήσεως λέγει· ὁ γὰρ ὀρθὸς λόγος ἀπὸ φρονήσεως ὤν, ὁρίζει τὰς πράξεις τὰς κατὰ τὰς ἠθικὰς ἀρετὰς, καὶ τὸ μέτρον αὐταῖς ἐπιτίθησιν· ἀναμιμνήσκει δὲ ἡμᾶς καὶ τοῦ κατ' ἀρχὰς παραγγέλματος, ὅτι οὐ δεῖ τὸ ἀκριβὲς ἐπιζητεῖν, ἐν ταῖς κατὰ τὰς ἀρετὰς καὶ τὰ ἤθη πράξεσιν· οὐδὲ γὰρ ἔχουσιν ὡρισμένον τί· ἀλλὰ πρὸς τὰς ὕλας καὶ τοὺς καιροὺς καὶ τὰς ἡλικίας ταῦτα μεταπίπτει· καὶ ἄλλοτε ἀλλοῖα γίνεται, ὥσπερ καὶ τὰ ὑγιεινά· οὐδὲ γὰρ ἐπὶ τούτων ἐστὶν ἀκριβῶς εἰπεῖν, πόσος περίπατος ὑγιεινός· ἢ τὰ πόσα σιτία· πρὸς γὰρ τὴν δύναμιν τοῦ κάμνοντος τὴν πεπτικὴν καὶ τὴν ἡλικίαν ταῦτα κρίνεται· οὐκ ἔχων γὰρ ἐν τοῖς τοιούτοις ἀκριβὲς τί εἰπεῖν διὰ τὸ εὐμετάβολον τῶν πραγμάτων· ὁ γὰρ αὐτὸς ἄνθρωπος οὐ μένει ὁ αὐτὸς καθ' ἕξιν τὴν τοῦ σώματος, οὐ δὲ ἀκαριαῖον χρόνον· προσέθηκε τύπῳ καὶ οὐκ ἀκριβῶς.

1104. B, 7.=C. 2, 1. p. 27. Τὸ "ἢ μὴ λυπόμενος" προσέθηκε διὰ τοὺς κρατουμένους περὶ τῶν πολεμίων καὶ μεληδὸν κοπτομένους, διὰ τὸ μὴ βούλεσθαι δεῖξαι αὐτοῖς τὴν πηγὴν τοῦ ὕδατος, ὅθεν ἡ πόλις αὐτῶν ὑδρεύεται· οἱ γὰρ τοιοῦτοι πῶς ἂν χαίροιεν τεμνόμενοι, μὴ λυπεῖσθαι δὲ δύνανται, ὅσον τὸ ἐφ' ἑαυτοῖς, τὴν πατρίδα σώσαντες.

—— B, 16.=C. 2, 3. p. 27. Ἀπόδοσιν ποιεῖται τοῦ περὶ ἡδονὰς καταγίνεσθαι καὶ λύπας τὰς ἀρετὰς, τοὺς κολαζομένους ἐν ἁμαρτήματι· τοὺς γὰρ τοιούτους αἱ βάσανοι περὶ τὰς ἡδονὰς σφαλλομένους εἰς τὸ ἐναντίον περιωθοῦσι τὸ λυπεῖσθαι.

—— B, 24.=C. 2, 4. p. 27. Τῶν γὰρ ἡμαρτημένων ἡδονῶν ἐστὶν ἤγουν παθῶν, ἀπαθής τις ἡ ἀρετή· ἡμαρτημέναι δὲ αἱ κακίαι εἰσὶν, αἱ ἐν ἀμετρίᾳ ἡδονῶν καὶ λυπῶν· αἱ δὲ ἀρεταὶ ἐν τῷ μεμετρημένῳ καὶ ὡρισμένῳ.

1105. A, 3.=C. 2, 14. p. 24. Οἱ πολλοὶ, φησὶ, μᾶλλον ἐν τούτῳ κανονίζουσι τὰς πράξεις· τὰ γὰρ ἡδέα καὶ ὅσα μεθ' ἡδονῆς, πράττουσι· τὰ δὲ λυπηρὰ, ἀποστρέφονται· οἱ δὲ ἀγαθοὶ ἧττον·

Digitized by Google

τῷ λόγῳ γὰρ πειθόμενοι ἑτοιμώτερον πράττουσιν ἃ δεῖ, κἂν ἀηδη αὐτὰ δοκῇ[4].

1105. A, 10.=C. 2, 8. p. 28. ὥστε καὶ διὰ τοῦτο] ἐν τῷ ἐν ἀρετῇ γίνεσθαι καὶ τέχνη ἢ ἀτέχνως καὶ χωρὶς ἀρετῆς.

5 —— A, 9.=C. 2, 10. p. 28. περὶ δὲ τὸ χαλεπώτερον] περὶ τὸ χαλεπώτερά, φησιν, ἀεὶ ἐξετάζονται αἱ τέχναι· περὶ γὰρ τὰ δυσαρμοστότερα τῶν ξύλων ἡ τεκτονικὴ κρίνεται· τὸ γὰρ ἐν τούτοις εὖ, βέλτιον καὶ τεχνικώτερον· καὶ ὅσα δυσιατώτερα τῶν παθῶν, ἰατρικὴ ἐπισκέψεται, οὕτω δὲ καὶ αἱ ἀρεταὶ περὶ τὰ χαλε-
10 πώτερα ἂν εἶεν· χαλεπώτατον δὲ καὶ δυσμαχότατον πάθος ἡ ἡδονή, ὥστε περὶ ταύτην ἂν εὐλόγως θείη μὲν οὖν τὴν ἀρετήν· ἡδονῆς γὰρ χαλεπώτερον κρατεῖν.

Χρὴ γινώσκειν ὅτι ἐπιστήμη ἐστὶν ἕξις ἀποδείξεως γνωστική.

—— B, 32.=C. 4, 2. p. 30. Ἕξεις εἰσὶ καθ' ἃς πρὸς τὰ
15 πάθη ἔχομεν, εὖ ἢ κακῶς· εὖ μὲν, εἰ μέσως ἔχοιμεν πρὸς ταῦτα· ὅπερ ἐστὶν ἀρετῆς· κακῶς δὲ, εἰ ὑπερβάλλοιμεν περὶ αὐτὰ, ἢ ἐλλείποιμεν, ὃ κακίας ἴδιόν ἐστιν.

1106. B, 8.=C. 5, 2. p. 30. Ἐκ τοῦ ἥττονος ἐνταῦθα ἐπιχειρεῖ· εἰ γὰρ ἡ τέχνη, φησὶν, ἥττων οὖσα κατὰ τοῦτο εὖ τὸ
20 ἑαυτῆς ἔργον ἀποτελεῖ, πολλῷ μᾶλλον ἡ ἀρετή.

Τοῦτο διὰ τὰς θεωρήτας προστέθεικεν, αἳ οὕτω μέσῳ χαρακτηρίζονται· τῷ ὑπερβάλλοντες δὲ, ὡς ἐπὶ τῆς κατὰ τὰ μαθήματα ἐντρεχείας καὶ ὀξύτητος.

—— B, 28.=C. 5, 14. p. 32. Οἱ Πυθαγόρειοι ἐν τῇ τῶν
25 κακῶν μὲν συστοίχων τὰ πολλὰ καὶ τὸ ἄπειρον ἔταττον· ἐν δὲ τῇ τῶν ἀγαθῶν, τό τε ἓν, καὶ τὸ πεπερασμένον.

1107. A, 6.=C. 5, 5. p. 31. Μέσον ἔστι τὸ κατὰ πρᾶγμα, τὸ ἴσον τῶν περάτων ἀπέχον· τοῦτο δὲ τὸ μέσον, οὐκ ἐστὶ περὶ ὃ ἡ ἀρετή· ἀλλ' ἔστι τε τὸ πρὸς ἡμᾶς μέσον· οὐ γὰρ τῶν περάτων
30 τὸ μέσον ἡ ἀρετὴ ζητεῖ, ἀλλὰ τῶν ἐκτροπῶν τῶν ἐπὶ τὰ πέρατα· τὸ δὲ ἐν ἀρετῇ μέσον κατὰ μίξιν τῶν ἄκρων λέγεται, ὡς ἔχει τὸ φαίον· οὐ γὰρ πάντα τὰ μέσα τινῶν ἐν μίξει τῶν ὧν ἐστὶ μέσα, τὸ εἶναι ἔχει· ἐπὶ γὰρ τῶν τεχνῶν εὐθὺς, οὐ μίξει, ἀλλ' ἀφαιρέ-

[4] αὐ ταδοκῇ Cod.

Digitized by Google

σει καὶ προσθέσει γίνεται τὸ μέσον· οὕτω δὲ ἔχει καὶ ἐπὶ τῶν ἀρετῶν· ἐπὶ τὸ μέσον ἀγαθοῦ τε καὶ κακοῦ, οὐκ ἐκ μίξεως ἀγαθοῦ καὶ κακοῦ ἐστιν· ἀλλ' οὐδὲ ὁ 5' ἀριθμὸς, ἐκ μίξεως τῶν ι καὶ τῶν δύο γίνεται· ἀλλ' οὐδὲ ἐνι οἷς συνέχεσι σώμασι τὸ μέσον μίξει τῶν ἄκρων ἐστὶ, ἀλλ' οὐδὲ τοῦ κύκλου τὸ κέντρον ἐκ μίξεως τῆς περιφερείας ἐστίν. 5

1105. A, 22.=C. 7, 3. p. 34. Τοῦτο λέγει, ὅτι ἡ σωφροσύνη οὐκ ἔστιν ὑπερβάλλουσα καὶ ἐλλείπουσα· εἰ γὰρ δοθείη τοῦτο, ἔσται τὸ αὐτὸ ἀρετὴ καὶ κακία· εἴγε ἡ μὲν ἀρετὴ μεσότης τίς ἐστιν· ἡ δὲ ὑπερβολὴ κακία. 10

1108. A, 4.=C. 7, 10. p. 35. Οὐχ ὅτι αὐτὸς ἐφεῦρε τὸ ὄνομα τῆς πραότητος τοῦτο λέγει· κεῖται γὰρ καὶ παρὰ Πλάτωνι καὶ ἑτέροις παλαιοτέροις τὸ τῆς πραότητος, ἀλλ' ὅτι ἐφ' ἑτέρων κείμενον, αὐτὸς ἐπὶ τῆς νῦν ἔλαττον τοῦτο διαφέρον· κεῖται γὰρ ἡ πραότης ἐπὶ τοῦ ἡσύχου· ὡσαύτως καὶ τὸ ὀργίλος ἐφ' ἑτέρων λαμβανόμενον, αὐτὸς ἐπὶ τὴν ὑπερβολὴν τοῦτο μετήνεγκε, τὴν δὲ ἀοργησίαν μόνην ἐκαινοτόμησε. 15

—— A, 51.=C. 7, 12. p. 36. Ἡ ἐν προσποιήσει ἀληθείας ψευδοσύνη· ἡ μὲν πρὸς ὑπερβολὴν ἀλαζονεία· λέγει γὰρ ὁ πρὸς ὑπερβολὴν ψευδόμενος· καὶ τὰ μὴ προσόντα αὐτῷ καλὰ προσεῖναι· ἡ δὲ ἐπὶ τὸ ἔλαττον εἰρωνεία· ὁ γὰρ εἴρων καὶ τὰ προσόντα αὐτῷ κρύπτει καὶ μειοῖ· τοιοῦτοι[5] γὰρ οἱ εἴρωνες. 20

1109. A, 30.=C. 9, 3. p. 38. Δοκεῖ ταῦτα τὰ ἔπη ἡ Κίρκη μᾶλλον παρὰ τῇ ποιητῇ, ἀλλ' οὐχ ἡ Καλυψὼ λέγειν. καπνῷ δὲ καὶ κύματι ἀπείκασται τὸ τοιοῦτον ἄκρον, τὸ φευκτὸν αὐτοῦ δεικνὺς ὁ φιλόσοφος· ἁμαρτωλότερον δέ φησι τὸ μᾶλλον ἐναντίον τῷ μέσῳ καὶ ἀνομοιότερον. 25

LIB. III.

1110. B, 11.=C. 1, 11. p. 41. τούτων γὰρ] τῶν ἡδέων καὶ τῶν λυπηρῶν. 30

1111. A, 3.=C. 2, 16. p. 42. Τίς ὁ πράττων τὸ δὲ τί καὶ περὶ τί, ὡς περὶ ὑποκειμένου λέγεται τὰ ἀμφότερα· ὡσαύτως δὲ

[5] τοιῶ Cod.

Digitized by Google

καὶ τὸ ἔν τίνι, ἤγουν ἐν υἱῷ γέγονεν ἡ πρᾶξις ἐν πατρί· ἐνοικεία ἐν ἀλλοτρίῳ.

1111. A, 10.=C. 2, 17. p. 42. Ἡ Μερόπη ἐπεβούλευσε Κρεσφόντῃ τῷ υἱῷ ὡς πολεμίῳ, δι' ἄγνοιαν· καὶ ἔστι τὸ δρᾶμα
5 παρ' Εὐριπίδῃ.

Ἀκροχειρίζεσθαί ἐστι τὸ πυκτεύειν ἢ παγκρατιάζειν πρὸς ἕτερον ἄνευ συμπλοκῆς, ἢ ὅλως ἄκραις ταῖς χερσὶ μετ' ἀλλήλων γυμνάζεσθαι.

—— A, 18.=C. 2, 18. p. 43. Διατί κυριώτατα; ἐπειδὴ
10 μάλιστα οἱ τῇ τούτων ἀγνοίᾳ ποιήσαντές τι ἀκουσίως ποιοῦσι· τὸ δὲ ἐν οἷς ἡ πρᾶξις, τὸ πρόσωπον παριστᾷ, εἰς ὃ γέγονε τὸ πραχθέν· οἷον, εἰς υἱὸν, εἰς πατέρα· καὶ τὸ τίνος δὲ ἕνεκεν ἔπραξέ τις· οἷον, χάριν σωτηρίας, ἢ ἕνεκεν διδαχῆς, καὶ τὰ τοιαῦτα. μεγάλως συμβάλλεται πρὸς τὸ ἀκούσιον, εἰ καὶ τὸ χάριν σωτηρίας γινόμενον
15 εἰς τοὐναντίον ἀπέβη, καὶ ἔφθειρεν· ὡς ἐπὶ τῶν διδομένων φαρμάκων, πολλάκις γίνεται.

—— A, 29.=C. 3, 21. p. 43. Διὰ τοῦ εἰπεῖν "ἴσως οὐ "καλῶς λέγεται," δοκεῖ ὅτι τὰ διὰ θυμὸν ἢ ἐπιθυμίαν γινόμενα ἐμπεριείληπται τῷ τοῦ ἑκουσίῳ λόγῳ· οἱ γὰρ διὰ ταῦτα ἁμαρ-
20 τάνοντες, ἐν ἑαυτοῖς τοῦ πράσσειν τὴν ἀρχὴν ἔχουσιν.

—— B, 1.=C. 3, 26. p. 43. Ἐν τοῖς κατὰ λογισμὸν ἁμαρτανομένοι ἐξ ἀφροσύνης, τὰ φευκτὰ ἀκολουθεῖ· διὸ καὶ τὸ ἑκούσιον.

—— B, 9.=C. 4, 2. p. 44. Οἷον, ἦλθεν αἴφνης φίλος ἀπό-
25 δημος ἐν χρόνῳ πολλῷ. ἡ ἄφιξις τούτου ἑκούσιος μέν ἐστι, κατὰ προαίρεσιν δ' οὐκ ἔστιν.

1112. B, 1.=C. 5, 8. p. 46. Ἀκριβεῖς καὶ αὐτάρκεις λέγει τὰς ἀποδεικτικὰς, οἷα ἐστὶν ἡ γεωμετρία· αὐτάρκεις δέ εἰσιν, αἱ μὴ δεόμεναι βοηθείᾳ ἔξωθεν, ἀλλ' ὡρισμέναι καὶ ἑαυταῖς αὐταρ-
30 κοῦσαι.

—— B. 19.=C. 5, 11. p. 40. Εὕρεσιν τὴν ἀνάλυσιν λέγει· ἐκεῖ γὰρ, ἤγουν ἐν τῇ ἀναλύσει, εὑρίσκεται καὶ φαίνεται ἔσχατον τὸ πρῶτον αἴτιον· διάγραμμα δὲ εἶπεν, ἐπεὶ οἱ γεωμέτραι τοῦτον τὸν τρόπον τὴν ἀνάλυσιν ἐπὶ τῶν διαγραμμάτων ποιοῦνται· λα-
35 βόντες γὰρ τὸ συμπέρασμα τῆς δείξεως· πρῶτον μὲν τὰ προσεχῆ

Digitized by Google

τούτων, δι' ὧν ἐδείχθη, ταῦτα καὶ οὕτως ἀεὶ ποιοῦντες, καὶ λαμβάνοντες τὰ τῶν δεικτικῶν δεικτικὰ, ἀνίασιν ἐπὶ τὴν ἀρχήν.

1111. B, 28.=C. 5, 13. p. 47. Ὅταν δὲ τὸ ὄργανον ᾖ ὡρισμένον, οἷον σμίλα, ἡ χρεῖα· οἷον, ἐπὶ πόσον τέμνοντα δεῖ προϊέναι· καὶ ἴ..... φαρμάκου δὲ ὡσαύτως· ποῖον καὶ πόσον δοτέον, καὶ πότε καὶ πῶς ἔχοντι, καὶ διὰ τίνος τρόπου.

—— B, 33.=C. 5, 13. p. 41. Οὐ δὲ τὰ ὑπὸ τὴν αἴσθησιν ἡμῶν κείμενα καὶ ὁρώμενα ἔστι βουλευτὰ, οἷον, εἰ ἄρτος τοῦτο· ὁρῶμεν γὰρ αὐτὸν τοῖς ὀφθαλμοῖς.

1113. A, 3.=C. 5, 16. p. 41. Εἰ γὰρ μηδὲν εἴη αὐτόθι γνώριμον, ἀλλ' ἀεὶ πᾶν τὸ λαμβανόμενον δι' ἄλλου τὴν πίστιν λαμβάνουσιν· εἰς ἄπειρον ἂν προίοι ἡ βουλὴ, ἀεὶ ἄλλου δι' ἄλλου πιστουμένου.

—— A, 7.=C. 5, 18. p. 41. Οὗτοι γὰρ ἐν τοῖς οὕτως ἀρχομένοις ἡγούμενοί εἰσιν· ὥσπερ καὶ ἡμῶν ὁ νοῦς· ὡς ὁ δῆμος δὲ τοῖς κριθεῖσιν ἐπιψηφίζεται, οὕτως ἐνταῦθα ἡ ὄρεξις ἐπιψηφίζεται τῷ νῷ, καὶ συνεξορμᾷ ἐπὶ τὴν πρᾶξιν.

—— A, 9.=C. 5, 24. p. 41. Τὸ "κατὰ τὴν βούλησιν" δοκεῖ μὲν ὡς παρέλκον ἐνταῦθα κεῖσθαι, οὐκ ἔστι δέ· ὀρεγόμεθα μὲν γὰρ καὶ κατὰ θυμὸν καὶ κατὰ ἐπιθυμίαν· ἀλλ' ἐκεῖ μὲν ἄλλων ὀρεγόμεθα· ἡ δὲ κατὰ βούλησιν ὄρεξις, μονοῦ τοῦ ἀγαθοῦ.

Τὸ "τύπῳ" προσέθηκε, οὐχ ὡς μὴ ἀποδεδωκὼς τὸν ὅρον τῆς προαιρέσεως· ἀλλ' ἀντὶ τοῦ καθόλου εἰρήσθω· τὸ δὲ περὶ ποῖα, ἤτοι τὰ βουλευτὰ ἐμφαίνει.

—— A, 21.=C. 6, 5. p. 42. Τοῖς μὲν γὰρ πόνος ἀγαθὸν φαίνεται· ὡς τῷ λέγοντι,

ἐκ τῶν πόνων τοι τ' ἀγαθὰ αὔξεται βροτοῖς·

καὶ τῷ

τῶν πόνων
πωλοῦσιν ἡμῖν πάνταθ' ἃ ἀγαθὰ οἱ θεοί.

τοῖς δὲ, ἡδονή· ὥσπερ Καλλικλεῖ τῷ παρὰ Πλάτωνι λέγοντι "πάντα δεῖ πράττειν ὑπὲρ ἡδονῆς·" οὕτω τὲ ἔσται τὸ Πρωταγόρειον δόγμα· "τὸ μηδὲν οὖν αὐτὸ καθ' ἑαυτό· τοιοῦτον δ' ἕκαστον "εἶναι, οἷον δοκεῖ τινὶ καὶ φαίνεται."

Ἤγουν τὴν ὁρατικὴν, τὴν γευστικὴν, τὴν ἀκουστικήν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Digitized by Google

1114. B, 20.=C. 8, 21. p. 52. Χρὴ εἰδέναι ὅτι ἡ λέξις ἐπὶ πλέον τῆς μεσότητος· ἡ γὰρ αἰδὼς καὶ ἡ νέμεσις μεσότητες μὲν εἰσὶν, ἕξεις δὲ οὔ.

Τὸ "καθ' αὐτὰς" πρόκειται, ὅτι πράξει μὲν καὶ τὰ ἀνδρεῖα ὁ σώφρων· ἀλλ' οὐχ ᾗ σώφρων, ἀλλὰ κατὰ συμβεβηκὸς, τῷ ἅμα καὶ ἀνδρεῖος εἶναι καὶ σώφρων.

1115. A, 2.=C. 9, 23. p. 52. Τὸ "τίνες" δηλαδὴ τὴν οὐσίαν, καὶ περὶ τίνα ὑποκείμενα· ἤγουν περὶ πράξεις καὶ πάθη· πῶς δὲ, ἐν τῷ τὸ μέσον αἱρεῖσθαι, φεύγειν δὲ τὰς ὑπερβολὰς καὶ ἐλλείψεις.

—— A, 6.=C. 9, 2. p. 52. Διατί περὶ ἀνδρείας πρῶτον εἴρηκεν; μᾶλλον γὰρ τῶν ἄλλων ἐπαινετὴ, διὰ τὸ ἐπίπονα καὶ ἐπίλυπα ὑπομένειν· χαλεπώτερον γὰρ τὸ τὰ ἐπίπονα φέρειν, τοῦ τῶν ἡδέων ἀπέχεσθαι.

—— A, 17.=C. 9, 4. p. 52. Τὸ "ἴσως" προσέθηκε, ὅτι δεῖ μὲν αὐτὰ ἐκκλίνειν ποτὲ, εἰ μὴ μέλλοι τινὸς ἡμῖν αἰσχροῦ ἡ ἔκκλισις αὐτῶν αἰτία γίνεσθαι· οὐ μὴν φοβεῖσθαι· οὐ γὰρ ἡ οὑτινοσοῦν ἔκκλισις, καὶ ὁπωσοῦν φόβος, ἢ διὰ φόβον· ἃ γὰρ ἐν τῷ βουλεύεσθαι ἐκκλίνομεν ἀποδοκιμάζοντες, ἐκκλίνομεν μὲν καὶ οὐ πράττομεν, οὐ μὴν καὶ φοβούμεθα.

—— A, 27.=C. 9, 6. p. 53. Ὁ γὰρ θανὼν οὐκ ἔχει τινὸς αἴσθησιν.

—— A, 30.=C. 9, 8. p. 53. Κάλλιστον εἶπε τὸν κίνδυνον, ὡς ὑπὲρ πατρίδος καὶ σωτηρίας τῶν οἰκείων γινόμενον· ὁμολογοῦσι δὲ τοῦτο, ὅτι κάλλιστοι εἰσὶ κίνδυνοι οἱ τοιοῦτοι καὶ αἱ τιμαί· αἱ ὑπὸ τῶν νόμων ὁριζόμεναι καὶ διδόμεναι περὶ τῶν μονάρχων, τοῖς οὕτως προκινδυνεύουσιν.

Ἅμα δὲ καὶ ἀνδρίζονται οἱ ἀνδρεῖοι.

—— B, 4.=C. 9, 11. p. 53. Ἤγουν ἐν τοῖς κατὰ θάλασσαν ἢ τοῖς ἀπὸ νόσων θανάτοις· οὔτε καλόν ἐστι, ὅτε τις πράξις καὶ ἐνέργεια ἀπὸ ἀνδρείας γίνεται.

—— B, 8.=C. 10, 1. p. 53.=Φοβερὰ δηλονότι, ἃ οὐ πᾶσιν ὁμοίως ἐστὶ φοβερὰ ἀλλὰ διάφορα· καὶ γὰρ μεγέθει ἄλλα ἄλλων διαφέρει.

—— B, 20.=C. 10, 6. p. 54. Ἤγουν καθ' ἑκάστην ἕξιν

Digitized by Google

καὶ ἀρετήν· τέλος ἐστὶ τὸ κατ' αὐτὴν ἡ κατ' αὐτὴν ἐνέργεια· ἤγουν τῷ μὲν ἀνδρείῳ, ἡ κατὰ τὴν ἀνδρείαν ἐνέργεια· τῷ δὲ σώφρονι, ἡ κατὰ τὴν σωφροσύνην ἐνέργεια.

1116. A, 17.=C. 10, 13. p. 55. Ἡ πολιτικὴ ἀνδρεία.

Ἤγουν πρόστιμα[5] καὶ ὀνείδη, καὶ τὰς διδομένας τιμάς. 5

—— A, 22.=C. 11, 2. p. 55. Ἕκτορος ταῦτα.

Λείπει τὸ "φοβεύμενος ἵκετο νῆας," ἤγουν διωκόμενος.

—— A, 28.=C. 11, 3. p. 55. "Ἀρετὴν" ἐνταῦθα τὴν αἰδῶ λέγει.

—— A, 36.=C. 11, 4. p. 55. Ὡς παρ' Ἡροδότῳ Πέρσαι· 10 ὑπὸ γὰρ τοιούτοις ἐπιστάταις ἐν Θερμοπύλαις τοῖς Ἕλλησιν ἐμάχοντο.

—— B, 4.=C. 11, 6. p. 56. Οἷα ἡ ἐπὶ τῶν θαλαττίων, ὥσπερ προέφη· καὶ ὥσπερ ἐπὶ τῶν νόσων οἱ ἰατροὶ, μὴ ἀπογινώσκοντες τὸν δοκοῦντα θνήσκειν διὰ τὴν πεῖραν. 15

—— B, 19.=C. 11, 9. p. 56. Τόπος ἐστὶ τὸ Ἕρμαιον ἐν Κορωνείᾳ τῆς Βοιωτίας.

1117. A, 9.=C. 11, 12. p. 57. ἔχουσί τι] τὸ ὁμόσε τοῖς κινδύνοις χωρεῖν· ὑφ' οὗ δοκοῦσι καὶ οὗτοι ἀνδρεῖοι εἶναι.

—— B, 2.=C. 12, 3. p. 51. τῶν κύκλῳ] τῶν τραυμάτων. 20

LIB. IV.

1120. B, 18.=C. 2, 20. p. 66. τὸ μὴ πλουτεῖν δηλονότι ῥάδιον.

1121. A, 7.=C. 2, 27. p. 67. Σιμονίδην τὸν μελοποιὸν λέγει· τοῦ γὰρ ὡς φιλαργύρου μέμνηνται[6] ἄλλοι τὲ καὶ Θεόφρα- 25 στος ἐν τοῖς περὶ ἠθῶν.

—— A, 12.=C. 2, 29. p. 68. τὴν δαπάνην] Τοῦτο εἶπεν ἐπὶ[7] τὸν ἄσωτον οἶδεν οὐ τοσοῦτον εἰς τὴν δόσιν ἀναλίσκοντα, ὅσον εἰς τὰς μὴ προσηκούσας δαπάνας.

Ἡ ἀνελευθρία καὶ εἰς τὴν λῆψιν[8] φησὶ τῶν ἐλαχιστοτάτων 30 κατάγεται.

[5] Leg. fort. προστίμια. [6] μέμνηται Cod. [7] Leg. ἔπει. [8] τὸ λ̅ Cod.

Digitized by Google

Ὁ ἄσωτος δηλονότι.

1121. A, 20.=C. 2, 31. p. 68. Οἱ γὰρ νέοι ὡς ἐπὶ τὸ πλεῖστον ἀσωτεύονται· ἐὰν δὲ εἰς ἡλικίαν προκόψωσιν ἢ καὶ ἀπορήσωσιν, ῥᾷον ἔρχονται ἐπὶ τὴν ἐλευθεριότητα.

5 —— A, 29.=C. 2, 33. p. 68. Ὁ γὰρ ἀνελεύθερος καὶ ἑαυτὸν κακουχεῖ.

Κίμβικες] Κίμβιξ ἐστὶν ὁ μικρὰ προϊέμενος καὶ διδούς· γλίσχρος ὁ μικρὰ καὶ μόγις διδούς· μικρολόγος δὲ ὁ μετὰ διατάξεως καὶ ὀργῆς διδούς· φειδωλὸς δὲ ὁ ἀκριβῶς φυλάσσων καὶ
10 μηδενὶ διδούς.

—— B, 34.=C. 2, 39. p. 69. Καὶ ἀντὶ τῶν μικρῶν μέγαλα λαμβάνουσιν.

1122. A, 21.=C. 3, 1. p. 70. περὶ πάσας] Ἀντὶ τοῦ κατὰ τὰς πλείστας λέγει καὶ κοινάς.

15 —— A, 25.=C. 3, 2. p. 71. Ἀρχιθεωρῶ] Ἀρχιθεωροὺς ἔλεγον τοὺς πεμπομένους δημοσίᾳ εἰς τὰς πανηγύρεις· ἢ εἰς θεοὺς χρησομένους· ἄλλο γὰρ δαπάνημα τῷ γυμνασιαρχοῦντι, καὶ ἄλλο τῷ τειχίζοντι τὴν πατρίδα.

—— B. 24.=C. 4, 14. p. 72. Ὥσπερ εὐγενῆ τοῦτον κα-
20 λοῦμεν, τὸν ἀπὸ πατέρων εὖ γεγονότα· οὕτω καὶ τὸ μεγαλοπρεπὲς ἔχειν δεῖ τὸν πράττοντα, πλούτῳ καὶ γένει τὸ μακάριον ἐπιφαίνοντα.

1123. A, 22.=C. 4, 20. p. 73. Τὸ "λαμπρύνεται παρὰ "μέλος" παροιμία ἐστὶν ἐπὶ τῶν μὴ προσφόρως τί ποιούντων.

25 οἱ Μεγαρεῖς] οἱ Μεγαρεῖς ὡς τῆς κωμῳδίας ἐφευρεταὶ διαβάλλονται, καὶ πορφυρίδι χρώμενοι ἐν τῇ παρόδῳ.

—— B, 8.=C. 7, 7. p. 74. Οὐ πᾶς, φησὶν, ὁ μειζόνων ἢ ἄξιός ἐστιν ἀξιῶν ἑαυτὸν, διὰ χαυνότητα τοῦτο ποιεῖ· χαῦνον γὰρ φησὶ τὸν ἠλίθιον· ἀλλ' ἴσως καὶ δι' ἐπιβουλὴν, καὶ μνώμενός
30 τι μεῖζον, διὰ τοῦτο μειζόνων ἑαυτὸν ἀξιοῖ, ὑποκρινόμενος καὶ προσποιούμενος διὰ πανουργίαν.

Δηλονότι τὸ μέγιστον.

Ἡ ἀξία δὲ λέγεται, καθὸ ἀξιούντων τινῶν γίνεται.

9 διατάξεως Cod.

Digitized by Google

1123. B, 30.=C. 7, 16. p. 75. Ὥστε εἴη ἂν μεγαλοψυχία τελειότης πασῶν τῶν ἀρετῶν· καὶ μεγαλόψυχος, ὁ πάσας τὰς ἀρετὰς ἔχων μετὰ μεγέθους.

Καλοκαγαθίαν γὰρ λέγουσι τὴν σύμπασαν ἀρετήν.

—— B, 6.=C. 8, 23. p. 76. Ὁ πολλὰ τιμῶν, ὑπὲρ πολλῶν κινδυνεύειν αἱρεῖται· ὁ δὲ ὀλίγα τιμῶν ὑπὲρ ὀλίγων καὶ κινδυνεύει· οἷός ἐστιν ὁ μεγαλόψυχος. Τὰ γὰρ τῷ ὄντι μέγαλα καὶ τιμῆς ἄξια, καὶ τίμια· καὶ ὑπὲρ αὐτῶν δὲ κινδυνεύει· ὀλίγα δὲ τὰ ὄντως τίμια.

—— B, 18.=C. 8, 26. p. 76. Ὑπηρετεῖν τοῖς δεομένοις αὐτοῦ.

—— B, 24.=C. 8, 27. p. 76. Καὶ ἐν μὲν ἄλλοις ἀργὸν εἶναι, καὶ μὴ ὀξυκίνητον. εὐκίνητον δὲ ἐφ' οἷς μεγάλαι αἱ τιμαὶ, καὶ ὅπου μέγα τὸ προκείμενον ἔργον.

—— B, 29.=C. 8, 28. p. 76. Καταφρονηταὶ τῆς περὶ τῶν πολλῶν δόξης.

Ἀντὶ τοῦ οὐκ ἐξαγγελτικὸς πρὸς τοὺς πολλοὺς καὶ τυχόντας, τῶν προσόντων αὐτῷ· τῷ καταφρονεῖν αὐτῶν, καὶ μὴ ἀξίους αὐτοὺς ἡγεῖσθαι τοῦ εἰδέναι τὰ κατ' αὐτόν.

1125. A, 3.=C. 8, 29. p. 77. Ἤγουν ἄλλῳ συμπεριφέρεσθαι.

—— A, 5.=C. 8, 31. p. 77. Ἀνθρωπολόγος ὁ ἑαυτὸν ἐπαινῶν καὶ ἄλλον ψέγων.

Εἰ μὴ ἐξυβρίζοιεν καὶ τότε, παρόντας κακολογεῖ· ἅπαντας δὲ οὔ.

—— A, 16.=C. 8, 35. p. 78. Ἀντὶ τοῦ διὰ ταῦτα· διά τε τὸ σπουδάζειν καὶ διὰ τὸ μέγα ἡγεῖσθαι τοῦτο, ὑπὲρ οὗ ἐπιταχύνει τε, καὶ ὀξείᾳ χρῆται τῇ φωνῇ.

Τουτέστι δριμεῖς καὶ ἐπινοητικοί· τὸ νοεροὶ[8] προσέθηκε· χείρονας γάρ φησιν αὐτοὺς τῶν χαύνων εἶναι, καὶ μᾶλλον ἀντικεῖσθαι τοῖς μεγαλοψύχοις· τὸ δὲ "ἡ τοιαύτη δόξα" ἀντὶ τοῦ ἡ τοιαύτη ὑπόληψις, ἣν ἔχουσι περὶ ἑαυτῶν οἱ μικρόψυχοι.

—— A, 33.=C. 9, 38. p. 78. Καὶ γὰρ ἡ μικροψυχία σύμ-

8 ὀκνηροὶ.

Digitized by Google

φυτος δοκεῖ τοῖς ἀνθρώποις, καὶ δυσαπονιπτοτέρα· πάντες γὰρ φυσικῶς.

1125. B, 1.=C. 10, 1. p. 78. Ἤγουν ἡ φιλοτιμία.

—— B, 22.=C. 10, 6. p. 79. Αἱ γὰρ μέσαι οὖσαι πρὸς
5 μὲν τόδε συγκρινόμεναι τὴν ὑπερβολὴν ὑποδύονται· πρὸς δὲ τόδε, τὴν ἔλλειψιν ὑποκρίνονται.

—— B, 29.=C. 11, 28. p. 68. Ὀργιλότητα δὲ λέγει τὴν δύναμιν καὶ τὴν πρὸς ὀργὴν ἐπιτηδειότητα.

Ἀντὶ τοῦ ἀποκλίνειν.

10 1126. A, 9.=C. 11, 9. p. 80. Κατὰ πολλοὺς τρόπους γίνεται, φησὶν, ἡ ὑπερβολή· οἱ μὲν γάρ εἰσιν ὀργίλοι, οἱ δὲ πικροί· οἱ δὲ ἀκρόχολοι· διαφέροντες τῷ βραδέως καὶ ταχέως διαλύεσθαι· οὐ μὴν ἅπαντες οἱ τρόποι τῷ αὐτῷ καὶ ἑνὶ δύνανται ὑπάρχειν· οἱ γὰρ ὀργίλοι ἐν τῷ ταχέως παύειν τῆς ὀργῆς λεγόμενοι, οὐ δύναν-
15 ται εἶναι καὶ πικροὶ, ἐπὶ πολὺν χρόνον φυλάσσοντες τὴν ὀργὴν, καὶ δυσδιάλυτοι ὄντες.

—— A, 31.=C. 11, 13. p. 81. Εἶπεν ἐν τοῖς ἔμπροσθεν ὅτι περὶ πρακτῶν τύπῳ τὲ λέγειν καὶ καθόλου δυνατόν· διορίσαι δὲ περὶ τινὸς τῶν καθέκαστα τῷ λόγῳ, πότε, καὶ πῶς, καὶ πόσον,
20 καὶ μέχρι τίνος γενέσθαι δέοι, τοῦτο μηδαμῶς ῥᾴδιον εἶναι.

Τοῦτο τὸ ὄνομα δηλωτικόν ἐστι, τοῦ αὐτὸ ἕκαστον ὁποῖόν ἐστι, λέγειν καὶ δεικνύναι.

—— A, 26.=C. 13, 5. p. 83. Ταῦτα περί τε τῶν ἀληθευόντων, καὶ περὶ τῶν προσποιουμένων τὲ καὶ ψευδομένων λέγει· καὶ
25 γὰρ ἀληθεύειν καὶ ψεύδεσθαι γίνεται· καὶ ἕνεκά τινος, καὶ διὰ τὴν ἕξιν, ἣν ἔχει τίς· δύναται γάρ τις, καὶ μὴ ἀληθευτικὸς τὴν ἕξιν, ἀληθεῦσαι διά τι· ὡς οἱ διὰ συνθήκας καὶ ζημίας ἀληθεύοντες· ὡσαύτως καὶ ὁ μὴ ψευδὴς, ψεύσασθαι· ἐνταῦθα δὲ ὁ λόγος, περὶ τῶν διὰ τὴν ἕξιν ἀληθευόντων ἢ ψευδομένων, ὅτι εἰσὶ τοιοῦτοι.

30 —— B, 1.=C. 13, 17. p. 83. Οἷον μήτε συνθήκης καὶ ὁμολογίας μεσολαβούσης μήτ' ἄλλου τινός.

Ἤγουν μή ἔστι συνθήκη καὶ ὁμολογία.

Εἴτουν ἐπὶ τῶν συνθηκῶν καὶ τῶν συναλλαγμάτων.

—— B, 7.=C. 13, 19. p. 84. Ἔστι δέ τινα καὶ ψευσά-
35 μενον, μὴ αἰσχρὸν φανῆναι· εἰ διὰ σωτηρίαν τινὸς ψεύσαιτο·

Digitized by Google

λέγει δὲ τὸν τοιοῦτον ἐπαινετὸν ἐπὶ τὸ ἔλαττον· διὰ τὸ αὐτὸν μᾶλλον ἀποκλίνειν ἐπὶ τὸ ἔλαττον τοῦ ἀληθοῦς· τοῦτο γὰρ ἐμμελέστερον. φυλάξεται δὲ ὁ τοιοῦτος τὰς ὑπερβολὰς τοῦ ψεύδους διὰ τὸ φορτικὰς εἶναι.

ἢ κακὸς] Οὐ γὰρ μετ' ἐπιβουλῆς τοῦτο ποιεῖ. 5

1126. B. 28.=C. 13, 12. p. 84. Οὐκ ἐν τῷ δύνασθαι προσποιήσασθαι τὰ μείζω καὶ μὴ προσόντα αὐτῷ, τοῦτο γὰρ παντός· ἀλλὰ τῷ ἕξιν ἔχειν τοιαύτην, καὶ προαιρεῖσθαι ταῦτα· οὐ γὰρ αἱ δυνάμεις αἴτιαι τοῦ τοίους εἶναι, ἀλλ' αἱ προαιρέσεις· αἱ γὰρ δυνάμεις τῶν ἀντικειμένων εἰσί· ψεύστης δέ ἐστιν οὐχ ὁ δυνάμενος 10 ψεύσασθαι, ἀλλ' ὁ προαιρούμενος καὶ ψευδόμενος, τῷ χαίρειν τῷ ψεύδει.

—— B, 17.=C. 13, 13. p. 84. Δόξης χάριν οἱ ἐπὶ τοῖς ἐκ φύσεως ἢ τύχης προσγινομένοις προσποιούμενοι· οἷον καλοὶ εἶναι ἢ ἰσχυροὶ, ἢ πλούσιοι· κέρδους δὲ, οἱ μαντικὴν, καὶ ἰατρικὴν 15 καὶ σοφίαν ἔχειν ὑποκρινόμενοι.

Ἤγουν δόξαν, ἀπόλαυσιν, κέρδη, καὶ τὸ λανθάνειν.

—— B, 27.=C. 13, 15. p. 84. Εἶτουν σεμνοπανοῦργοι· βαῦκον[8] δὲ ἔλεγον οἱ παλαιοὶ, τὸ μαλακὸν καὶ τρυφερόν· ἔοικε δὲ μετενηνέχθαι τὸ ὄνομα ἀπὸ τῶν βαυκίδων[9], ὅ ἐστι εἶδος ὑποδη- 20 μάτων Ἰωνικῶν, οἷς αἱ Ἰάδες χρῶνται.

—— B, 32.=C. 13, 17, p. 85. Χείρων γὰρ ὁ ἀλαζὼν τοῦ εἴρωνος· τὸ γὰρ τὰ μὴ προσόντα, καὶ ἃ μὴ ἔχει τίς, προσποιεῖσθαι ἔχειν, χεῖρον, τοῦ μᾶλλον καὶ ἃ ἔχει ἐλαττοῦν, ἢ ἀρνεῖσθαι· τὸ μὲν γὰρ μετρίου, τὸ δὲ ὑπερβάλλοντός ἐστι. 25

1128. A, 3.=C. 14, 1. p. 85. Περὶ τὸ ἡδὺ τὸ ἐν λόγοις καὶ πράξεσιν εἰπὼν εἶναι τρεῖς διαφοράς· καὶ τούτων τὴν μὲν εἰπὼν ἀλήθειαν, τὴν δὲ φιλίαν· νυνὶ περὶ τῆς λοιπῆς λέγει, ἣν εὐτραπελίαν ὀνομάζει· καὶ διατί οὕτως αὐτὴν ὀνομάζει τὴν αἰτίαν λέγει· ἡ μὲν φιλία περὶ λόγους καὶ πράξεις τὰς κατὰ τὸν βίον, τὸ 30 χρειῶδες δεικνύει· ἡ δὲ ἀλήθεια περὶ λόγους· αὕτη δὲ τὸ ἐν παιδιᾷ ἡδὺ αἱρεῖται· δεῖ γὰρ τῷ σπουδαίῳ καὶ ἀναπαύσεως, ὡς ἂν μὴ διαπαντὸς κάμνουσα αὐτῷ ἡ διάνοια, ἄχρηστος γίνεται· τῷ ἀεὶ ἐντετᾶσθαι κατὰ τὰ τόξα.

[8] καῦκον Cod. [9] καυκίδων Cod.

Digitized by Google

1128. A, 4.=C. 14, 13. p. 85. Βωμολόχα λέγεται, τὰ τῶν ὀρνίθων λίχνα καὶ ἀδδηφάγα· ἃ διὰ τὴν τούτων λιχνείαν, περιίστανται τοὺς βωμοὺς, τὸ περιττεῦον τῶν θυσιῶν λιχμώμενα (et supra 2ª manu ἤγουν λείχοντα).

5 Ἐκ γὰρ τῶν κινήσεων φαίνεται τὰ εὔρυθμα, καὶ τὰ ἄρρυθμα, καὶ τὰ ὑγιεινὰ, καὶ νοσώδη. οὕτω καὶ τὰ ἤθη κρίνεται, ἀπὸ τῶν κινήσεων τῆς ψυχῆς.

—— A, 16.=C. 14, 4. p. 85. Διότι οἱ μὲν τοῦ μέσου στυχάζονται· οἱ δὲ καθ' ὑπερβολὴν αὐτῷ χρῶνται.

10 Τοῦ ἀπρεποῦς.

—— A, 28.=C. 14, 8. p. 86. Ἀντὶ τῶν τοιούτων ἀνέξεται εἰς αὐτὸν λεγομένων σκωμμάτων, οἵοις αὐτὸς κέχρηται.

—— B, 4.=C. 14, 12. p. 86. Τρεῖς αἱ ἐν τῷ βίῳ μεσότητες, ἀλήθεια, ἑκατέρωθεν αὐτῆς ἔχουσα ἀλαζόνειαν καὶ εἰρώ-
15 νειαν· καὶ ἑτέραι δύο περὶ τὸ ἡδύ· ἡ μὲν εὐτραπελία ἑκατέρωθεν ἔχουσα βωμωλόχον καὶ ἀγριότητα· ἡ δὲ φιλία ἑκατέρωθεν ἔχουσα ἀρέσκειαν καὶ δυσκολίαν.

—— B, 23.=C. 15, 5. p. 87. Κατ' ἀλήθειαν αἰσχρὸν ἡ ἀκολασία· κατὰ δὲ δόξαν αἰσχρὸν τὸ ἐν ἀγορᾷ ἐσθίειν.

20 Φαύλου φησίν ἐστι καὶ τὸ καταδέξασθαι τῶν αἰσχρῶν. ἄτοπον γὰρ τὸ ἐπιεικῆ ἡγεῖσθαι τὸν αἰδήμονα, καθόσον οὕτω διάκειται· ὡς εἰ πράξει τί τῶν αἰσχρῶν, αἰσχύνεσθαι· ἡ γὰρ αἰδὼς ἐπὶ τοῖς ἑκουσίως γινομένοις· οὐδεὶς δὲ ἐπιεικὴς ἑκὼν πράττει τὰ αἰσχρά.

25 —— B, 32.=C. 15, 7. p. 87. Εἴη δ' ἂν ἡ αἰδὼς ἐξ ὑποθέσεως ἐπιεικὲς πάθος· καὶ οὐχ ἁπλῶς· εἰ γὰρ πράξει ἐπιεικὴς τοιοῦτόν τι, αἰσχύνοιτ' ἂν· οὐ μὴν πράξῃ ἄν ποτε τοιοῦτόν τι· ὥστε, οὐδ' ἂν αἰσχύνοιτο.

LIB. V.

30 1129. A, 3.=C. 1, 14. p. 88. Εἴρηκεν ἤδη πολλάκις ὅτι τὴν ἀκρίβειαν τὴν ἀποδεικτικὴν οἱ τοιοῦτοι τῶν λόγων οὐκ ἐπιδέχονται· οὗ καὶ νῦν ἡμᾶς ὑπομιμνήσκει.

—— A, 14.=C. 1, 13. p. 87. Ἕξιν ἐνταῦθα τὴν ἀρετὴν

Digitized by Google

λέγει· λέγονται γὰρ καὶ αἱ ἐπιστῆμαι ἕξεις· ἀλλὰ νῦν περὶ τῶν ἀρετῶν τὸ τῆς ἕξεως ὄνομα ληπτέον καὶ τῶν κακιῶν.

1129. A, 23. = C. 1, 6. p. 88. Πάνυ ἀκριβῶς προσέθηκε τὸ "ὡς ἐπὶ τὸ πολύ·" ἔστι γὰρ ἐφ' ὧν οὐχ οὕτως ἔχει. τοῦ γοῦν φιλεῖν πολλαχῶς λεγομένου, τὸ μισεῖν ἐναντίον ὂν, οὐ λέγεται πολλαχῶς· ὡσαύτως δὲ καὶ τοῦ ἀκουσίου πολλαχῶς λεγομένου· λέγεται γὰρ ἀκούσιον καὶ τὸ κατὰ βίαν καὶ τὸ κατὰ ἄγνοιαν· τὸ ἑκούσιον οὐ λέγεται πολλαχῶς. 5

—— A, 34. = C. 1, 8. p. 88. Εἰ ὁ ἄδικος πλεονέκτης, ὁ δὲ πλεονέκτης ἄνισος· καὶ γὰρ τὸ πλέον καὶ ἔλαττον ἄνισα· συμπέραινε· ὁ ἄδικος ἄνισος, ἐπεὶ καὶ πλεονέκτης. 10

—— B, 5. = C. 1, 9. p. 88. Τοῖς μὴ εἰδόσιν αὐτοῖς χρῆσθαι πρὸς ἃ πεφύκασι, πολλάκις πρὸς κακοῦ γίνονται.

—— B, 6. = C. 1, 9. p. 89. Ὁ ἄδικος λέγεται πλεονέκτης, ὡς τῶν ἀγαθῶν τὸ πλέον εἰς ἑαυτὸν ἕλκων· διατί οὖν μὴ καὶ μειονέκτης καλεῖται, ὡς ἐν τοῖς κακοῖς τὸ μεῖον αἱρούμενος; ὅτι δοκεῖ καὶ τὸ ἐν τοῖς κακοῖς ἔλαττον, πλεονεξία τίς ἀγαθῶν εἶναι, ὡς εἴρηται· ἡ δὲ πλεονεξία, τοῦ ἀγαθοῦ λέγεται· τέως γοῦν ἄνισος ἐστὶν ὁ ἄδικος, ὡς πλεονέκτης· τὸ γὰρ ἄνισον, ὡς γενικὸν ὄνομα καὶ κοινὸν, περιέχει τὴν ἐν τοῖς ἀγαθοῖς πλεονεξίαν, καὶ τὴν ἐν τοῖς κακοῖς μειονεξίαν. 15 20

—— B, 12. = C. 1, 12. p. 89. Τὸ πῶς προσέθηκεν, ὅτι μὴ κατὰ τὴν ἰδίως λεγομένην δικαιοσύνην πάντα τὰ νόμιμα δίκαια, ἀλλὰ κατὰ τὴν κοινῶς· αὐτὰ γὰρ καθ' αὑτὰ, ἢ ἀνδρεῖα ἐστὶν ἢ σωφρονικὰ, ἢ ἐξ οἵας ἂν καὶ εἴη ἀρετῆς. 25

—— B, 16. = C. 1, 13. p. 89. Κυρίως κατ' ἀρετὴν ἢ κατ' ἄλλον τρόπον, τοὺς κρατοῦντας καὶ ἄρχοντας· ἢ ἐξ ἐπικρίσεως τοῦ δήμου διὰ τὴν αὐτῶν ἀρετὴν, ἢ ὡς ὁ νόμος τῆς βασιλείας, ἢ κατὰ ἀνταρσίαν καὶ τυραννίδα.

Μόρια εὐδαιμονίας λέγει τὰς ἐνεργείας πασῶν τῶν ψυχικῶν καὶ τῶν σωματικῶν ἀρετῶν. 30

—— B, 33. = C. 1, 17. p. 90. Τὸ "τῇ πολιτικῇ κοινωνίᾳ" πρόσκειται, ὅτι οἱ νόμοι περὶ τῶν κατὰ τὰς ἀρετὰς διαγορεύουσιν οὐχ ἁπλῶς, ἀλλὰ στοχαζόμενοι τοῦ ἐν τῇ κοινωνίᾳ συμφέροντος, καὶ ἐπ' ἐκεῖνο τὴν ἀναφορὰν ποιούμενοι. 35

Digitized by Google

Ὁ μὴ μετ' ἐπιστασίας καὶ ἐξετάσεως.

Εἷς τῶν ἑπτὰ σοφῶν ὁ Βίας.

Τὸ γὰρ πρὸς αὐτὸν χρῆσθαι τῇ ἀρετῇ καὶ πρὸς τοὺς φίλους, τὸ αὐτό ἐστιν· εἴγε τὰ τῶν φίλων ἴδια τοῦ φιλοῦντος ἐστίν· ἴδιον δὲ τῆς δικαιοσύνης γνώρισμα· τὸ πρὸς ἕτερον μὴ φίλον χρῆσθαι τῇ ἀρετῇ.

1130. A, 12.=C. 1, 20. p. 90. Ὅρος ἀρετῆς· ἀρετή ἐστιν, ἕξις ψυχῆς λογικῆς ἀρίστη· δικαιοσύνη δέ ἐστιν, χρῆσις τῆς τοιαύτης ἕξεως πρὸς ἕτερον· ὥστε τῷ μὲν ὑποκειμένῳ ἡ αὐτή ἐστι· κατὰ δὲ τὸν λόγον καὶ τὸ εἶναι διαφέρει.

—— A, 20.=C. 4, 2. p. 91. Καλῶς τὸ πολλάκις πρόσκειται· οὐ γὰρ εἰ ἅπαξ πλεονεκτῇ, πλεονέκτης ἔστιν.

Ἀλλὰ μηδὲ κατὰ πάσας ἅμα τὰς κακίας.

Ψέγομεν γὰρ τοὺς τοιούτους καὶ λέγομεν ἀδίκους τοὺς καὶ κατὰ ἀδικίαν τοῦτο ποιοῦντας.

—— A, 24.=C. 4, 4. p. 91. Ἡ δευτέρα ἐπιχείρησις, ἐπὶ τῆς αὐτῆς πράξεως γυμνάσῃ τὸν λόγον, ἤγουν μοιχείας· καὶ λέγει, ἐὰν ἡ μοιχεία διὰ μὲν κέρδος καὶ πλεονεξίαν γινομένη δι' ἀδικίαν γίνεται, διὰ δὲ ἐπιθυμίαν, δι' ἀκολασίαν, ἄλλη δηλονότι ἐστὶν, καὶ ἄλλη ἀδικία διὰ κέρδος. ἀμφότεραι δὲ τῆς κοινῆς ἀδικίας διαφέρουσιν· ὅτι ἐκείνη μὲν κατ' ἀμφοτέρων λέγεται· τούτων δὲ οὐδετέρα κατὰ τῆς ἑτέρας. τὸ δὲ δῆλον, ὅτι διὰ τὸ κερδαίνειν, ἴσον ἐστὶ τῷ ὡς εἰ ἔλεγε· δῆλον ἔστιν ὅτι διὰ τὸ κερδαίνειν ὁ ἄδικος ἄδικος, ἀλλ' οὐ δι' ἀκολασίαν. ἄλλως ἔστιν ἄδικον τὸ κερδαίνειν, καὶ ἄλλως ἄδικον τὸ ἀκολασταίνειν.

Ἡ ἐν μέρει, φησὶν, ἀδικία ἡ κατὰ πλεονεξίαν, περὶ τιμὴν φησὶν ἔστι ἢ χρήματα· εἴη δ' ἂν λέγων, τὰ τυχηρὰ τῶν ἀγαθῶν (seq. adjecit 2ª manus.) ἐν οἷς δι' ἡδονὴν τὴν ἀπὸ κέρδους ἡ πλεονεξία.

Δείκνυσιν ἐνταῦθα, ὅτι τοῦτο τὸ ἴσον τὸ μέσον τοῦ ἀδίκου, δίκαιόν ἐστι· ἡ δὲ δεῖξις διὰ τοῦτό που τοῦ λέγοντος ἐὰν δύο ἐναντιώσεων οὐσῶν· τῷ ἑτέρῳ τῆς ἑτέρας ἐναντιώσεως ἕπηται τὸ ἕτερον τῶν τῆς ἑτέρας ἐναντιώσεως, τῷ τῆς ἑτέρας καταλειπομένῳ· οἷον, ἔστω μία ἐναντίωσις ἀδικίας καὶ δικαιοσύνης, καὶ ἕτερα, ἀνι-

Digitized by Google

σότης καὶ ἰσότης· εἰ οὖν ἕποιτο ἡ ἀνισότης τῇ ἀδικίᾳ, ἀναγκαίως ἀκολουθήσει καὶ ἰσότης τῇ δικαιοσύνῃ.

1130. A, 18.=C. 5, 4. p. 93. Τὸ γὰρ ἴσον ἴσῳ ἐστὶν ἴσον· Γράφεται καὶ τισίν.

—— A, 30.=C. 5, 8. p. 93. Μοναδικὸν ἀριθμὸν λέγει, τὸν ἐκ μονάδων συγκείμενον, καὶ ἀναριθμοῦντα· οὐ μόνον γάρ φησιν ἐστὶ τούτου τοῦ ἀριθμοῦντος ἀριθμοῦ ἀναλογία, ἀλλὰ καὶ τοῦ ἀριθμητοῦ, ἤγουν τῶν ἀριθμουμένων ζώων τυχὸν, ἢ καὶ ἄλλων πραγμάτων.

Ἀντὶ τοῦ φανερῶς.

—— A, 25.=C. 8, 12. p. 99. Καὶ ἐνταῦθα τὸ αὐτὸ φησὶν ὅτι δεῖ πρῶτον ἰσάζειν τά τε πρόσωπα καὶ τὰ πράγματα, καὶ τότε ἀντιδιδόναι· εἰ γὰρ οὕτως, ἔσται τὸ ἀντιπεπονθός.

Εἰς σχῆμα] Μεθὸ φησὶν ἀλλάξονται· καὶ ὁ μὲν σκυτοτόμος τὸ ἔργον ἀπολάβῃ τοῦ οἰκοδόμου· ὁ δὲ οἰκοδόμος τοῦ σκυτοτόμου. οὐ δεῖ ἄγειν ἐπ' αὐτοὺς τὴν ἀναλογίαν· καὶ λέγειν, ὡς ὁ οἰκοδόμος πρὸς τὸν σκυτοτόμον, οὕτως τὸ ἔργον τοῦ οἰκοδόμου, πρὸς τὸ τοῦ σκυτοτόμου· εἰ γὰρ ἄξεις εἰς σχῆμα ἀναλογίας, ἑκάτερον ἄκρον τὴν ὑπερβολὴν ἕξει καὶ τὴν ἔλλειψιν· ὁ γὰρ οἰκοδόμος ἢ οἰκοδόμος, ἔχει τὴν ὑπεροχήν· ἢ δὲ τὸ ἔργον ἔχει τοῦ σκυτοτόμου, ἔχει τὴν ἔλλειψιν· καὶ ὁ σκυτοτόμος ὁμοίως.

—— B, 13.=C. 8, 14. p. 99. Πάσχει μὲν οὖν] Ὅπερ φησιν ἐπὶ τῆς χρείας, τοῦτο καὶ ἐπὶ τοῦ νομίσματος ἄντις κατίδοι γινόμενον· ὡς γὰρ ἐπ' ἐκείνοις οὐκ ἀεὶ ὁμοίως δεόμεσθα, καὶ ἐν χρείᾳ τῶν ἀλλοτρίων ἐσμὲν, οὕτως οὐδὲ τὸ νόμισμα ἀεὶ ἴσον δύναται, ἀλλὰ μεταπίπτει· καὶ τὸ πρότερον πλείω δυνάμενον, ὕστερον ἢ ἔλαττον, ἢ οὐδὲν ἰσχύει, πλὴν μᾶλλον γὰρ τοῦτο διαμένει· καὶ δεῖ μέτρῳ αὐτῷ τῶν ἀλλασσομένων χρῆσθαι, καὶ πάντων προέχειν καὶ τιμᾶσθαι, τὸ νόμισμα.

—— B, 38.=C. 9, 17. p. 100. Αὐτὸν δὲ τρόπον] Διότι οὐκ ἔστι μεσότης δύο κακῶν κατ' ἐκείνας· τὸ γὰρ ἀδικεῖσθαι, κάκιον οὐ πέφυκε.

1134. A, 7.=C. 9, 18. p. 100. Ὅτι ἡ ἀδικία τὰ δύο ἄκρα ἐστὶν, ὑπερβολή τε καὶ ἔλλειψις· ὑπερβολὴ μὲν οὖσα, ἐπὶ τῶν ἁπλῶς ἀγαθῶν· ἔλλειψις δὲ, ἐπὶ τῶν ἁπλῶς κακῶν.

Digitized by Google

1134. A, 19.=C. 10, 2. p. 101. Πολλάκις γάρ τις κλέπτει μὲν, οὐκ ἀδίκει δέ· ὡς ὁ τὴν τοῦ μαινομένου κεκλοφλὼς μάχαιραν· ὁμοίως δὲ καὶ μοιχεύει μὲν, μοιχὸς δὲ οὐκ ἔστιν· ὡς ὁ τὴν τοῦ τυράννου μοιχεύων, ἵνα ἀνέλῃ τὸν τύραννον.

5 ——— A, 24.=C. 10, 4. p. 101. Ὅτι τὸ πολιτικὸν δίκαιον, ἢ κατὰ τὴν γεωμετρικὴν ἀναλογίαν ἐστὶ, καὶ γίνεται τὸ νεμητικόν· ἢ κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν, καὶ γίνεται τὸ διορθωτικόν.

Τὸ κατὰ ἀναλογίαν, ὡς ἐπὶ τῆς ὀλιγαρχίας· τὸ κατὰ ἀριθμὸν, ὡς ἐπὶ τῆς δημοκρατίας.

10 Οὐ πᾶσιν ἀδικία] Ὅταν γάρ τις χρήματα ἀφέληται τῶν ἐκ τῆς πόλεως, ταῦτα ἀφελομένων, ὡς τοῖς πολεμίοις παράσχωνται, λῃστεύει μέν· λῃστὴς δὲ οὐκ ἔστιν.

——— A, 35.=C. 10, 5. p. 101. Ἄρχειν ἄνθρωπον·] Ἄνθρωπον φησὶ, τὸν μὴ μετὰ λόγου ἄρχοντα· λόγον δὲ φησὶ, τὸν μετὰ

15 λόγου ἄρχοντα.

——— B, 5.=C. 10, 9. p. 102. Ἔθος ἦν κατὰ καιρὸν ἄρχοντα προβάλλεσθαι· ὃ δ' οὐ παρὰ τοῦ αὐτοῦ πάντοτε συστήματος προὐβάλλετο· ἀλλὰ νῦν μὲν, περὶ τοῦδε τοῦ συστήματος· ἐν ἄλλῳ δὲ καιρῷ παρὰ ἄλλου. ἐδόκουν οὖν τρόπον τινὰ κατάρ-

20 χειν, οἱ τὸν ἄρχοντα προκρίναντες, καὶ διὰ τοῦτο φησὶν ἔχειν ἰσότητα τοῦ ἄρχειν καὶ ἄρχεσθαι· ἢ καὶ ἄλλως· ὅτι ἐν δημοκρατίᾳ, τῆς αὐτῆς πάντες λογίζονται τάξεως· καὶ οὐχ ὁ μὲν τοῦ ἄρχειν, ὁ δὲ τοῦ ἄρχεσθαι· ἀλλὰ τῆς ἴσης μερίδος ἅπαντες· ἅπαντες γὰρ οἱ τοῦ δήμου διοικοῦσιν ὁμοῦ τὰ ἑαυτῶν.

25 Ὅτι τὸ πολιτικὸν δίκαιον οὐ κεῖται πατράσιν πρὸς τέκνα καὶ δεσπόταις πρὸς δούλους, (κατὰ νόμον γὰρ τὸ πολιτικὸν δίκαιον,) ἀλλὰ τοῖς πολίταις· οἱ ποτὲ μὲν ἄρχουσιν, ποτὲ δὲ ἄρχονται.

——— B, 22.=C. 10, 1. p. 102. Ἀθηναῖοι νόμον εἶχον διὰ μιᾶς λίτρας ὠνεῖσθαι τοὺς αἰχμαλώτους.

30 ——— B, 19.=C. 10, 2. p. 102. Φημὶ δὲ τὸ τὰ φύσει ἀκίνητα εἶναι· τῇ μὲν γὰρ αὐτῶν φύσει ἀκίνητά εἰσι· ἀλλὰ μὴν καὶ τοῖς κατὰ φύσιν ἔχουσι ἀκίνητα· ὥσπερ τὸ μέλι καὶ τῇ αὐτοῦ φύσει γλυκύ· καὶ τοῖς ὑγιῶς ἔχουσι οὕτω δοκεῖ· ἀναφέρεται δὲ τοῦτο πρὸς τὸ, ὅτι τὸ μὲν φύσει ἀκίνητον, ὅτι τὸ φύσει

35 οὐκ ἔστι κινούμενον· κινεῖται δὲ τρόπον τινά· οἷον τὸ μέλι τῇ

Digitized by Google

μὲν ἑαυτοῦ φύσει, γλυκύ ἐστι, καὶ οὐδέποτε τῆς οἰκείας ἐξίσταται φύσεως· δοκεῖ δέ ποτε πικρὸν τοῖς ἰκτεριῶσι γάρ.

1135. B, 11.=C. 10, 3. p. 104. Ἀκουσίου βιαίου καὶ οὐχ ἑκουσίου.

—— B, 16.=C. 10, 7. p. 104. Ὁ γὰρ ἐν ὄρει εἰ τύχῃ τοξεύων ἢ ἐρημίαις, ἐὰν φονεύσῃ τινὰ, ἀπροσδοκήτως ἐγένετο τοῦτο· οὐ γὰρ ἤλπισε πώποτε διατρίβειν τινὰ ἐκεῖσε· ὁ δέ γε ἐν διατριβαῖς ἢ ἐν ὁδοῖς τοξεύων, ἔνθα εἰκὸς πολλοὺς εἶναι τοὺς παροδεύοντας, ἐὰν τινὰ φονεύσῃ, ἄνευ δὲ κακίας καὶ ἄκων ἁμαρτάνει· ἐκεῖ μὲν γὰρ ἔξωθεν περὶ τοῦ τόπου τὸ ἀτύχημα γέγονε· καὶ διὰ τοῦτο τοιαύτης τετύχηκε καὶ τῆς κλήσεως· ὧδε δὲ, ἐν αὐτῷ ἡ ἀρχὴ τῆς αἰτίας· ἤδει γὰρ τοῦτον τὸν τόπον πορευτόν.

—— B, 27.=C. 10, 8. p. 104. Τὸ δὲ ἀναγκαῖον εἶπεν· οἷον ἐπὶ τοῦ λιμώττοντος, καὶ εὑρόντος ἄρτον· καὶ λάθρα τοῦτον ἀφελομένου ἀπὸ τοῦ ἔχοντος καὶ φαγόντος· τὸ οὖν κλέψαι τὸν ἄρτον ἀδίκημα μέν ἐστι, ἄδικος δὲ ὁ ποιήσας τοῦτο οὐκ ἔστι· ἡ γὰρ ἀνάγκη τοῦτον ἠνάγκασε τῆς φύσεως· ὁποῖόν ἐστι, καὶ τὸ ὑπὸ τῆς φύσεως βιαζόμενόν τινα, καὶ εὑρόντα γυναῖκα, ταύτην μοιχεῦσαι.

1136. A, 8.=C. 10, 12. p. 105. Μὴ φυσικὸν μὲν, ὡς εἴτις βρῶμα ποίησας πολυτελὲς, καὶ ἀρτύματα μὴ ἔχων, κλέψει ταῦτα· μὴ ἀνδρικὸν δὲ, τὸ εἰς ἄνδρα πεσεῖν.

—— B, 32.=C. 11, 12. p. 107. Ἔτι εἰ μὲν ἀγνοῶν] Εἰ κεῖται φησὶ νόμος παράνομος· καὶ κατὰ τὸν τοιοῦτον κρίνει τις ἀγνοῶν, οὐκ ἀδικεῖ, οὐδὲ ἡ κρίσις ἄδικός ἐστιν.

1137. A, 5.=C. 13, 14. p. 108. Οἱ δὲ ἄνθρωποι ἐφ' ἑαυτοῖς] Τοῦτο λέγει, ὅτε οἱ ἄνθρωποι οἴονται εὔκολοι εἶναι καὶ παρ' ἑαυτοῖς, τότε ἀδίκους εἶναι καὶ δικαίους· ἀλλ' οὐκ ἔστι φησὶ τοῦτο· πολλὰ γὰρ ἐκάμομεν ὥστε εὑρεῖν τό τε δίκαιον καὶ τὸ ἄδικον. Ὅτι οἱ θεοὶ ἐπίσης εἰσὶ δίκαιοι καὶ ἀγαθοί· καὶ οὐκ ἔστιν ὁ μὲν αὐτῶν πλέον ἀγαθὸς, ὁ δ' ἔλαττον.

—— A, 28.=C. 14, 12. p. 109. "Διὰ ταῦτα" ποῖα; ἤγουν τό τε λέγειν τὸ δίκαιον ἐπιεικές· καὶ τὸ μεταφέρειν τὸ ἐπιεικὲς, καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν· λέγομεν γὰρ ἐπιεικῆ καὶ τὸν σώφρονα καὶ τὸν φρόνιμον· καὶ ἁπλῶς, πάντας τοὺς ἐναρέτους·

Digitized by Google

ἄπορον γάρ φησι, εἰ τὸ δίκαιον ἐπιεικὲς λέγοντες, μεταφέρομεν τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν· εἰ γὰρ τὸ δίκαιον ἐπιεικὲς, οὐ δεῖ μεταφέρειν· καὶ ἐπὶ τῶν ἄλλων· οὕτως γὰρ ἔσται ἄλλο τὸ ἐπιεικὲς περὶ τὸν δίκαιον κοινῶς κατηγορούμενον κατὰ πασῶν τῶν
5 ἀρετῶν· εἰ δὲ μὴ μεταφέρομεν καὶ ἐπὶ τῶν ἄλλων, ἔσται ταυτὸν τό τε δίκαιον καὶ τὸ ἐπιεικές· ἀλλ' ἄπορον λέγομεν γὰρ τοῦτο καὶ μεταφέρομεν καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν· ὥστε ἕτερον. λύων οὖν τοῦτο φησὶν, ὅτι καὶ ταυτὸν καὶ ἕτερον. ᾗ μὲν γὰρ δίκαιον, καὶ οὐκ ἄλλης τινὸς φύσεως, ταυτόν· ᾗ δὲ τινὸς δικαίου, τουτέστι τοῦ
10 κατὰ τὸν νόμον ἐπανόρθωμα, καθὸ λείπει ἀπὸ τοῦ καθόλου, ἕτερον· ἐπανορθοῖ γὰρ τινὰ νόμον καθόλου κείμενον· οἷον τὸν λέγοντα, ξένος ἀνιὼν ἐπὶ τὸ τεῖχος, φονεύεσθω· διαπίπτει γὰρ οὗτος ὁ νόμος· ἀνελθὼν γάρ τις, ἠρίστευσεν· οὐ δεῖ οὖν φησιν ὁ ἐπιεικὴς τοῦτον φονεῦσαι· τὸ τοιοῦτον δέ, φησιν, εἶπεν ἂν καὶ ὁ νομοθέτης,
15 καὶ διωρθώσατο εἴπερ παρῆν, καὶ τὸν ἀνελθόντα ξένον, ἐθεάσατο ἀριστεύσαντα.

—— B, 14.=C. 14, 4. p. 109. Περὶ ἐνίων] Ὅπερ ὁ νόμος φησὶ καὶ ὁ νομοθέτης· οὐκ ἀγνοοῦσιν, ὅτι διαπεσεῖται ἔν τινι ὁ καθόλου κείμενος[10] νόμος· ἀλλ' ὅμως οὗτοι τὸ ὡς ἐπὶ πλέον λαμ-
20 βάνουσι.

—— B, 27.=C. 14, 6. p. 110. Τοῦτο γὰρ] Τοῦτο γὰρ αἴτιον· τοῦτο, ποῖον; τὸ ἐλλείπειν δηλονότι· διότι γὰρ ἐλλείπει, καὶ οὐκ ἔστι δυνατὸν καθόλου ἀποφαίνεσθαι· οἷον δεῖ φιλίαν ἔχειν μετὰ πάντων τῶν Λατίνων· εὑρίσκεται δέ τις ἐχθρὸς, δεό-
25 μεθα φησὶ τῶν ψηφισμάτων· καὶ μεταψηφιζόμεθα. Ἀόριστός φησιν ὕλη τῶν πρακτῶν, καὶ διὰ τοῦτο ἀόριστοι καὶ διαπίπτοντες καὶ οἱ περὶ ταῦτα νόμοι.

1138. A, 4.=C. 15, 4. p. 110. Βούλεται ἐνταῦθα δεῖξαι ὁ φιλόσοφος, ὡς οὔτε κατὰ τὴν μερικὴν ἀδικίαν, οὔτε κατὰ τὴν
30 καθόλου ἀδικεῖ τις ἑαυτόν· καὶ ἐνταῦθα μὲν δείκνυσι, πῶς ἀδύνατα τὰ καθόλου, παρακατιὼν δὲ δείκνυσι, πῶς οὐ κατὰ τὴν μερικήν.

Σκόπει ἐνταῦθα πῶς δείκνυσι, μηδὲ κατὰ τὴν μερικὴν ἀδικίαν ἀδικεῖν τινα ἑαυτόν.

Ὁ ἀδικῶν φησι τινὰ ἀδικεῖ· ἀδικεῖ δὲ πάντως, διδοὺς ἑαυτῷ

10 κείνος Cod.

Digitized by Google

τὸ πλέον, τὸ ἔλαττον δὲ ἑτέρῳ· εἰ οὖν ἀδικεῖ τις αὐτὸς ἑαυτὸν, ὁ αὐτὸς ἕξει τὸ πλέον καὶ τὸ ἔλαττον· καὶ προσκείσεται τῷ αὐτῷ ἀνθρώπῳ τὸ πλέον καὶ τὸ ἔλαττον, καὶ ἀφαιρεθήσεται ἀπ' αὐτοῦ, ὅπερ ἄτοπον· ἀλλ' ἀεὶ ἐν δυσὶ γίνεται τὸ τοιοῦτον.

Ὡς εἴτις ἀδικηθεὶς παρά τινος, καὶ τὴν ἐκείνου βουληθεὶς ἐμπρῆσαι οἰκίαν, ἐνέπρησε κατὰ συμβεβηκὸς τὴν πόλιν ἅπασαν. 5

1138. B, 6.=C. 15, 10. p. 112. Τοῦτο εἴρηται πρὸς τοὺς κατασκευάζοντας ἀδικεῖν τινὰ ἑαυτὸν, ἐκ τοῦ κατὰ ψυχὴν παραδείγματος· ἔφασκον γὰρ ἀντιτιθέντες πρὸς τὸν Ἀριστοτέλη, ὅτι ὅταν μὴ ἡ κατὰ φύσιν ἀρχὴ ἐν τῇ ψυχῇ γίνηται, ἀλλὰ τὰ 10 χερείονα νικᾷ, ἀδικεῖ τις ἑκὼν ἑαυτόν. τοῦτο οὖν ἀναιρῶν ὁ φιλόσοφος, φησὶ, ἄλλο εἶναι τὸ λόγον ἔχον μέρος τῆς ψυχῆς, καὶ τὸ ἄλογον, καὶ ἀντικεῖσθαι πρὸς ἄλληλα, ὡς δοῦλος καὶ δεσπότης· ὥσπερ οὖν ἄρχοντι καὶ ἀρχομένῳ δίκαιόν τι, δηλονότι τὸ δεσποτικὸν, οὕτω καὶ τούτῳ.

LIB. VI. 15

1138. C. 1, 4. p. 112. Εἰπὼν περὶ τῶν ἠθικῶν ἀρετῶν, ἀνδρείας φημὶ καὶ σωφροσύνης, αἵτινες ἀπὸ τῶν δύο μερῶν τῆς ψυχῆς γίνονται, τοῦ τε θυμικοῦ καὶ ἐπιθυμητικοῦ, νῦν προτίθεται εἰπεῖν, καὶ περὶ τῶν διανοητικῶν ἀρετῶν, αἵτινες γίνονται κατὰ τὸ λογικὸν τῆς ψυχῆς μέρος. ἐπεὶ δὲ τὴν ἠθικὴν ἀρετὴν 20 ὁριζόμενος, ἔφη ταύτην εἶναι ἕξιν προαιρετικὴν, ἐν μεσότητι τῇ πρὸς ἡμᾶς, ὡρισμένην λόγῳ, καὶ ὡς ἂν ὁρίσειεν ὁ ὀρθὸς λόγος, ζητεῖ πρότερον τίς ἐστιν ὁ ὀρθὸς λόγος, ὥστε ἀκολούθως μετάγει τὸν λόγον καὶ ἐπὶ τὰς διανοητικὰς ἀρετὰς, καὶ διδάσκει καὶ περὶ τούτων. 25

—— B, 21.=C. 2, 12. p. 113. Ὅτι ὅταν ἐπὶ τῇ τοῦ λόγου κρίσει καὶ καταφάσει ἢ ἀποφάσει γίνηται, προαίρεσις γίνεται, ἥτις ἐστὶν ἀρχὴ τῶν πράξεων, καὶ ὅτι ἀρχὴ πράξεως νοῦς καὶ ὄρεξις· ὅτι εἰ θέλει, φησὶν, εἶναι ἡ ἀρετὴ σπουδαία, οὕτω ποιητέον.

1139. A, 17.=C. 2, 13. p. 113. Οὕτω συντακτέον· τῆς δὲ 30 θεωρητικῆς διανοίας, καὶ μὴ πρακτικῆς μηδὲ ποιητικῆς, ἡ ἀλήθεια καὶ τὸ ψεῦδος ἐστὶ, τὸ εὖ καὶ κακῶς, ἤγουν ἀρετή ἐστι τῆς διανοητικῆς ἀρετῆς ἡ ἀλήθεια, κακία δὲ τὸ ψεῦδος.

Digitized by Google

1139. A, 2.=C. 2, 3. p. 97. Ὅτι οἰκείως ἔχει ὁ νοῦς, ἤγουν τὸ ἐπιστημονικὸν τῆς ψυχῆς μέρος πρὸς τὰ ἀναγκαῖα ὡς ἄϋλος· καὶ αὖ τὸ λογιστικὸν πρὸς τὰ ἐνδεχόμενα καὶ μὴ ὡσαύτως ἔχοντα.

5 —— A, 10.=C. 1, 5. p. 113. Καθ' ὁμοιότητα καὶ οἰκειότητα φησὶ, τῶν πραγμάτων γίνεσθαι τὴν γνῶσιν. εἰ μὴ γὰρ ὁ νοῦς ὁμοιωθῇ, καὶ ὅλως γένηται ἐκεῖνα ἃ ἐπιχειρεῖ καταλαμβάνειν καὶ νοεῖν, οὐ γνώσεται ταῦτα.

—— A, 17.=C. 2, 1. p. 113. Ὅ ἐστι τὸ ἑκάστου εὖ καὶ
10 ἀκρότης, ὅτι ἡ αἴσθησις κυρία ἐστὶ πράξεως, μετὰ τοῦ νοῦ καὶ τῆς ὀρέξεως ἐνεργοῦσα, μόνη δὲ οὐχὶ, ἀλλ' ἐν τοῖς ἀλόγοις ἐνεργεῖ οὕτως, ἤγουν χωρὶς λόγου καὶ διανοίας.

—— A, 28.=C. 2, 5. p. 114. Διαφέρει ποιητικὴ πρακτικῆς· ἡ μὲν γὰρ ποιητικὴ ἐπ' ἐκείνων λέγεται τῶν πραγμάτων,
15 ἐφ' ὧν μὴ παραλαμβάνεται ἡ προαίρεσις· οὐδεῖς γὰρ βουλεύεται καὶ προαιρεῖται οἰκίαν ποιῶν, τὴν ὀροφὴν θεῖναι πρότερον, καὶ ἀπαρτίσαι αὐτήν· (ἡ γὰρ προαίρεσις οὐκ ἔστ ιτοῦ τέλους, ἀλλὰ τῶν πρὸς τὸ τέλος,) ἀλλὰ τῇ τέχνῃ ἀκολουθεῖ· κατασκευάζει αὐτὴν, ὡς ἡ τέχνη δίδωσιν· ἡ δὲ πρακτικὴ ἐπ' ἐκείνων ἐστὶ καὶ
20 λέγεται, ἐφ' ὧν παραλαμβάνεται ἡ προαίρεσις· οἷον ἐπὶ τοῦ βαδίσαι. καὶ οὕτω συντακτέον· προαίρεσις μὲν οὖν ἐστι πράξεως ἀρχὴ, ὅθεν ἡ κίνησις· ἐπεὶ δὲ ἡ ἀρχὴ τετραχῶς, ἢ γὰρ ὑλικὴ, ἢ εἰδικὴ πάντως, ἢ ποιητικὴ, ἢ τελική· λέγεται καὶ ποταπὴ ἡ ἀρχὴ, καὶ φησὶν ὅτι ποιητικὴ, ἀλλ' οὐχ οὗ ἕνεκα, ἤτοι τελική.

25 —— A. 28.=C. 2, 4. p. 113. Οὐκ ἄνευ φησὶ τῆς ἠθικῆς ἀρετῆς εἶναι τὴν προαίρεσιν τὴν ὀρθήν. πῶς γὰρ ἂν προαιρήσαιτό τις ἡδονῆς ἀπέχεσθαι, εἰ μὴ τὴν ἠθικὴν ἀρωτὴν, φημὶ δὴ τὴν σωφροσύνην, σύνοικον κέκτηται. ἀλλὰ μὴν οὐδ' ἡ ἐναντία προαίρεσις ἄνευ τῆς τοιαύτης ἐστὶν ἕξεως· πῶς γὰρ ἂν ἕλοιτό τις πόρ-
30 ναις συνομιλεῖν, μὴ τὴν ἀκολασίαν ἔχων συγκάτοικον;

Οὐκ ἐνεργεῖ μετὰ προαιρέσεως, ἄρχει δὲ πῶς, ὡς μετὰ προαιρέσεως ἐνεργοῦσα.

Τὸ πρακτικὸν εἶναί φησι κυρίως τέλος, οὐ τὸ ποιητόν· ἡ γὰρ οἰκία τοῦ ποιητοῦ μέν ἐστι τέλος, οὐχ ἁπλῶς δὲ τέλος· ἕνεκα γὰρ
35 ἀνθρώπου κατοικήσεως ᾠκοδόμηται.

Digitized by Google

Ὅτι ποιητικὴ καὶ ποίησις λέγεται ἐνέργεια ἄνευ προαιρέσεως, πρακτικὴ δὲ καὶ πρᾶξις, ἐνέργεια μετὰ προαιρέσεως.

1139. B, 5. = C. 2, 4. p. 98. Ἄνθρωπος, φησίν, ἐστιν ἡ τοιαύτη ἀρχὴ, ὡς τῶν κατὰ προαίρεσιν πράξεων τυγχάνων ἄρχων, ὅθεν καὶ αἴτιος, καὶ πρῶτον αἴτιον τῶν πράξεών ἐστιν ὁ ἄνθρωπος. 5

—— B, 19. = C. 2, 5. p. 114. Τουτέστιν ἰδεῖν τὸν ἀκριβῆ λόγον περὶ ταύτης ἐπιτείνων, καὶ μὴ ἀκολουθεῖν ταῖς ὁμοιότησι, καὶ φάσκειν καὶ τὰς τέχνας ἐπιστήμας, διὰ τὸ ἔχειν τινὰ πρὸς αὐτὰς ὁμοιότητα.

—— B, 19. = C. 3, 13. p. 115. Ἡ ἄμεσος πρότασις, οἷον 10 ὡς ὅταν βουληθῶμεν ἀποδεῖξαι, ὅτι πᾶν ζῶον τὴν κάτω γένυν κινεῖ, ἐπαγωγῇ χρησόμεθα.

Τοῦτο λέγει, ὅταν ἡ ἐπαγωγὴ ἐπὶ προτάσεως λαμβάνεται οὔσης ἀρχῆς· καὶ ἥντινα μὴ ἔχομεν ἀποδεῖξαι διὰ μέσου ὅρου, ἀλλ' ἢ μόνον δι' ἐπαγωγῆς· ὥστε ἡ ἐπαγωγὴ τοιαύτης ἐστὶ προ- 15 τάσεως καὶ τοῦ καθόλου.

1140. A, 1. = C. 4, 4. p. 115. Τοῦτο λέγει, ὅτι τῶν ἐνδεχομένων τὰ μέν ἐστι ποιητὰ, τὰ δὲ πρακτά.

Τουτέστι περὶ ποίησιν, ἀντὶ ταύτης γὰρ ἡ γένεσις εἴληπται.

—— A, 18. = C. 4, 5. p. 116. Ὅτι περὶ τὰ αὐτὰ κατα- 20 γίνεται τύχη καὶ τέχνη· πολλάκις γὰρ ἡ τύχη ποιεῖ ἐν τῇ τέχνῃ, ὅπερ οὐκ ἴσχυσεν ἡ τέχνη ποιῆσαι· πλὴν ἡ τέχνη τῶν ὡς ἐπὶ τὸ πολὺ, ἡ δὲ τύχη τῶν ὡς ἐπ' ἔλαττον.

—— A, 27. = C. 5, 2. p. 116. Οἷον, τοῦ μὲν φλεβοτομῆσαι ἔχομεν τέχνην, τοῦ δὲ ἀπόνως τοῦτο ποιῆσαι οὐκ ἔχομεν· ὁ δὲ 25 φρόνιμος ἐπινοήσαιτ' ἄν.

—— A, 31. = C. 5, 4. p. 116. Ποιήσεως μὲν γὰρ, ἥτις δὴ καὶ τέχνη ὀνομάζεται, ἔστι τί τὸ τέλος, μετὰ τὴν ἐνέργειαν, οἷον τυχὸν σκάμνος, καὶ εἴτι ἄλλο τεχνητόν· πράξεως δὲ οὐκ ἔστιν, ἀλλ' αὕτη ἐστὶ τέλος, εὐπραξία γὰρ ὡς καὶ αὐτὸς λέγει. 30

—— B, 13. = C. 5, 6. p. 117. Ἰστέον ὡς οὐ πᾶσαν ὑπόληψιν σώζει ἡ σωφροσύνη, ἀλλ' ἐκείνην ἣν ἡ ἡδονὴ διαφθείρει· οἷον ἐπὶ παραδείγματος, ἀναιρούσης τῆς ἡδονὴς τὴν ὑπόληψιν τὴν λέγουσαν καλὸν εἶναι τὸ τῶν ἡδονῶν ἀπέχεσθαι, συντηρεῖ καὶ σώζει ταύτην ἡ σωφροσύνη· οὐ γὰρ πᾶσαν ὑπόληψιν διαφθείρει· τὴν γὰρ 35

Digitized by Google

ὅτι τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς γωνίας ὑπόληψιν, ἢ τὴν ὅτι τῶν ἰσοσκελῶν τριγώνων αἱ πρὸς τῇ βάσει γωνίαι δυσὶν ὀρθαῖς ἴσαι εἰσὶν, οὐδέποτε ἀναιρήσειεν.

Ὅτι αἱ ἀρχαὶ τρόπον τινὰ τέλη εἰσὶν, καὶ ἐξ ἀνάγκης τοῦ
5 τέλους ἅπτονται· τίς γὰρ ἂν θεμέλιον καταβάλοιτο, εἰ μὴ βουλοιτο ποιῆσαι σκέπασμα κωλυτικὸν ὄμβρων, καὶ πρώτιστα τὸ τέλος ὑπόθοιτο.

1140. B. 22.=C. 6, 1. p. 117. Ἀρχῆς τῆς ὡς τέλους καὶ σκοποῦ.

10 —— B, 31.=C. 6, 2. p. 118. Εἰπὼν περὶ τέχνης φρονήσεως καὶ ἐπιστήμης, καὶ δείξας ἑκάστην περὶ ἃ καταγίνεται, διαστείλας τε τὴν φρόνησιν ἀπὸ τῶν δύο, νῦν προτίθεται εἰπεῖν καὶ περὶ νοῦ καὶ σοφίας, καὶ πρῶτόν γε περὶ νοῦ καὶ περὶ τὶ καταγίνεται, ὅτι περὶ τὰς ἀρχάς φησι.

15 Τέχνη δηλονότι καὶ φρόνησις.

1141. A, 13.=C. 7, 3. p. 118. Εὐλόγως εἴρηται, κεφαλὴν ἔχουσα ἡ σοφία· εἰ γὰρ ἐπίσταται οὐ μόνον τὰ ἀπὸ τῶν ἀρχῶν, ἀλλὰ δὴ καὶ αὐτὰς τὰς ἀρχὰς, καὶ αὕτη μόνη ἀποδείκνυσι τὰς αὐτῆς ἀρχὰς καὶ τῶν ἄλλων ἐπιστημῶν ἥτις καὶ ἀνυπόθετος
20 ὀνομάζεται σοφία, ὡς μηδὲν ὑποτιθεμένη, καὶ ὁμολογούμενον λαμβάνουσα, ἀλλὰ πάντα ἀποδεικνῦσα, εἰκότως εἴρηται ἔχουσα κεφαλὴν, ὡς ἀνωτέρω πασῶν τῶν ἐπιστημῶν.

Οὕτως γράφει· ἄτοπον γὰρ εἴ τις τὴν πολιτικὴν ἐπιστήμην σπουδαιοτάτην οἴεται εἶναι ἢ τὴν φρόνησιν.

25 —— A, 25.=C. 7, 4. p. 118. Ὅτι οὐκ ἔστι μία σοφία καὶ τέχνη περὶ τὸ ἀγαθὸν ἁπάντων τῶν ζώων, ὥσπερ οὐδ' ἰατρικὴ μία περὶ πάντων τῶν ὄντων. ἄλλῳ γὰρ ἄλλο ἀγαθὸν, ὥσπερ καὶ ἡ ἐν ἐμοὶ ἰάτρευσις ἄλλη παρὰ τὴν προσφερομένην τῷ ἰκτεριῶντι, ἢ ἄλλῳ τινὶ κακῶς ἔχοντι. τοῦτο δὲ ἔσται, καὶ σοφίαι πολλαὶ
30 ἔσονται, εἰ δώσομεν τὴν σοφίαν εἶναι τὴν αὐτὴν τῇ πολιτικῇ, καὶ ἐὰν εἴπωμεν σοφίαν τὴν περὶ τὰ ὠφέλιμα τὰ ἡμῖν.

—— B, 17.=C. 7, 5. p. 119. Τὰ καθόλου δηλαδὴ, μὴ γινώσκοντες δὲ τὰ μερικά.

—— B, 21.=C. 8, 5. p. 120. Καὶ τὴν τῶν καθόλου γνῶσιν
35 καὶ τὴν τῶν μερικῶν, ἢ μᾶλλον τὴν τῶν μερικῶν.

Digitized by Google

Δηλονότι ἐπιτάττουσα καὶ μὴ αὐτὴ πράττουσα. τοιαύτη δ' ἂν εἴη ἡ τὸ καθόλου γνωρίζουσα· καὶ γὰρ ἐπὶ τῶν ἄλλων ἡ τεκτονικὴ τοιαύτη ὡς αὐτὸς λέγει.

1142. A, 2.=C. 8, 4. p. 120. φιλοπράγμονες γρ. καὶ πολυπράγμονες. 5

Λείπει τὸ οὐκ ὤετο φρονίμους.

Τῆς τοῦ Εὐριπίδου δηλονότι. τοῦτο γὰρ κατεσκεύαζε διὰ τῶν εἰρημένων, εἰπὼν τὸν φρόνιμον ἐκεῖνον εἶναι, τὸν τὰ αὐτῷ σκοποῦντα καὶ ζητοῦντα ἀγαθά.

[Σημεῖον δ' ἐστὶ τοῦ εἰρημένου] πρὸς τὸ ἄνω τοῦτο συντακτέον, 10 ἔνθ' ἔφη, ὅτι δεῖ μὴ τὰ καθόλου μόνον εἰδέναι, ἀλλὰ καὶ τὰ καθ' ἕκαστα. οὐ γάρ ἐστιν ἡ φρόνησις τῶν καθόλου, ἀλλὰ δεῖ καὶ τὰ καθέκαστα γνωρίζειν.

—— A, 20.=C. 8, 7. p. 121. Καὶ τοῦτο κατασκευαστικὸν τοῦ δεῖν εἰδέναι καὶ τὸ καθόλου καὶ τὰ καθέκαστα. 15

—— A, 27.=C. 8, 9. p. 121. Αἴσθησιν ἐνταῦθα τὸν πρακτικὸν νοῦν φησι, τὸν ἐκ τῆς τῶν καθ' ἕκαστα πείρας συναγόμενον, αἴσθησιν δὲ τῶν ἰδίων φησὶ, τὴν μερικὴν αἴσθησιν, ὁρατικήν φησι καὶ ἀκουστικὴν καὶ τὰς λοιπάς· ἑκάστη γὰρ τῶν ἰδίων ἀντιλαμβάνεται ἡ ὁρατικὴ τῶν ὁρατῶν, ἡ ἀκουστικὴ τῶν ἀκουστῶν, ἡ 20 ὀσφραντικὴ τῶν ὀσφραντῶν, καὶ αἱ ἄλλαι ὁμοίως.

Συνεξάκουε τὸ κοινῶς, ἵν' ᾖ τὸ ὅλον οὕτως, ἀλλ' οἷα κοινῶς αἰσθανόμεθα. τὸ δὲ "στήσεται γὰρ κακεῖ," πρὸς τὴν τῶν ἰδίων αἴσθησιν ἀποτείνει, καὶ φησὶν ὅτι στήσεται κακεῖ. οἷον εἰ τύχῃ ἡ ὄψις ὁρῶσα λόγου χάριν τόδε τὸ λευκὸν, σταθήσεται εἰς τὸ 25 τούτου γένος ἀνιοῦσά. τόδε γάρ φησι λευκὸν, τὸ λευκὸν χρῶμα, τὸ χρῶμα ποιόν.

—— B, 5.=C. 9, 3. p. 121. Ἀγχίνοιά ἐστιν εὐστοχία ἐν ἀσκέπτῳ χρόνῳ τοῦ μέσου. διαφέρει δὲ ἡ εὐβουλία τῆς τε ἀγχινοίας καὶ εὐστοχίας καὶ αὖ ἐπιστήμης. 30

—— B, 14.=C. 9, 2. p. 121. Οὐκ ἀμφιβάλλεται ἀλλὰ ὥρισται εἰς τὸ ἐνεργηθῆναι· ἡ δ' εὐβουλία τὴν ἀμφιβολίαν οὐκ ἐκφεύγει.

—— B, 18.=C. 10, 4. p. 122. Ὁ γὰρ κλέπτης περὶ τῆς εἰς τὴν οἰκίαν εἰσελεύσεως βουλευόμενος, εἰ τόδε τὸ μέρος τῆς 35

Digitized by Google

οἰκίας διὰ τῆς βουλῆς ἐξορύξαι συγκατάθοιτο· εἶτα ποιήσας οὕτως, τῆς εἰσόδου ἐπιτύχοιεν, ὀρθῶς μὲν κατὰ τὸν αὐτοῦ σκοπὸν ἐβουλεύσατο, τοῦ γὰρ θελητοῦ διὰ βουλῆς τετύχηκεν· εἰ κρατηθείη δὲ ἔνδοθεν ὢν, καὶ τὴν οἰκίαν ἀποσυλῶν, μεγάλας ὑφέξει τιμω-
5 ρίας· ὥστε οὐ πᾶσα βουλῆς ὀρθότης ἤδη καὶ εὐβουλία.

1142. B, 21.=C. 10, 5. p. 122. Ἔστι φησὶ καὶ τοῦ ἀγαθοῦ ψευδεῖ συλλογισμῷ τυχεῖν. ὁ γὰρ φιλοσοφεῖν εἰ τύχοι βουληθεὶς, ἔπειτα χρημάτων μέσων πρὸς τοῦτο δεηθεὶς, εἰ μὴ δι' ἀγαθοῦ πόρου ταῦτα κτήσαιτο, ἀλλὰ δι' ἁρπαγῆς, τοῦ μὲν τέλους
10 ἔτυχεν ἀγαθοῦ, οὐ δι' οὗ δὲ δεῖ μέσου πρὸς τοῦτο ἐλήλυθε.

—— B, 28.=C. 10, 6. p. 122. Ὅρος ἐντελὴς τῆς εὐβουλίας, τουτέστι δι' οὗ δεῖ μέσου.

—— B, 33.=C. 10, 7. p. 122. Οὗ τινος βουλευομένου δηλονότι.

15 1143. A, 1.=C. 11, 1, p. 122. Ὅτι ἡ σύνεσις οὐκ ἔστι ταυτὸν οὔτε τῇ καθόλου ἐπιστήμῃ· πάντες γὰρ ἂν ἦσαν οἱ ἐπιστήμονες συνετοί· οὔτε τῇ τινὶ, οἱ γὰρ περὶ τὴν σκυτοτομικὴν ἦσαν ἂν ἅπαντες συνετοὶ, ἢ οἱ περὶ τὴν ἰατρικήν· ἀλλ' οὔτε τινὶ ἐπιστήμῃ περὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα καταγινομένῃ, οἷον τῇ
20 γεωμετρίᾳ.

—— A, 9.=C. 11, 2. p. 123. Σημείωσαι, ὅτι κρίνει ὁ συνετὸς τὸν φρόνιμον.

—— A, 11.=C. 11, 3. p. 123. Ὅτι ἡ σύνεσις οὔτε ὡς ὁ ἔχων τὴν ἐπιστήμην καὶ τὴν ἕξιν ἐστὶ καὶ μὴ χρώμενος ταύτῃ,
25 οὔτε ὡς ὁ μηδὲν μηδαμῶς ἔχων ἐπιστήμην, λαμβάνων δὲ ἐν τῷ μανθάνειν, ἀλλ' ὡς ὁ ἔχων μὲν, ἐν τῷ χρῆσθαι δὲ ταύτῃ ἄριστα ξυνιείς.

Οὕτως ἀναγνωστέον, ὥσπερ τὸ ξυνιέναι μανθάνειν λέγεται.

Τουτέστιν ἐπιτάττοντος· τοῦ γὰρ Θεμιστοκλέους διὰ νηῶν ἐπιτάξαντος πολεμῆσαι τοῖς ἀντιπάλοις οἷα φρονίμου, κρινεῖ
30 καλὸν εἶναι τὸ πρᾶγμα ὁ συνετὸς, καὶ ἐπαινέσει μάλιστα.

Ὅτι τὸ μανθάνειν διττῶς λέγεται· τότε γὰρ μὴ εἰδότα μανθάνειν, καὶ τὸ εἰδότα μὲν, ἀμνημονήσαντα δὲ, πάλιν συνιέναι.

—— A, 35.=C. 12, 14. p. 124. Νοῦν φησιν ἐνταῦθα τόν τε τῶν ἀρχῶν ἀμέσως ἐπιλαμβανόμενον, καὶ τὸν ἐξ ἐμπειρίας
35 συναγόμενον· ὁ μὲν γὰρ ἐπιστάτης τῶν ἀρχῶν, ὁ δὲ περὶ τὰ

Digitized by Google

καθέκαστά ἐστιν, ἃ δὴ ἀμφότερα, αἵτε ἀρχαί φησι καὶ τὰ καθ' ἕκαστα, ἔσχατά εἰσιν.

1143. B, 10.=C. 12, 6. p. 124. Ἀρχὴ μὲν ὡς ἀντιληπτικὸς τῶν πρώτων, ἤγουν τῶν ἀρχῶν· τέλος δὲ, ὡς ἀντιλαμβανόμενος τῶν ἐσχάτων καὶ αἰσθητῶν. 5

—— B, 15.=C. 12, 7. p. 124. Τὸ "ἑκατέρα τυγχάνει "οὖσα," οὐ πρὸς τὴν φρόνησιν καὶ τὴν σύνεσιν συντακτέον, ἀλλὰ πρὸς τὰς ἠθικὰς καὶ πρὸς ταύτας· αἱ μὲν γὰρ, δηλονότι αἱ ἠθικαὶ, τοῦ ἐπιθυμητικοῦ μέρους εἰσὶ τῆς ψυχῆς, καὶ τοῦ θυμικοῦ, αἱ δὲ, ἄλλου μέρους. 10

—— B, 23.=C. 13, 1. p. 124. Ἀγαθὸν ἄνδρα τὸν κατὰ τὰς ἠθικὰς ἀρετὰς ζῶντα φησίν.

"Ἡ φρόνησίς ἐστι περὶ τὰ δίκαια καὶ καλὰ καὶ ἀγαθὰ," καὶ ποιεῖ τὸν ἔχοντα ταύτην ἐνεργεῖν τά τε δίκαια καὶ τὰ ἀγαθά· ἀλλ' ὁ ἔχων φησὶ τὴν ἕξιν τῆς δικαιοσύνης καὶ τῶν ἄλλων, τί δεῖται 15 τῆς φρονήσεως, οὐδὲ γὰρ πρακτικώτεροι ἐσμὲν τῷ εἰδέναι τὰ δίκαια, εἴπερ ἔχομεν τὴν ἕξιν· ἀρκεῖ γὰρ ἡμῖν ἡ ἕξις εἰς τὸ εἶναι καὶ ὀνομάζεσθαι δικαίους, ὥσπερ οὐδὲ τὰ ὑγιεινὰ χρῄζομεν εἰδέναι, εἰς τὸ εἶναι ἡμᾶς εὐεκτικωτέρους· τὴν ἕξιν γὰρ ἔχοντες, ἤτοι τὴν εὐεξίαν, οὐ χρῄζομεν εἰδέναι τὰ ἀπὸ τῆς εὐεξίας εὐεκτικὰ, ὥστε 20 εἶναι εὐεκτικώτερα.

1144. A, 10.=C. 13, 6. p. 125. οὐδὲ γὰρ] γρ. καὶ οὐδὲν γὰρ ἐν αὐτῷ πράττειν, ἢ μὴ πράττειν.

Λείπει τὸ λέγομεν.

—— A, 17.=C. 13, 7. p. 125. Δηλαδὴ μετὰ φρονήσεως 25 καὶ ἀρετῆς· ὥστε ἡ μὲν ἀρετὴ ἵνα σκοπῇ τὸ τέλος, ἡ δὲ φρόνησις τὰ πρὸς τὸ τέλος.

—— A, 27.=C. 13, 10. p. 126. Τουτέστιν "ἡ δεινότης." εἶτα "ἀλλ' οὐκ ἄνευ τῆς δυνάμεως ταύτης," τουτέστι τῆς φρονήσεως ἔστιν ἡ δεινότης. 30

—— A, 35.=C. 13, 10. p. 126. Φησὶν, ὡς ἔχει ἡ φρόνησις πρὸς τὴν δεινότητα· ἡ μὲν γὰρ ἄνεσις ἐστὶν ἡ φρόνησις, ἡ δ' ἐπίτασις ἡ δεινότης· οὕτως ἔχει καὶ ἡ φυσικὴ ἀρετὴ πρὸς τὴν ἠθικήν.

B. 26. γρ. καὶ οὕτως, "ἔστι γὰρ οὐ μόνον ἡ κατὰ τὸν ὀρθὸν "λόγον." 35

Digitized by Google

B. 28. γρ. καὶ ᾤετο.

1145. A, 2.=C. 13, 30. p. 109. Ἐνταῦθα πάλιν πρὸς τὴν τῆς ἄνωθεν ἀπορίας λύσιν ἀνέδραμεν.

—— A, 6.=C. 13, 6. p. 127. Ἐνταῦθα λύει καὶ ὃ ἐπόρει, ὅτι ἐὰν ἡ φρόνησις περὶ ἕκαστον ἐπιτάττῃ, κυριωτέρα τῆς σοφίας ἔσται· λύει οὖν τοῦτο, καί φησιν ὅτι οὐχὶ, οὐδὲ γὰρ ἐπιτάττει τῇ σοφίᾳ, ἀλλὰ τῆς σοφίας ἕνεκεν πάντα ποιεῖ.

LIB. VII.

1145. A, 11.=C. 1, 1. p. 128. Ἀντιτίθησι τῇ θηριωδίᾳ ὡς ὑπερβολικῇ οὔσῃ κακίᾳ, καὶ οὐ κατὰ ἄνθρωπον, τὴν ὑπερβολικὴν ἀρετὴν καὶ θείαν, ἥτις ἐξ ἀνθρώπων γίνεται δι' ἀρετῆς ὑπερβολήν. Τοῦτο δοκεῖ ἀντιτιθέναι πρὸς τοὺς λέγοντας ἀντικεῖσθαι τῇ θηριωδίᾳ, μὴ τὴν ἡρωϊκὴν ἀρετὴν, ἀλλὰ τὴν τοῦ θεοῦ· φησὶ γὰρ ὅτι ὁ θεὸς ὑπὲρ ἀρετήν ἐστι, καὶ θεοῦ ἀρετὴ οὐκ ἔστιν.

—— B, 2.=C. 1, 5. p. 129. Τὸ ἑκατέραν περὶ τῆς ἐγκρατείας καὶ καρτερίας· καὶ γὰρ οὔτε ἐν ἀρεταῖς τίθεται αὐτὰς, οὔτε ἐν κακίαις, καὶ τοὺς αἰτίους αὐτὸς ὁ Ἀριστοτέλης λέγει.

Ἐὰν γάρ φησι λύσωμεν μὲν τὰ δυσχερῆ, καὶ ἅ τινα οὐ πᾶσι δοκεῖ ἐνστάσεως εἶδος ἔχοντα, καταλείψωμεν δὲ μόνα τὰ πᾶσι δοκοῦντα, δεδειγμένον ἂν εἴη τὸ ζητούμενον.

—— B, 11.=C. 1, 6. p. 129. "Ἐκστατικὸς τοῦ λογισ-"μοῦ" οὐχ ὅτι μαίνεται, ἀλλ' ὅτι οὐ μένει εἰς ὃ ἐβουλεύσατο, ἀλλ' ἐκ τούτου εἰς ἕτερον μεταφέρεται.

Δηλονότι τὸν ἐγκρατῆ καὶ καρτερικὸν, οἱ μὲν σώφρονα λέγουσιν οὐ καλῶς, οἱ δὲ οὐ λέγουσι καλῶς· μάχεται γὰρ καὶ ἔτι ὁ ἐγκρατὴς, καὶ οὐκ οἴδαμεν ὅπῃ καταχθῇ.

—— B, 22=C. 3, 1. p. 129. Ὅτι ὁ Σωκράτης ἔλεγεν οὐδένα ἐπιστάμενον ἀκρατέεσθαι, ἀλλὰ δι' ἄγνοιαν πράττειν. καὶ ὅτι ὅλως πρὸς τὸν λόγον ἐμάχετο· ἔλεγε γὰρ μηδὲν ἀκρατέεσθαι ποτὲ τινὰ, ὃ γὰρ φησί τις ποιεῖ, οὐχ ὡς κακὸν πράττει, ἀλλ' ὡς καλόν· φησὶν οὖν ὁ Ἀριστοτέλης ὅτι οὗτος ὁ λόγος ἀμφισβητεῖ καὶ μάχεται τοῖς πᾶσι δήλοις· τίς γὰρ οὐκ οἶδεν, ὅτι τὸ πορνεύειν κακόν ἐστι πρὶν ἄρξεται τοῦτο πράττειν.

Digitized by Google

1145. B, 31.=C. 3, 3. p. 130. Τοῦτο λέγει, ὅτι τινὲς οὐχ ὁμολογοῦσι τὸ μήτινα πράττειν ἔξω τοῦ βουλευθέντος αὐτῷ βελτίστου, ἀλλ' ὃ δόξει αὐτῷ βέλτιστον, τοῦτο καὶ πράττειν, ὅπερ ἐστὶ ψεῦδος· τὰ γὰρ δίκαια πάντες δοκοῦμεν καλὰ, ἀλλ' οὐ πράττομεν αὐτά· οἱ οὖν ἀκρατεῖς μὴ ἔχοντες δόξαν ἢ ἐπιστήμην, οὐ πράττουσι τὸ καλὸν, ἀλλ' ὑπὸ τῶν ἡδονῶν ἡττῶνται.

1146. A, 3.=C. 3, 4. p. 130. Ὅτι τῷ οὕτως ἔχοντι, καὶ οὕτως πράττοντι, ἀνεπιστημόνως δηλονότι, συγγνωμονεῖν δεῖ, τῷ δὲ πραττομένῳ, ἤγουν τῇ πράξει, οὐ συγγνωμονητέον.

—— A, 9.=C. 3, 5. p. 130. Ταῦτα φησὶν ἐπιστομίζων τοὺς τὸν ἐγκρατῆ σώφρονα φάσκοντας.

—— A, 11.=C. 3, 6. p. 130. Ὁ σώφρων ἐγκρατοῦς μὲν ἄνευ οὐκ ἔστιν, οὐδὲ λέγεται ἐγκρατής· ὅτι ὁ ἐγκρατὴς ἐπιθυμίας ἔχει φαύλας.

—— A, 13.=C. 3, 7. p. 130. Ταῦτα πρὸς ἀνατροπὴν τοῦ ἐπὶ παντὸς εἶναι ἐμμενετικὸν τὸν ἐγκρατῆ φάσκειν.

Ἐνταῦθα διὰ τῶν ἑξῆς τριῶν ἐπιχειρημάτων δείκνυσιν, ὅτι οὐ πᾶσα ἐγκράτεια σπουδαία· ἐπειδὴ τὸ ἐναντίον ἐδόκει τισίν.

—— A, 19.=C. 3, 8. p. 131. Καὶ τοῦτο φησὶν ἀναιρῶν τὸ φάσκειν τοὺς ἐγκρατεῖς ἐμμενετικούς.

—— A, 24.=C. 3, 9. p. 131. Παράδοξον τί ἐνταῦθα ὁ Ἀριστοτέλης λέγει· φησὶ γὰρ ὅτι ὁ ἄφρων ἔχων καὶ ἀκρασίαν πράξει τὰ καλά. ὁ μὲν γὰρ ἄφρων ἡγήσεται τὸ καλὸν ὡς κακὸν, ᾗ δὲ ἔχων τὴν ἀκρασίαν ὁρμήσει πρὸς τὴν τοῦ καλοῦ πρᾶξιν.

—— B, 14.=C. 4, 2. p. 131. Ἐν τοῖς ἀντιγράφοις οὕτως εὕρομεν γεγραμμένον "πότερον τῷ περὶ ταδὶ εἶναι μόνον ἀκρατὴς, "ἢ οὔ. ἀλλὰ τὸ ὧς, ἢ οὐδὲ τῷ ὥς· ἀλλὰ τῷ ἐξ ἀμφοῖν· ἔπειτα "εἰ περὶ πάντα ἐστὶν ἀκρασία καὶ ἡ ἐγκράτεια ἢ οὔ." τοῦτο δέ φησιν ὁ σοφὸς, πότερον ὁ ἐγκρατὴς καὶ ἀκρατὴς, ἤτοι τοῖς ὑποκειμένοις ἔχουσι τὴν διαφοράν. τοῦ ἐγκρατοῦς ἄλλα τὰ ὑποκείμενα ἔχοντος, καὶ τοῦ ἀκρατοῦς ἕτερα· ἢ τὰ μὲν ὑποκείμενα ἔχουσι τὰ αὐτὰ, διαφέρουσι δὲ τὸ πῶς, ἤτοι τῷ τρόπῳ· καὶ ταῦτα μὲν οὕτως φησὶν ἀπορῶν· ἰστέον δὲ ὅτι ὑποκείμενα ἔχουσι τὰ αὐτά· περὶ ἡδονὰς γὰρ καὶ λύπας ἀμφότερα, τῷ τρόπῳ δὲ διαφέρουσιν.

1147. A, 3.= C. 4, 6. p. 132. Τοῦτο τοῦ καθόλου τοῦ ἐπὶ

Digitized by Google

τοῦ πράγματος παράδειγμα. οὕτως δὲ νοητέον τὸ ἢ ὅτι ξηρὸν τὸ τοιόνδε· ἀντὶ τοῦ πᾶν ξηρὸν τὸ τοιόνδε.

"Ὥστε δοκεῖν οὕτω μὲν εἶναι μηδὲν ἄτοπον," ἐὰν ἔχῃ μέν, μὴ θεωρεῖ δὲ, ἄλλως δὲ θαυμαστὸν, τουτέστι χαλεπὸν ἐὰν ἔχων καὶ θεωρῶν ἁμαρτάνῃ.

1147. A, 12.=C. 4, 7. p. 133. γρ. καὶ διαφέρειν.

Κατὰ τὸ ἐναντίον ἐκ τοῦ αὐτοῦ παραδείγματος δείκνυσι· φημὶ δὴ τὸ ἁμαρτάνειν τινὰ δι' ἐπιθυμίαν, ἔχοντα καὶ τὴν καθόλου καὶ τὴν μερικὴν δόξαν.

A, 35. γρ'. καὶ ἑκάτερον.

B, 6. γρ'. καὶ γίνεται.

1148. A, 2.=C. 6, 3. p. 135. Σημείωσαι δὲ ὅτι ἄλλο ἐστὶν ἡ μετὰ προσθέσεως καὶ ἡ ἁπλῶς λεγομένη ἀκρασία.

—— A, 15.=C. 6, 4. p. 135. Δηλονότι ὁ ἐγκρατὴς καὶ ὁ σώφρων καὶ ὁ ἀκρατὴς καὶ ἀκόλαστος.

—— A, 34.=C. 6, 5. p. 136. Ὁ γὰρ Σάτυρος τεθνηκότι τῷ πατρὶ ἀποκαρτερήσας ἀπέθανεν.

—— B, 11.=C. 6, 6. p. 136. Ἥγουν περὶ τὰ αὐτὰ ὑποκειμένα· περὶ γὰρ τὰς δι' ἁφὴν καὶ γεῦσιν ἡδονὰς εἰσίν.

Τινὰ δὲ ἔχουσι κακία καὶ ἀφροσύνη.

1150. A, 16.=C. 8, 2. p. 141. Οὕτω συντακτέον. ἐπεὶ δ' ἔνιαι τῶν ἡδονῶν ἀναγκαῖαι εἰσὶ μέχρι τινὸς, αἱ δὲ οὔ.

—— A, 27.=C. 8, 3. p. 141. Τὸ διαφέρειν ἀλλήλων συντακτέον μὲν καὶ πρὸς τὴν ἐγγὺς ἀκολουθίαν· συντακτέον δὲ καὶ πρὸς τὴν ἄνωθεν, ἤτοι τὸν ἀκρατῆ καὶ καρτερικὸν, ἵν' ᾖ οὕτως, ὥστε διαφέρειν ἀλλήλων, ὅτε ἐγκρατὴς καὶ καρτερικός· ὁ μὲν ἐγκρατὴς τότε λέγεται ἐγκρατὴς, ὅταν ἤδη νικήσῃ· ὁ δὲ καρτερικὸς, τῷ ἔτι μάχεσθαι λέγεται καρτερικός.

—— A, 36.=C. 8, 4. p. 141. Τοῦτο φησὶν ἐνταῦθα, ὅτι καὶ ὁ ἀκρατὴς μαλακίας εἶδος ἐστί· καταχαυνοῦται γάρ πως καὶ οὗτος κατὰ τὸν μαλακὸν, καὶ οὐκ ἀντέχει μέχρι τέλους.

—— B, 14.=C. 8, 6. p. 141. Εἰσὶ γάρ τινες φύσει θηλυδρίαι καὶ γυναικώδεις κατὰ γένος, ἢ καὶ διὰ νόσον.

—— B, 22.=C. 8, 8. p. 142. Φησὶν ὅτι τινὲς ἐθισθέντες προγαργαλίζεσθαι, οὐ γαργαλίζονται· ὡς οὖν οὗτοι ποιοῦσι καὶ

Digitized by Google

οὐδὲν ἡττῶνται γαργαλιζόμενοι, οὕτω καὶ οἱ προαισθόμενοι τοῦ πάθους, καὶ φέρειν ἑτοιμασάμενοι, οὐχ ἡττῶνται ὑπὸ τοῦ πάθους.

Εἰς δύο διαιρεῖ τὴν προπέτειαν, εἰς τοὺς ὀξεῖς καὶ εἰς τοὺς μελαγχολικούς. 5

1150. B, 30.=C. 9, 1. p. 142. Ἔλεγε γὰρ ἄνωθεν ἀπορῶν· μήποτε ὁ ἀκρατὴς ὁ αὐτός ἐστι τῶν ἀκολάστων.

Ἤγουν ἡ ἀκολασία τὸν ἔχοντα.

1151. A, 2.=C. 9, 2. p. 142. Ὁ γὰρ λόγος ὁ ὀρθὸς ὁ ἐν αὐτοῖς οἷον προλεαίνει τὸ πάθος καὶ ἐλαττοῖ. 10

—— A, 5.=C. 9, 3. p. 142. Οὐκ ἔστι φησὶν ἡ ἀκρασία τοιαύτη κακία, ὡς ἡ ἀκολασία, ἀλλὰ μερική τις, ὥσπερ ἡ ἐν τῷ Αἰθίοπι λευκότης, περὶ τοὺς ὀδόντας γάρ.

—— A, 17.=C. 9, 4. p. 143. Τὰς ἀρχὰς λέγει τῶν ἐπιστημῶν καὶ τὰ δεδομένα. οἷον τὸ σημεῖον ἐστὶν οὗ μέρος οὐδέν· 15 οὐκ ἀπαιτεῖται γὰρ ὁ μαθηματικὸς ἀποδεῖξαι τοῦτο.

—— A, 28.=C. 10, 1. p. 143. Κατὰ συμβεβηκὸς λέγεταί τις ἐγκρατὴς καὶ ἐμμενετικὸς, ὅταν τῇ ψευδεῖ δόξῃ ὡς ἀληθεῖ οὔσῃ ἐμμένῃ· ὡς ὅταν, εἰ τύχοι, ἐμμένῃ τίς τῇ δόξῃ τῇ λεγούσῃ καλὸν εἶναι, τὸ τῶν ἡδονῶν μὴ ἀπέχεσθαι· ταύτην γὰρ ἀσπά- 20 ζεται, δίοτι ἀληθῆ εἶναι ὑπολαμβάνει· κατὰ συμβεβηκὸς οὖν ἀσπάζεται, ὥσπερ ὁ αἱρούμενος τὸ νόμισμα διὰ τὸν οἶνον· καθ' αὐτὸ μὲν γὰρ τὸν οἶνον φιλεῖ· κατὰ συμβεβηκὸς δὲ τὸ νόμισμα.

—— B, 19.=C. 10, 2. p. 144. Ταχέως ὁ ἐγκρατὴς πεισθήσεται, καὶ τῆς ψευδοῦς δόξης ἐκσταίη, εἰ τὸν μετὰ ἀποδείξεως 25 πείθοντα σχοίη.

—— B, 12.=C. 10, 3. p. 144. Ὁ δὲ ἰσχυρογνώμων, οὐχ' ὑπὸ λόγου πιστεύει τῇ δόξῃ, ἀλλὰ ἀλόγως ἐμμένει.

Διότι ἄγονται καὶ ἡττῶνται ὑπὸ τῶν ἡδονῶν οἱ ἰσχυρογνώμονες, διὰ τοῦτο παρεικάζει αὐτοὺς τῷ ἀκρατεῖ. 30

—— B, 17.=C. 10, 4. p. 144. Πεποίηται τῷ Σοφοκλεῖ Νεοπτόλεμος ἀναπειθόμενος ὑπὸ τοῦ Ὀδυσσέως· ὥστε παραγενέσθαι, καὶ δι' ἀπάτης ἀφελέσθαι τοῦ Φιλοκτήτου τὰ ὅπλα· καὶ αὖ τὴν ἀπάτην ὑπὸ ἀκρασίας καλῆς ὁ Νεοπτόλεμος ἀναγγέλλων τῷ Φιλοκτήτῃ. 35

Digitized by Google

1151. B, 25.=C. 11, 5. p. 144. Ὅρα ὅπως ποιεῖ τὸν ἐγκρατῆ μέσον τοῦτο ἀνωνύμου καὶ τοῦ ἀκρατοῦς.

Δι' ἕτερον δηλαδὴ ἢ τὸ μᾶλλον τί, ἢ τὸ ἧττον τί.

—— B, 33.=C. 11, 6. p. 145. Τοῦτο λέγει λύων τὰς ἄνωθεν καὶ πρὸ πολλοῦ λεχθείσας ἀπορίας· ὅτι καθ' ὁμοιότητα λέγομεν πολλάκις καὶ τὸν σώφρονα ἐγκρατῆ, καὶ τὸν ἐγκρατῆ σώφρονα.

1152. A, 10.=C. 11, 7. p. 145. Τουτέστι δύναμιν ἔχων τοῦ ἐπιθυμεῖν. Δεινὸν τὸν κατὰ τὴν πανουργίαν δηλαδὴ εἰρημένον· διήρησε γὰρ προλαβὼν τὴν δεινότητα, εἴς τε τὴν ἐπίτασιν τῆς φρονήσεως, καὶ εἰς τὴν πανουργίαν.

Καθὸ καὶ ἡ φρόνησις καὶ ἡ δεινότης τῶν πρὸς τὸ τέλος εὑρετική.

Οὐ μετὰ βουλῆς φησίν· ἡ γὰρ σφοδρότης τῆς ἐπιθυμίας, οὐκ ἐᾷ αὐτὸν βουλεύεσθαι, ἢ τὸ ἐπίβουλον, ὡς ἄνωθεν καὶ πρὸ πολλοῦ εἴρηται, ὅτι οἱ ἐπιβουλότεροι ἀδικώτεροι.

—— A, 31. Πολυχρόνιον μελέτην τὸ ἔθος λέγει.

—— B, 6.=C. 11. p. 146. Καὶ τὴν εὐδαιμονίαν] εὐδαιμονία ἐστὶ ψυχῆς ἐνέργεια κατ' ἀρετὴν τελείαν ἐν βίῳ τελείῳ, προστιθέναι δὲ καὶ τὸ μεθ' ἡδονῆς, ἢ οὐκ ἄνευ ἡδονῆς.

Ἐξ ὧν ἦν καὶ ὁ λέγων ἐκεῖνον· "τὸ μανείην ἢ αἰσθείην."

—— B, 12.=C. 12, 4. p. 146. Ὅλως μὲν οὖν] Ἐνταῦθα φησὶ πῶς κατεσκεύαζον μηδεμίαν ἡδονὴν εἶναι ἀγαθόν· γένεσιν δέ φησιν τὴν ἡδονὴν, ἀντὶ τοῦ ἀναπλήρωσιν· τὸ δὲ "εἰς φύσιν "αἰσθητὴ" προσέθηκε, ἀντὶ τῆς μετὰ αἰσθήσεως· ἡ γὰρ ἐν τῇ τῶν βρωμάτων μεταλήψει γινομένη ἡμῖν ἡδονὴ, ἀναπλήρωσις ἐστὶ μετὰ αἰσθήσεως· αἰσθανόμεθα γάρ· ἔτι τὸ "αἰσθητὴ" πρὸς ἀντιδιαστολὴν ἔθηκε τῆς αὐξητικῆς δυνάμεως· καὶ γὰρ αὐξάνομεν μὴ αἰσθανόμενοι.

Τὸ ἄλυπον] Τοῦτο ἔλεγεν ἐνταῦθα, ὅτι ἡ ἡδονὴ κίνησις τίς ἐστι, τὸ δὲ ἄλυπον ἠρεμία· κινήσει δὲ ἠρεμία ἐναντίον· εἰ οὖν ὁ φρόνιμος τὸ ἄλυπον διώκει καὶ τὴν ἠρεμοῦσαν κατάστασιν ἀγαθὸν οὖσαν, λείπεται τὴν ἡδονὴν κίνησιν οὖσαν, μὴ ἀγαθὸν εἶναι· ταύτην γὰρ διώκει ὁ ἀκόλαστος.

Digitized by Google

1152. B, 22.= C. 13, 1. p. 147. Φύσεις καὶ ἕξεις τὰς φυσικὰς ἐπιθυμίας καλεῖ.

Αἱ ἀναπληρώσεις.

Ἁπλῶς φαῦλαι ὡς αἱ νόσοι· τινί δ' οὐκ εἰσὶ φαῦλαι, ὡς τῷ ἀκρατεῖ· ἔνιαι δὲ, οὐδὲ τῷδε· ὡς ἡ τομὴ καὶ ἡ καῦσις, τῷ νοσοῦντι· ἀλλά ποτε καὶ ὀλίγον χρόνον. 5

—— B, 30. C. 13, 2. p. 147. Ἕξιν καὶ φύσιν ἐνταῦθα τὴν θρεπτικὴν λέγει· ἥντινα δὴ καὶ ἀπομένειν[11] φησὶ, τῶν σαρκῶν ὑπὸ λιμοῦ ῥυισκομένων.

Οἷον αἱ τῶν ψωριώντων. 10

—— B, 34.=C. 13, 3. p. 147. Ἐνταῦθα ἀναιρεῖ τὸ εἶναι τὴν ἡδονὴν γένεσιν· εἰ καὶ ἐν τῷ πρὸ τούτου ἐπιχειρήματι δέχεται· ἀποφαίνεται δὲ αὐτὴν ἐνέργειαν καὶ καθαὐτὸ ἡδεῖαν· τὰς ἀποκαταστάσεις δὲ, ἤγουν γενέσεις, κατὰ συμβεβηκὸς ἡδείας· διὰ γὰρ τὸ τὴν ἐνέργειαν, ἤτοι τὴν ἡδονὴν ἡδεῖαν· καὶ καθαὐτὸ ἡδεῖαν 15 εἶναι, συμβαίνει καὶ τὰς ἀποκαταστάσεις ἡδείας εἶναι.

Δηλονότι τοῦ μὴ εἶναι τὰς ἡδονὰς γενέσεις, ἤτοι ἀναπληρώσεις.

Τὸ "γινομένων," ἀντὶ τοῦ ἀναπληρουμένων ἡμῖν λεπτέον.

Οὐ πασῶν φησι τῶν γενέσεων ἕτερον τὸ τέλος, ἀλλὰ τῶν ἀγομένων εἰς τὴν τελείωσιν· οἷον ἐπὶ τῆς βρώσεως, ἡ βρῶσις οὐκ 20 ἔστι τέλος, οὐδὲ ἡδονή· ἀλλὰ μᾶλλον κατ' ἔνδειαν τῆς φύσεως καὶ λύπην γίνεται ἡδὲ ἀπὸ τῆς πληρώσεως ἡδονὴ τὸ τέλος.

Οὕτως συντακτέον τὸ χωρίον· δοκεῖ δὲ γένεσις τίς εἶναι· τὴν γὰρ ἐνέργειαν γένεσιν ὤοντο εἶναι· ἀντὶ τοῦ ταυτὸν ὤοντο τὴν ἐνέργειαν τῇ γενέσει· τὸ δὲ "ὅτι κυρίως ἀγαθὸν," πρὸς τὴν ἐνέρ- 25 γειαν συντακτέον· ἵν' ᾖ τὸ ὅλον, οὕτως δοκεῖ δὲ γένεσις εἶναι· τὴν γὰρ ἐνέργειαν γένεσιν οἴονται εἶναι· ὅτι κυρίως ἀγαθόν· ἀντὶ τοῦ ἐπεὶ κυρίως ἀγαθὸν, δηλονότι ἡ ἐνέργεια.

C. 13, 4. p. 148. Τοῦτο λέγει, ὅτι ἀπὸ τοῦ σωφρονεῖν ἡδονὴ ἡ προγινομένη τῷ σώφρονι οὐκ ἐμποδίζει τῇ σωφροσύνῃ, ἀλλ' ἡ ἀλλοτρία, ἤγουν ἡ τῆς ἀκολασίας. 30

C. 13, 6. p. 148. Δυνάμεις λέγει τὰς ἕξεις· ὅτι ἐφ' ὅσον ἀπρακτεῖ ὁ ἔχων τὴν ἕξιν, δυνάμει δοκεῖ ἔχειν ταύτην· καθὸ καὶ τὸ παιδίον δυνάμει λέγομεν γραμματικόν· ἀλλὰ ἐπὶ μὲν τοῦ

11 ἀπομένην Cod.

Digitized by Google

παιδίου, ἡ δύναμις πόρρω ἐστὶ πρὸς τὴν ἐνέργειαν· ἐπὶ δὲ τοῦ ἕξιν ἔχοντος καὶ ἀπρακτοῦντος, οὐχ οὕτως· ἀλλ' ὅτε θελήσει ὁ τοιοῦτος πράττει.

C. 13, 7. p. 148. Τὸ δὲ "τῷ αὐτῷ λύονται" τοῦτο δηλοῖ, ὅτι τῶν ἡδονῶν αἱ μὲν ἁπλῶς φαῦλαι, τινὶ δὲ οὐ· ἔνιαι δὲ οὐδὲ τῷδε· καὶ ἐκ τούτου λύεται πάντα.

Ἤγουν ὁ φρόνιμος διώκει τὸ μὴ λυπεῖσθαι ἐν τῇ τούτων τῶν ἡδονῶν ἀποχῇ, ἃς διώκει τὰ παιδία καὶ τὰ θηρία· ἔτι δὲ καὶ ὁ ἀκόλαστος.

Ὅτι ἡ λύπη καθὸ λύπη, αὐτὴ καθ' αὑτὴν κακόν· ἔστι δὲ καί τις λύπη οὐχ ἁπλῶς κακόν, ἀλλὰ πῇ· οἷον ἡ ἐπὶ θανάτῳ παίδων ἢ γυναικὸς λύπη οὐκ ἔστιν ἁπλῶς κακόν· ἐνδέχεται γὰρ λυπεῖσθαι ἐπὶ τοιούτοις· θηριωδίας γὰρ τὸ μὴ λυπεῖσθαι· πῇ δὲ κακόν, ἤτοι κατὰ τοῦτο καθὸ οὐκ ἔστι πενθεῖν καὶ γεωμετρεῖν φασί. πρὸς γὰρ γνώσεως ἀρετὴν ἐμποδίζει ἡ λύπη.

—— B, 5.=C. 14, 1. p. 149. Ὁ Σπεύσιππος ἔλεγε τὴν λύπην καὶ τὴν ἡδονὴν ἐναντία κακὰ εἶναι· μέσον δὲ κατάστημα τὴν ἀλυπίαν· ἐλέγχεται δὲ κακῶς λέγων· οὐ γὰρ πᾶσα εὑρίσκεται ἡδονὴ φαύλη, ἀλλ' εἰσὶ καὶ ἡδοναὶ ἀγαθαί, οἷον αἱ τῶν σωφρόνων· οὐδὲ πανταχοῦ· ἢ πάντα ἔμμεσά εἰσι· ἵνα τῇ φυγῇ τῶν ἄκρων τὸ μέσον προκρίνωμεν.

—— B, 9.=C. 14, 2. p. 149. Τὸ "ἴσως δὲ καὶ ἀναγκαῖον" καὶ τὰ ἐφεξῆς κείμενα, τοῦτο ἐμφαίνει· ὅτι καὶ ἀναγκαῖον τὸ ζητούμενον ἄριστον εἶναι τὴν ἡδονήν· εἰ γὰρ ἡ ἡδονὴ κατὰ τὸν ἀποδοθέντα ταύτης ὁρισμένη κοινωνεῖ τῇ εὐδαιμονίᾳ· ἐνεργείᾳ οὔσῃ ἀνεμποδίστῳ κατὰ πᾶσαν ἀρετήν· ἔστι δὲ ἡ εὐδαιμονία τὸ ἄριστον, ἔσται πάντως καὶ ἡ κυρίως ἡδονὴ τὸ ἄριστον.

—— B, 17.=C. 14, 10. p. 129. Τύχη ἐστὶ ῥοπὴ θεοῦ πρὸς ἀνθρώπους, καθ' Ἕλληνας.

Ἄνευ γὰρ τῆς περὶ τοῦ θεοῦ ῥοπῆς, καὶ τὰ ἐκτὸς ἀγαθὰ οὐδὲν ἐνεργεῖ.

—— B, 20.=C. 14, 14. p. 129. Ἡ εὐτυχία πρὸς τὴν εὐδαιμονίαν ὁρίζεται· ἐφ' ὅσον συνιστᾷ αὐτὴν, ὥστε μὴ ἐμποδίζεσθαι· εἰ δὲ ἐπὶ πλέον ἐκταθῇ, ταχά κεν καὶ εἰς ἐπιθυμίας ἀτόπους ἄξει τὸν ἔχοντα.

Digitized by Google

1152. B, 25.=C. 14, 18. p. 129. Τὸ "πῶς" προσέθηκεν, ὅτι πάντα τὰ ζῶα τὴν ὄντως ἡδονὴν ἐκείνην διώκει· ὡσαύτως καὶ οἱ ἄνθρωποι, κἂν εἰς τὴν ψευδῆ κατολισθαίνωσιν ἡδονήν· εἰ δέ τινι ἀνθρώπῳ γένοιτο κατορθῶσαι τὴν πρώτην, ἔσται αὕτη τὸ ἄριστον.

C. 14, 23. p. 129. Τὸ "οὐχ ἣν οἴονται, οὐδ' ἣν ἂν φαῖεν" τοῖον ἔχει τὸν σκοπόν· ὅτι διώκουσι τὴν ἡδονὴν τὴν ἔχουσαν τὰς ὑπερβολάς· ἤτοι τὴν σωμάτων νομίζονται ταύτην εἶναι τὴν κυρίως ἡδονήν.

C. 14, 24. p. 129. Τὸ δὲ "φύσει ἔχει τι θεῖον καὶ τὰ ζῶα," τοιοῦτόν ἐστι, ὅτι τὸ συνιστὰν τὴν ἰδίαν οὐσίαν, θεῖόν ἐστι, καὶ τὸ προνοεῖσθαι αὐτῆς· καὶ θεοῦ γὰρ αὐτοῦ τοῦτο δέδοται.

1154. A, 1.=C. 14, 7. p. 150. Ἄλλην δόξαν ἀνατρέπει τὴν λέγουσαν, ὅτι ἡ ἡδονὴ οὔτε ἀγαθὸν, οὔτε κακόν· ὁμοίως οὐδὲ ἡ λύπη.

Ἐναντίον ποιεῖ ὁ φαῦλος, δηλονότι ἐπὶ τῆς λύπης· ἐν γὰρ ταῖς ἡδοναῖς τὰς ὑπερβολὰς αἱρούμενος, ἐν ταῖς λύπαις οὐχὶ τὰς ὑπερβαλλούσας φεύγει, ἀλλὰ καὶ τὰς τυχούσας καὶ ἐλαχίστας λύπας.

Αἱρετὰς σφόδρα ἡδονὰς καλεῖ, οἷον τὰς τῆς γνώσεως καὶ τῶν ἄλλων ἀρετῶν.

—— A, 10.=C. 14, 7. p. 150. Τὸ "διατί αἱ ἐναντίαι "λύπαι μοχθηραὶ," πρὸς τὰς σωματικὰς ἀπέδωκεν ἡδονὰς, λέγων ὅτι ἓν ἑνὶ ὀφείλει ἀντικεῖσθαι, ἐπὶ δὲ τῶν σωματικῶν ἡδονῶν, πῶς καὶ αὗται μοχθηραὶ αἱ ἡδοναὶ, καὶ αἱ ἐναντίαι λύπαι ταύταις μοχθηραί· εἶτα ἐπάγει λύσιν, μίαν μὲν, ὅτι αἱ σωματικαὶ ἡδοναὶ ἀναγκαῖαι εἰσίν· οἷον, ἀναγκαῖον τὸ φαγεῖν τὸ ζῶον καὶ πιεῖν· ἄνευ γὰρ τούτων, οὐ ζήσεται, τὸ δ' ἀναγκαῖον, ἀγαθὸν, καθὸ ἀναγκαῖον· ἢ καὶ τοιοῦτον ἀγαθὸν, οἷόν ἐστι τὸ μὴ κακόν. κἂν γὰρ μὴ κυρίως ἀγαθὸν φησί τίς τοῦτο εἶναι, ἀλλά γε τέως, οὐδὲ κακόν· τὸ δὲ μὴ κακὸν ἀγαθόν ἐστι, καὶ ἀντίκειται ταύτῃ καλῶς ἡ λύπη.

Οἷον ἡ τῶν σωφρόνων ἡδονὴ, καὶ ἡ μέχρι τινὸς, κυρίως ἀγαθὴ, οἷον τῶν ἕξεων καὶ κινήσεων.

Τοῦτο προτίθησιν, ὅτι τῆς ἕξεως τῆς κατὰ γνῶσιν, καὶ τῆς κατ' αὐτὴν κινήσεως, ἤγουν ἐνεργείας, οὐκ ἔστιν ὑπερβολή· ἡ γὰρ ὑπερβολὴ κακιζόμενον ἐστὶν, ὡς ἐπὶ τῶν ἡδονῶν, καὶ ἐφ' ὅσων

Digitized by Google

ἕξεων, οὐκ ἔστιν ὑπερβολὴ τοῦ βελτίονος, οὐδὲ τῆς κατ' αὐτὰς ἡδονῆς ἐστιν ὑπερβολή, ἤγουν ψόγος. θεωρῶν γάρ τις ὑψηλὰ θεωρήματα, καὶ ἐπ' αὐτοῖς ἀμέτρως εὐφραινόμενος, οὐ κακιστέος.

Οὗτος ὁ νοῦς τοῦ χωρίου· ὅτι ὥσπερ ἐστὶ παρὰ τῷ φαύλῳ ἡ ὑπερβολὴ τῶν ἡδονῶν, οὐκ ἔστι παρ' αὐτῷ καὶ λύπη ὑπερβολὴν ἀντικειμένη τῇ ὑπερβαλλούσῃ ἡδονῇ τοῦ φαύλου, ἀλλ' ἡ ἐκείνη ἡ λύπη ἐστὶν ἐναντία τῇ ὑπερβολῇ τῶν ἡδονῶν, ἡ ἐλαχίστη καὶ μικρά.

1154. A, 28.=C. 15, 4. p. 151. Τῇ γὰρ παρουσίᾳ τῆς δίψης ἐπεισελθούσα ἡ τοῦ πίνειν ἡδονὴ, ἡδυτέρα, παρ' ὃ πέφυκε, δοκεῖ.

Εἰπὼν ἄνωθεν διατί αἱ σωματικαὶ ἡδοναὶ δοκοῦσι μὴ οὖσαι τοιαῦται, καὶ ἐπεμβαλὼν μεταξὺ διατί δοκοῦσιν οὐ σπουδαῖαι, νῦν πάλιν φησὶ διατί ἀγαθαὶ φαίνονται καὶ διώκονται.

—— B, 13.=C. 15, 6. p. 151. Ἥτε ἐναντία, ὡς ἡ ἀπὸ τοῦ πίνειν ἡδονὴ τὴν ἀπὸ τοῦ διψῆν ἐξελαύνει λύπην· ἡ δὲ τυχοῦσα ἡδονὴ διώκει τὴν λύπην· ὡς ἡ ἐκ μελῶν ἡδονὴ πολλάκις καὶ μεγίστας ἐκκρούει λύπας.

—— B, 15.=C. 15, 7. p. 151. Δηλονότι ἕξεις καὶ κινήσεις.

Οἷον φύσει ἡδὺ, τὸ ὁρᾶν, τὸ ἀκούειν.

Ὑπομένον τὴν θρεπτικὴν δύναμιν φησίν.

—— B, 32.=C. 15, 8. p. 152. Τὴν τοῦ νοεῖν ἑαυτόν. τὸ "οὐ γὰρ μόνον κινήσεώς ἐστιν ἐνέργεια," φησὶν, "ἀλλὰ καὶ ἀκινησίας," ὥσπερ τινὸς ἀντιλέγοντος μὴ ἥδεσθαι τὸν θεόν· ἐν ἀκινησίᾳ γὰρ εἶναι, τὴν δ' ἡδονὴν ἐν κινήσει τυγχάνειν. τοῦτο οὖν λύειν ἐπιχειρῶν ταῦτα φησίν.

Ἡ τοῦ θεοῦ ἡδονὴ ἐν τῷ ἀναλλοιώτῳ τῆς αὐτοῦ οὐσίας θεωρεῖται, ἢ ἐν κινήσει καὶ μεταβολῇ· μεταβολὴ δὲ πάντων τῶν κακῶν δηλονότι, γλυκύ.

LIB. VIII.

C. 1, 1. p. 152. Ἀρετὴ μὲν ὡς μέση οὖσα θηριωδίας τῆς καλουμένης ἀνωνύμου, καὶ τῆς κολακείας· μετ' ἀρετῆς δὲ, ὅτι τῶν σπουδαίων μάλιστα πέφυκεν ἡ φιλία εἶναι, τῶν φαύλων δὲ

Digitized by Google

οὐδαμῶς· ὁ γὰρ φαῦλος οὔτε πρὸς ἑαυτὸν φίλος, οὔτε πρὸς ἄλλον.

1155. A, 5. = C. 1, 4. p. 153. Ὅτι ἡ φιλία ὑπὸ τὴν δικαιοσύνην ἀνάγεται ὡς γινομένη ὑπ' αὐτῆς.

Ὅτι οἱ νομοθέται περὶ ὁμονοίας μὲν λέγουσι, περὶ φιλίας δὲ οὔ· ἀλλ' εἰ περὶ ὁμονοίας, τάχα δὴ καὶ περὶ φιλίας. ἡ γὰρ ὁμόνοια ὁμοιόν τι τῇ φιλίᾳ ἔοικεν εἶναι.

Τὸ τοῦ ἴσου νεμητικὸν καὶ ἐπανορθωτικόν.

Ἤγουν, οἱ δὲ κατὰ ἐναντίωσιν λέγουσι τὴν φιλίαν συνίστασθαι, ὡς τὸ "ἐρᾶν ὄμβρου γαῖαν ξηρανθεῖσαν· ἐρᾶν δὲ οὐρανὸν πληρούμενον ὄμβρου πεσεῖν εἰς γαῖαν."

—— B. 12. = C. 1, 7. p. 154. "Πότερον ἓν εἶδος τῆς φιλίας" τουτέστι συνωνύμως κατηγορεῖται ἡ φιλία τῶν ὑπ' αὐτὴν, ἢ πλείω ἀντὶ τοῦ ὁμωνύμως. Ἔλεγον τινὲς, συνωνύμως κατηγορεῖν τὴν φιλίαν τῶν ὑπ' αὐτὴν, διὰ τὸ δέχεσθαι τὰ ὑπ' αὐτὴν εἴδη τὸ μᾶλλον καὶ τὸ ἧττον· ὥσπερ καὶ τὸ χρῶμα συνωνύμως κατὰ λευκοῦ καὶ μέλανος κατηγορεῖται, ἅτινα ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. ἀναιροῦνται δὲ οἱ ταῦτα φάσκοντες διὰ τῆς τοῦ ὄντος κατηγορίας. ἐκεῖνο γὰρ κατὰ οὐσίας καὶ ποιοῦ καὶ ποσοῦ, καὶ τῶν λοιπῶν κατηγορούμενον, ἅτινα μᾶλλον καὶ ἧττον εἰσὶν ὄντα, ὅμως τὸ ὂν ὁμωνύμως κατ' αὐτῶν κατηγορεῖται.

1156. A, 4. = C. 2, 1. p. 154. Ἤγουν διὰ τὸ ἀγαθὸν, διὰ τὸ χρήσιμον, διὰ τὸ ἡδύ.

Τὰς φιλήσεις ὡς ἕξεις οὐ λαμβάνουσιν, ἀλλ' ὡς πάθη.

Ταύτῃ τῇ φιλήσει.

—— A, 23. = C. 3, 4. p. 156. Ἡ διὰ τὸ χρήσιμον· οἱ γὰρ γέροντες χρῄζουσι χειραγωγίας καὶ τοῦ δίδοσθαι αὐτοῖς τὰ χρειώδη· καὶ ἀπὸ τῶν ἀκμαζόντων δὲ καὶ νέων ἐκείνοις δοκεῖ ἡ τοιαύτη φιλία γίνεσθαι. ὅσοι μὴ τὸ ἡδὺ ἀλλὰ τὸ ὠφέλιμον διώκουσι καὶ συμφέρον.

Ἤγουν ὅσοι τὴν διὰ τὸ χρήσιμον φιλίαν.

—— B, 11. = C. 3, 4. p. 155. Οὗ διὰ τὸ ἡδὺ ἢ τὸ χρήσιμον δηλαδὴ ἢ ἄλλό τι. εἰ γάρ τις δι' ἓν τούτων τὸν φίλον αὐτοῦ ἀγαπᾷ, οὐ καθ' αὑτὸ φιλεῖ, ἀλλὰ κατὰ συμβεβηκός.

—— B, 17. = C. 4, 1. p. 155. Τῶν ἀγαθῶν καὶ σπουδαίων

Digitized by Google

ἡ φιλία συνάπτει ἐν αὐτῇ πάντα ὅσα τοῖς φίλοις δεῖ ὑπάρχειν. εἶεν δ' ἂν ταῦτα· τό τε ὠφέλιμον καὶ τὸ χρήσιμον καὶ τὸ ἡδύ· καὶ διὰ τοῦτο καὶ τελεία ἐστιν.

1156. B, 31.=C. 4, 8. p. 157. Τοῦτο λέγει, ὅτι οὐκ εἰσὶ φίλοι, εἰ μὴ πρότερον γένωνται φιλητοὶ, καὶ ἀλλήλους εἰδήσουσιν.

Ὅτι καθ' ὁμοιότητα τῆς τελείας φιλίας λέγονται καὶ αἱ διὰ τὸ ἡδὺ καὶ τὸ χρήσιμον φιλίαι. διότι γὰρ ἁπλῶς καὶ καθ' αὑτὸ ἔχει τὸ χρήσιμον καὶ τὸ ἡδὺ ἡ τελεία φιλία· ἔχουσι δὲ καὶ αὗται ταῦτα· διὰ τοῦτο ὀνομάζονται φιλίαι.

—— A, 3.=C. 5, 1. p. 157. Ὅτι τότε μένουσιν αἱ φιλίαι αἱ περὶ τὴν τελείαν, ὅταν γίνηται παρ' ἀλλήλων ἡ ἡδονή· ἤγουν μὴ ἀπὸ τοῦ ἑνὸς, ἀλλὰ καὶ ἀπὸ τοῦ ἑτέρου· καὶ μὴ γίνηται ὡς ἐραστοῦ καὶ ἐρωμένου· οὐχ ὁμοία γάρ ἐστιν ἐν τούτοις ἡ ἡδονή· ἀλλ' ὡς ἐρώντων ἀμφοτέρων, ἢ ἀλλήλων, ἢ τοῦ αὐτοῦ. τηνικαῦτα γὰρ διαμένει ἡ φιλία.

—— A, 25.=C. 5, 4. p. 158. Δευτέραν αἰτίαν λέγει, ὅτου χάριν τοὺς δι' ἡδονὴν ἢ τὸ χρήσιμον λέγομεν φίλους.

Διαφοραὶ δὲ τῆς φιλίας πλείω· οὐ γάρ ἐστιν ἡ φιλία συνωνύμως κατηγορουμένη ἐν τοῖς τοιούτοις, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. τοῦτο δὲ καὶ ἐν τοῖς προλαβοῦσιν ἔδειξε, καὶ ὅτι ἐν οἷς τὸ πρῶτον καὶ τὸ δεύτερον.

—— C. 5, 5. p. 157. Τοῦτο φησὶν ἐνταῦθα, ὡς οὐ πάνυ διαμένουσιν αἱ φιλίαι, αἱ τὸ ἡδὺ καὶ τὸ χρήσιμον ἔχουσαι, ὥσπερ τοῦ ἐραστοῦ καὶ ἐρωμένου, οὐ γὰρ τὸ αὐτὸ ἀντιδιδόασιν ἀμφότεροι· ἀλλ' ὁ μὲν ἐρώμενος ἡδονὴν τῷ ἐραστῇ δίδωσι τὴν ἀπὸ τοῦ οἰκείου εἴδους· ὁ δ' ἐραστὴς αὐτῷ χρυσὸν ἀντιδίδωσιν· αἱ δ' αὖ τὸ χρήσιμον μόνως παρ' ἑκατέρων ἔχουσαι, καὶ αὖ τὸ ἡδὺ μόνως, παραμόνιμοι εἰσίν· ἢ καὶ οὕτως· "οὐ πάνυ αὗται συνάπτουσιν" ἀντὶ τοῦ αἱ τοιαῦται φιλίαι οὐκ ἔχουσιν ἐν ἑαυταῖς ὁμοῦ τὸ ἡδὺ καὶ τὸ χρήσιμον καὶ τὸ ἀγαθὸν, ὥσπερ ἡ τελεία.

—— B, 4.=C. 6, 2. p. 159. Στρυφνοὺς φασὶ, τοὺς παρ' ἡμῖν ξηροὺς λεγομένους, ἢ μᾶλλον εἰπεῖν ἀγρίους.

—— B, 23.=C. 6, 7. p. 159. Ἑταιρικὴν φησι τὴν τῶν παίδων φιλίαν. φιλοῦσι γὰρ συνδιάγειν μετ' ἀλλήλων οἱ παῖδες,

Digitized by Google

τοῦτο δὲ πρὸς τὸ ἄνω συντακτέον, τὸ οὐδὲν γὰρ οὕτως ἐστὶ φίλων, ὡς τὸ συζῆν.

1156. B, 28.=C. 7, 1. p. 159. Διά τε τὸ χρήσιμον ὁμοῦ καὶ τὸ ἡδὺ, καὶ τὸ ἁπλῶς ἀγαθόν· καὶ τὸ ἀλλήλους εὐεργετεῖν καθ' αὐτὸ, καὶ οὐ κατὰ συμβεβηκός. 5

Ἔφησε καὶ ἐν τοῖς προλαβοῦσιν, ὅτι φίλησις ὑπάρχει ἐν τῷ οἴνῳ, φιλία δ' οὔ· ἡ γὰρ φιλία φησὶν ἐν ἀντιπεπονθόσιν ἐστίν.

1158. A, 24.=C. 7, 4. p. 160. Οὐ μόνον τὸ λυπηρὸν οὐδεὶς ἂν ὑπενέγκοι συνεχῶς βλαβερὸν δοκοῦν, ἀλλ' οὐδ' ἂν ἀγαθὸν εἴη τὸ τοιοῦτον, καὶ λυπῇ ὑπομείνεί τις. ἔτι καὶ ἑτέρως φησὶν, ὅτι 10 οὐδὲ τὴν εὐδαιμονίαν ἤνεγκεν ὁ μακάριος, εἴπερ λυπηρά τις ἦν.

Ἐν ἐξουσίαις δὲ τοὺς βασιλεῖς λέγει καὶ τυράννους.

——— A, 32.=C. 7, 6. p. 161. Ἀλλὰ τῷ ὑπερέχοντι καὶ πλουσίῳ οὐ γίνεται ὁ σπουδαῖος φίλος, ἔχοντι τῷ πλουσίῳ καὶ τὴν ἐπ' ἀρετῇ ὑπεροχὴν, ἂν μὴ ὑπερέχηται καὶ νικᾶται ὁ πλούσιος παρὰ 15 τοῦ σπουδαίου τῇ ἀρετῇ, ἀνάλογον ὑπερεχόμενος ὁ αὐτὸς πλούσιος, ὅσον ὑπερέχει τοῦ σπουδαίου τῷ πλούτῳ· ἂν δὲ μὴ, οὐκ ἰσάζει.

Δηλονότι αἱ διὰ τὸ ἡδὺ καὶ τὸ χρήσιμον, ἐν ἰσότητι τῆς κυρίως φιλίας· ἐμφέρειαν γάρ τινα πρὸς ἐκείνην κέκτηνται. 20

1159. B, 19.=C, 10, 7. p. 164. Εἰπὼν ὅτι ἐξ ἐναντίων δοκεῖ γίνεσθαι ἡ φιλία, νῦν λύει τὸ τοιοῦτον, καὶ φησὶν ὅτι οὐ καθ' αὐτὸ ἐφίεται τὸ ἐναντίον τοῦ ἐναντίου, ὥστε γενέσθαι φιλίαν, ἀλλ' ὀρεγόμενον τοῦ μέσου, ὥστε κατὰ συμβεβηκὸς ἐφίεται τὸ ἐναντίον τοῦ ἐναντίου. 25

——— B, 31.=C. 11, 2. p. 165. Τοῖς γὰρ ἐμπορευομένοις οὐ πάντα κοινά· οὐ γὰρ εἰ ὁ μὲν εἰσενέγκοι τρεῖς μνᾶς, ὁ δὲ δέκα, ὁμοίως τύχῃ ἐν ταῖς διανομαῖς, ἀλλὰ κατὰ ἀναλογίαν· ὁμοίως δὲ καὶ ἐπ' ἄλλων.

1160. A. 18.=C. 11, 5. p. 165. Αἱ γὰρ τῶν πλωτήρων καὶ 30 συστρατιωτῶν καὶ λοιπῶν φιλίαι, τοῦ ἐπὶ τοῦ παρόντος συμφέροντος μόνου ἐφίενται· οὐ γὰρ ἀεὶ τοῦ ἀλλήλοις συμφέροντος ἐπιθυμοῦσιν, ἀλλ' ἄχρις οὗ συμπλέουσιν, ἢ συμπολεμοῦσι.

Ἣν ἕκαστος ὠνεῖται διὰ χρημάτων, οἷά ἐστι τὸ κομμέρκιον, καὶ τὰ λοιπά. 35

Digitized by Google

1160. B, 29.=C. 12, 4. p. 167. Ὥσπερ γὰρ διαφέρει ὁ πατὴρ τοῦ δεσπότου, οὕτω διαφέρει καὶ ἡ τοῦ πατρὸς ἀρχὴ ἡ πρὸς υἱὸν, καὶ τῆς τοῦ δεσπότου πρὸς δοῦλον.

—— B, 34.=C. 12, 5. p. 167. Τοῦτο λέγει, ὅτι ἐὰν ἐπιχειρήσῃ ὁ ἀνὴρ καὶ τοῦ τυχόντος κυριεύειν καὶ τῶν ἐφειμένων τῇ γυναικὶ, διέφθειρε τὴν οἰκείαν ἀρχήν· καὶ ὥσπερ ἐξ ἀριστοκρατίας τρόπον τινὰ εἰς ὀλιγαρχίαν καθίστησιν ἄρχων κακῶς.

Πολὺν κλῆρον ἢ προῖκα πολλὴν ἀγαγοῦσαι τοῖς ἀνδράσι.

—— A. 21.=C, 13, 2. p. 168. Οἷον δίκαιον ἔχει ὁ πατὴρ πρὸς τὸν υἱὸν τοῦ τρέφειν αὐτὸν καὶ ἐνδύειν καὶ διδάσκειν, οὐ τὸ αὐτὸ δὲ καὶ ὁ υἱὸς, ἀλλὰ τὸ ὑποτάσσεσθαι τῷ πατρὶ, τὸ τιμᾶν αὐτόν.

Τῇ τῶν ἀδελφῶν φιλίᾳ.

—— A, 28.=C. 13, 6. p. 168. Τοῦτο λέγει ἐνταῦθα, ὅτι καὶ μικρόν τι παρεκβαίνει τὸ κατ' αὐτὸν δίκαιον, οἷον εἰ ἀπαιτοίη τιμᾶσθαι, μικρόν τι πλέον ἀπαιτήσει τοῦτο γίνεσθαι.

Διὰ τὸ ἀγαθὸν, διὰ τὸ ἡδὺ, καὶ διὰ τὸ χρήσιμον.

—— B, 6.=C. 15, 2. p. 171. Τὸ "ἢ μάλιστα" προσέθηκεν, ὅτι καὶ ἐν τῇ διὰ τὸ ἡδὺ φιλίᾳ γίνονται ἐγκλήματα, ὅτι ἧττον με εὔφρανας τοῦ δέοντος.

—— B, 13.=C. 15, 3. p. 171. "Οὐ πάνυ δὲ," οὐδὲ ἐπὶ τοῖς δι' ἡδονὴν φιλοῦσι γίνεται ἐγκλήματα.

—— B, 20.=C. 15, 5. p. 172. Ἄγραφον λέγει τὸ φυσικὸν, τὸ δὲ κατὰ νόμον τὸ ἐν νομιμότητι.

Γίνεσθαι δέ φησι τὰ ἐγκλήματα, ὅταν μὴ κατὰ τὸν αὐτὸν σκοπὸν συναλλάξωσι καὶ διαλύωνται· εἰ γὰρ ὁ μὲν, ἤτοι ὁ δοὺς, ὡς δανείσας τῷ λαβόντι δέδωκε· ὁ δὲ δῶρον λαβεῖν παρ' ἐκείνου ὑπείληφε, καὶ μὴ ἀντιδίδωσιν, ἐγκλήματα αὐτοῖς εἰκότως ἐφέπονται. τοῦτο δὲ συμβαίνει γίνεσθαι ἐν ταῖς μὴ καθ' ὁμολογίαν δόσεσι.

1163. A, 16.=C. 15, 8. p. 173. Τοῦτο δὲ συμβαίνει τὸ μὴ καθ' ὁμολογίαν ποιεῖσθαι τὰς δόσεις, διὰ τὸ βούλεσθαι τοὺς διδόντας δοκεῖν τοῖς πολλοῖς, ὡς οὐ δανείζουσιν, ἀλλὰ δωροῦνται τοῖς φίλοις· βούλονται γὰρ οὕτω δοκεῖν τοῖς πολλοῖς, καὶ καλὸν

Digitized by Google

μέγα τὴν τῶν πολλῶν νομίζουσι· ἀλλὰ καὶ οὕτως προαιροῦνται τὰ αὐτοῖς ὠφέλιμα, καὶ ἀντιλαμβάνειν σπουδάζουσιν.

1163. B, 9.=C. 16, 3. p. 174. Τοῦτο πρὸς τὸ ἄνω ἀποδοτέον, ἤγουν πρὸς τὸ τῷ ὑπερέχοντι τιμῆς δεῖν πλέον νέμειν. οὐ γὰρ τὸ ἔλαττόν τις ἐν ἅπασιν ὑπομένει. ὁ γὰρ ἐν τῷ διδόναι χρήματα τὸ ἔλαττον ἔχων, ὀφείλει τὸ πλέον ἔχειν ἐν τῇ τιμῇ.

Πολλὰ ἐμποδίζει τῷ νοήματι ἡ τῆς δοτικῆς χρῆσις. τοῦτο γὰρ παριστᾷ τὸ νόημα. ὅτι ἐπὶ τῶν φίλων τῶν ἀνίσων, τὸν εἰς χρήματα ὠφελούμενον καὶ μὴ εἰς ἀρετὴν, δεῖ ἀνταποδιδόναι τιμὴν ἀντὶ τῶν χρημάτων, τῳ ὠφελοῦντι καὶ διδόντι τὰ χρήματα. ὥσπερ δέ τινος ἐπαγαγόντος, καὶ ποία τιμὴ τῆς ἀρετῆς ἀξία καθέστηκεν; λέγει, εἰ καὶ μὴ δυνατὸν τὴν ἀξίαν ἀποδιδόναι τιμὴν, ἀλλ' οὖν τὴν κατὰ δύναμιν ἀποδοτέον.

—— B, 19.=C. 16, 4. p. 174. Τὸν χρεωστοῦντα γὰρ υἱὸν δεῖ ἀποδιδόναι τῷ πατρί.

Τοῦ υἱοῦ δηλαδή.

LIB. IX.

1163. B, 32.=C. 1, 1. p. 175. Ταῖς μὴ ἓν ἐχούσαις τὸ ζητούμενον, ἀλλὰ ἄλλο καὶ ἄλλο. ὡς τοῦ μὲν δι' ἡδονὴν φιλοῦντος, τοῦ δὲ διὰ τὰ χρήματα.

Τὸ ὑπερβολικὸν ὑπισχνεῖσθαι.

Συμφωνία.

Τοῖς τὰ φιλόσοφα διδάσκουσι.

Ἤγουν συμπεφωνημένης ἢ ἐπὶ δόσει.

Τὸν πρῶτον λαμβάνοντα καὶ ἔχοντα τὴν ὠφέλειαν, ἢ τὴν ἡδονήν.

Εὐθύνας.

Καθὸ δηλαδὴ χρησιμεύουσιν.

Ὥστε καὶ τοῖς πᾶσι δοκεῖν τοιοῦτος.

Προκόψας ἐν ἀρετῇ καὶ τῶν τελεωτέρων θεωρημάτων κατατρυφήσας.

1166. A, 1.=C. 4, 1. p. 180. Τοῦτο παρίστησι ἐνταῦθα, ὅτι τὰ φιλικὰ καὶ οἷς χαρακτηρίζεται φιλία, εἴη δ' ἂν φιλικὸν

Digitized by Google

τὸ ἀγαπᾷν τὸν φίλον, ζῆν καὶ χαίρειν καὶ πλουτεῖν, καὶ εὐθηνεῖσθαι τοῖς ἀγαθοῖς, ἐκ τῶν πρὸς ἑαυτὸν ἐληλυθέναι ἔοικε· καὶ ἐξ ὧν θέλει τις ἑαυτὸν, ἤγουν τὴν ἑαυτοῦ ψυχήν. ἃ γὰρ εἰς ἑαυτόν τις θέλει, ταῦτα καὶ εἰς τὸν φίλον, εἴπερ ἄλλος αὐτὸς ὁ φίλος.

5 Τοῖς δὲ μὴ κυρίως φίλοις.

Ἐὰν δὲ "προσκεκρουκότες" εἴπῃς δίχα τοῦ μὴ, οὕτω νοητέον. οἱ προσκεκρουκότες διελύσαντο τὴν φιλίαν ἀναγκαίως· δεῖ δὲ καθὼς ἀνωτέρω εἴρηται, καὶ τῆς παλαιᾶς μνημονεύειν συνηθείας καὶ ἀπονέμειν τὶ αὐτῇ. ἔσται δὲ τοῦτο, τὸ ἐθέλειν ζῆν αὐτοὺς
10 ἁπλῶς.

1166. A, 20.=C. 4, 4. p. 180. Ἀλλοιωθεὶς δὲ καὶ ἢ ἀποκτεινωθεὶς, φέρε εἰπεῖν, ἢ δένδρον γενόμενος, οὐδεὶς αἱρεῖται ἔχειν τὰ ἀγαθά. τὸ "μάλιστα" εἶπε, ἐπεὶ ὁ ἄνθρωπος οὐ φαίνεται ἐν ψυχῇ μόνος, ἀλλὰ καὶ ἐν σώματι καὶ ἄλλοις.

15 Συναλγεῖ τοῦ καλοῦ διαμαρτάνων.

—— A, 35.=C. 4, 6. p. 181. Δύο κατὰ τὰ ὑποκείμενα, ἢ καὶ πλείω. καὶ γὰρ ἐν μέσῳ δύο τὸ ἐλάχιστον τοῦτε φιλοῦντος καὶ τοῦ φιλουμένου τεθεώρηται ἡ φιλία.

—— B, 10.=C. 4, 8. p. 181. Οἷον τοῦ βοηθῆσαι τῇ πα-
20 τρίδι ἀγαθοῦ νομιζομένου αὐτοῖς.

1167. A, 24.=C. 6, 1. p. 183. Ἢ ὁμογνωμονοῦντας, ὡς γένος δοκεῖ ὁμονοίας καὶ ὁμοδοξίας.

Ἐκ πονηροῦ καταγομένους (sic).

Ἐπευφραίνεσθαι τῷ εὐεργετουμένῳ.

25 Τοῖς ὑπερνικῶσι κατὰ τὸ εὐεργετεῖν.

—— A, 33.=C. 8, 1. p. 186. Τὸ "οὐδὲν ἀφ' ἑαυτοῦ" οὕτω νοητέον· ὅτι οὐκ ἄπο ἀλλὰ δι' ἑαυτόν· τοῦτο ἐνταῦθα παρίστησιν, ὅτι ἐπὶ τῆς προτεθείσης ἀπορίας περὶ τοῦ δεῖν φιλεῖν ἑαυτὸν, διαφωνεῖ τὰ ἔργα τοῖς λόγοις. βλέπομεν γὰρ καὶ τὸν ἐπιεικῆ καὶ
30 τὸν φαῦλον ἑαυτοὺς ἀγαπῶντας. ἀλλ' ὁ μὲν ἐπιεικὴς πάντα πράττει διὰ τὸ καλὸν, ὁ δὲ φαῦλος διὰ τὰς σωματικὰς ἡδονὰς, καὶ τοιαῦτα ἕτερα.

Ταῦτα ἕως τοῦ "ἀπορεῖται δ' εἰκότως," κατασκευὴ ἐστὶν, ὅτι δεῖ φιλεῖν ἑαυτὸν, ἐπειδὴ καὶ τὸν φίλον. φίλος δὲ μάλιστα αὐτὸς
35 ἑαυτῷ τίς τυγχάνει.

Digitized by Google

1167. B, 11.=C. 8, 2. p. 186. Διττῶν ὄντων τῶν λόγων· καὶ τοῦ μὲν λέγοντος δεῖν φιλεῖν ἑαυτὸν, τοῦ δὲ τὸν φίλαυτον διαβάλλοντος, ποτέρῳ ἀκολουθητέον;

—— B, 22.=C. 8, 4. p. 186. Ὀνειδιστικῶς τὸ φίλαυτον ἐπιλέγεται. 5

Τῷ λογιστικῷ δηλονότι, ὅπερ ὁ ἄνθρωπος κυρίως. θυμὸς γὰρ καὶ ἐπιθυμία κοινὰ καὶ τοῖς ἀλόγοις.

1169. A, 2.=C. 8, 6. p. 187. Ὅτι οἱ μετὰ λόγου πράττοντας, οὗτοι πράττουσιν ἑκουσίως. οἱ δὲ τοῦ λόγου δίχα, οὐχ ἑκουσίως. οὐδὲ γὰρ κατὰ ἄνθρωπον πράττουσιν. 10

—— A, 10.=C. 8. p. 163, 5. Τοῦτο λέγει ἐνταῦθα, ὅτι τὰ δέοντα πάντες κοινῶς ἀποδέχονται, καὶ φαῦλοι καὶ ἀγαθοί· ἰδίᾳ δὲ ἑκάστῳ τῷ κατορθοῦντι καὶ πράττοντι αὐτὰ τὰ μέγιστα δοκεῖ τῶν ἀγαθῶν.

—— A, 11.=C. 8. p. 163, 8. Ὅτι τὸν σπουδαῖον τὸν οὕτως[1] 15 φίλαυτον, δεῖ καλεῖν φίλαυτον, τὸν δὲ μοχθηρὸν οὐχί.

—— A, 18.=C. 8. p. 163, 14. Ὁ μὲν οὖν μοχθηρὸς ἐπαινεῖ μὲν τὴν σωφροσύνην, ἀκολασταίνει δὲ, ὁ δ' ἐπιεικὴς ἃ ἐπαινεῖ ταῦτα καὶ πράττει.

—— A, 25.=C. 8. p. 163, 18. Ποῖον συμβαίνει τὸ κατα- 20 φρονεῖν χρημάτων καὶ τιμῶν μερικῶν καὶ τῶν λοιπῶν, ἃ εἶπε τὴν κοινὴν τιμήν.

—— A, 26.=C. 8. p. 163, 19. Καὶ χρήματα ὑπὲρ τῆς πατρίδος πρόοιντο. ὥστε φυλαχθῆναι αὐτὴν ἀχείρωτον τοῖς πολεμίοις, καὶ ἔχειν τοὺς φίλους πλείονα, ἤτοι τὰ ἑαυτῶν καὶ τοὺς 25 παῖδας καὶ τὰς γυναῖκας.

—— B, 15.=C. 9. p. 164, 15. Δῆλον ὡς ἐν ἀτυχίαις.

Ἤγουν χωρὶς φίλων.

—— B, 22.=C. 9. p. 164, 18. Οἱ λέγοντες τὸν εὐδαίμονα μὴ εἶναι ἐν χρείᾳ φίλων. 30

—— B, 29.=C. 9. p. 164, 31. Ὅτι ἡ ἐνέργεια γίνεται. κίνησις γάρ τις ἐστὶ, καὶ ἐν τῷ ἀεὶ γίνεσθαι ἔχει τὸ εἶναι, οὐκ ἐν τῷ ἁπλῶς ὑπάρχειν.

—— B, 32.=C. 9. p. 165, 2. Ὅτι τὸν οἰκεῖον τῶν γλυκυ-

[1] Leg. ὄντως.

Digitized by Google

τάτων· ὁ δὲ φίλος οἰκεῖον· ἡδὺς ἄρα ὁ φίλος, καὶ διὰ τοῦτο δεῖ φίλων τῷ εὐδαίμονι· πάντα γὰρ τὰ ἡδέα ὁ εὐδαίμων ἔχει.

1170. A, 12.=C. 9. p. 165, 15. Ὅτι φησὶν ὁ Θεόγνις,

Ἐσθλὰ μὲν ἀπ' ἐσθλῶν μαθήσεαι· ἢν δὲ κακοῖσι
5 συμμιγῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.

—— A, 16.=C. 9. p. 165, 18. Φύσει δὲ αἱρετὰ τὰ τοῖς πᾶσιν ἐπίσης δοκοῦντα ἀγαθά· οἷον, ἡ ἀρετὴ, ὁ σπουδαῖος ἀνήρ.

—— A, 21.=C. 9. p. 165, 24. Τέλειον γὰρ καὶ πεπερασμένον.

10 Ὁ γὰρ μοχθηρὸς μεταμελημένος ἐστὶ, καὶ ποτὲ μὲν τοῦτο κρίνει ἀγαθὸν, ποτὲ δ' ἐκεῖνο. πεπλανημένη καὶ εὐτελής.

—— A, 25.=C. 9. p. 166, 4. Ἰστέον ὅτι δύο ἔχομεν οἱ ἄνθρωποι πνεύματα, τὸ ζωτικὸν, ὃ καὶ ἐν τῇ καρδίᾳ ἐστὶν, κἀκεῖθεν εἰς ἅπαν διαχεῖται τὸ σῶμα· καὶ τὸ αἰσθητικὸν, ὃ ἐν τῷ ἐγκεφάλῳ
15 πέφυκε. τοῦτο οὖν τὸ αἰσθητικὸν πνεῦμα τοῖς μυκτῆρσι χρώμενον, τὴν ὄσφρησιν ποιεῖ, τῷ σκολιῷ πόρῳ τὴν ἀκοὴν, τοῖς ὀφθαλμοῖς τὴν ὅρασιν, καὶ καθεξῆς. περὶ αὐτοῦ γοῦν τοῦ αἰσθητοῦ πνεύματος λέγει ἐνταῦθα, ὅτι ἔστι τὶ τὸ αἰσθανόμενον, ὅτι ἐνεργοῦμεν. τινὲς δὲ καθόλου αἴσθησιν τὸ τοιοῦτον αἰσθητικὸν πνεῦμα ὀνομάζουσιν.

20 —— B, 8.=C. 9. p. 166, 16. Διὰ τὴν τῆς ὑποστάσεως ἑτερότητα.

Χρῄζουσι δηλαδή.

—— B, 17.=C. 10. p. 166, 32. Ἱκανῶς κωλυτικοὶ τῷ σπουδαίῳ τῶν συνήθων αὐτῷ ἔργων.

25 1171. A, 1.=C. 10. p. 167, 7. Σαφηνίζει τὸ πλῆθος τῶν φίλων, λέγων "μεθ' ὧν ἂν δύναιτό τις συζῆν."

—— A, 11.=C. 10. p. 167, 18. Ὁ ἔρως.

—— A, 14.=C. 10. p. 167, 20. Ἑταιρικὴν λέγει τὴν ἐκ τῆς αὐτῆς διατριβῆς γινομένην, ἢ ἐκ τοῦ αὐτοῦ τάγματος.

30 Ὡς οἰκείοις.

—— A, 17.=C. 10. p. 167, 23. Τὸ "καλοῦσιν ἀρέσκους" πρὸς τοὺς πολυφίλους ἀποδοτέον.

—— A, 34.=C. 11. p. 168, 3. Τοῦτο δὲ συμβαίνει, ὅτι κουφίζονται οἱ λυπούμενοι τῇ παρουσίᾳ τῶν φίλων.

35 —— A, 35.=C. 11. p. 168, 9. Ἐπιμιξίαν ποιεῖ ἐν ταῖς

Digitized by Google

λύπαις καὶ τοῦ ἡδέος· τοῦτο δὲ ἀμβλύνει πάντως τὸ ἄκρατον τῆς λύπης.

1171. B, 22. = C. 11. p. 169, 2. Οὐ γὰρ καλὸν τὸ μᾶλλον σπεύδειν τὸν φίλον εἰς τὰ ἐκ τοῦ φίλου κέρδη.

—— B, 25. = C. 11. p. 169, 4. Ἐν τῷ συχνάκις τοῖς φί- 5 λοις παραβάλλειν.

LIB. X.

1172. A, 25. = C. 1. p. 170, 5. Ὑπὲρ οὗ δὲ προαιροῦνται οἱ πολλοὶ τὰ ἡδέα, καὶ τὰ λυπηρὰ φεύγουσιν, οὐκ ἐνδέχεται καταλιπεῖν ἀνεξέταστον τὸν περὶ τῶν ἡδέων καὶ τῆς ἡδονῆς λόγον. 10

—— A, 29. = C. 1. p. 170, 10. Οἰόμενοι ἐν τῷ λέγειν τὴν ἡδονὴν τῶν φαύλων εἶναι, ἀπάξειν τοὺς πολλοὺς τῆς πρὸς αὐτὴν προσπαθείας, καὶ ἀπὸ τοῦ ἁπλήστως αὐτῆς ἔχεσθαι ἕλξειν εἰς τὸ μέσον.

—— A, 32. = C. 1, 3. p. 196. Ἀλλ' οὐκ ἔστι τῶν πολλῶν 15 τὸ ἀποφαίνεσθαι περὶ τῶν πραγμάτων, τῶν δὲ σοφῶν.

Καὶ πρὸς τὴν πρᾶξιν.

—— B, 3. = C. 2, 1. p. 196. Ἔοικεν ὁ μὲν Εὔδοξος κατασκευάζειν οὕτως ἐπιχειρῶν, ὅτι ἡ ἡδονὴ ἀγαθὸν, διότι ᾧ ἂν προστεθῇ, ἀγαθώτερον ποιεῖ. ὁ δὲ Πλάτων ἀνασκευάζειν, ὅτι ἡ ἡδονὴ οὐκ 20 ἀγαθὸν, ὅτι αἱρετωτέρα γίνεται προστεθείσης αὐτῇ φρονήσεως. τὸ γὰρ καθ' αὑτὸ ἀγαθὸν, φαίη ἂν ὁ Πλάτων, οὔτε προσθήκην λαμβάνον γίνεται ἀγαθώτερον· οὔτε ἄλλῳ τινὶ προστιθέμενον, τῇ συνθέσει λαμβάνει τὸ ἀγαθόν· τὸ γὰρ καθ' αὑτὸ οὐ τοιοῦτον.

—— B, 26. = C. 2, 3. p. 197. Φαίνεται φησὶν οὗτος ὁ 25 λόγος ὁ τοῦ Εὐδόξου κατασκευάζειν τὴν ἡδονὴν ἀπὸ τῶν καθ' αὑτὸ ἀγαθῶν, καὶ οὐκ ἀπὸ τῶν γινομένων ἀγαθῶν, ἐν τῷ προστίθεσθαι ἑτέροις. τοῦτο γὰρ δηλοῖ τὸ "καὶ οὐδὲν μᾶλλον ἑτέρου." ἄλλως τε, κἂν μεθ' ἑτέρου μιγείη τί, οὐ μειώσει δὲ τῇ ἐπιμιξίᾳ.

Τὴν οἰκείαν ἀρετὴν, αἱρετώτερον ἢ μονούμενον. 30

Ἀντὶ τοῦ καθ' αὑτὸ ἀγαθὸν καὶ κυρίως.

Ἀγαθὸν καθ' αὑτὸ δηλαδὴ ἐστὶν ἡ ἡδονὴ, οὗ κοινωνοῦμεν οἱ ἄνθρωποι.

Digitized by Google

1172. B, 32. = C. 2, 4. p. 197. Ὁ γὰρ τὰ πᾶσι δοκοῦντα ἀναιρῶν, πάντως τε ἐρεῖ τὰ μὴ πᾶσι δοκοῦντα, ὅθεν οὐδὲ πιστευτέος.

Ὅτι καὶ ἐν τοῖς φαύλοις τῶν ζώων ἔστι τι φυσικὸν ἀγαθὸν,
5 ἤγουν ἡ φαντασία, καθ' ἣν ὀρέγεται ἕκαστον τοῦ οἰκείου ἀγαθοῦ.

Τὸ δὲ "κρεῖττον ἢ καθ' αὐτὰ" περὶ τῆς φαντασίας φησί· νοῦ γάρ τις ἔλλαμψις δοκεῖ ὡσανεὶ αὕτη τοῖς ζώοις.

—— C, 2. = A. 13, 5. p. 197. Κακὸν κακῷ ἀντικεῖσθαι τῇ ὑπερβολῇ τὴν ἔλλειψιν, καὶ ἄμφω τῷ μηδέτερα, ὡς τὸ λευκὸν καὶ
10 μέλαν τῷ φαιῷ.

—— A, 18. = C. 3, 1. p. 198. Εὐδαιμονία ἐστὶν ἐνέργεια ψυχῆς κατ' ἀρετήν.

Ἡ ἐν τῷ ὁρισμῷ τῆς ὑγείας λαμβανομένη.

Καὶ εἰ πρὸς ἄλλων συγκρίνοιτο κίνησιν.

15 Ἀντὶ τοῦ μεταβάλλειν ταχέως ἐστίν.

Ἡ ἀπλανὴς σφαῖρα διὰ μιᾶς ἡμέρας τὴν οἰκείαν περίοδον διέξεισιν, αἱ δ' ἄλλαι σφαῖραι διὰ πολλοῦ χρόνου.

—— B, 12. = C. 3, 5. p. 199. Ἔτι ἀγωνίζεται ἀποδεῖξαι, ὅτι οὐκ ἔστι γένεσις ἡ ἡδονὴ, οὐδὲ ἀτελής· τὸ γὰρ γινόμενον ἔτι
20 ἀτελές ἐστιν ἐν τῷ γίνεσθαι· ἡ δὲ ἡδονὴ τελεία αὐτίκα, καὶ λέγει τοῦτο· καὶ ὅτι ἐξ ὧν γίνεταί τι, εἰς ταῦτα καὶ διαλύεται. τοῦτο γὰρ ἴδιον γενέσεως· οἷον, ὁ ἄνθρωπος, ἤτοι τὸ ἀνθρώπινον σῶμα, ἐκ τεσσάρων στοιχείων συνέστηκε, εἰς αὐτὰ καὶ διαλύεται.

—— B, 20. = C. 3, 6. p. 199. Εἶτα ἐπιφέρει, ὅτι οἱ λέ-
25 γοντες γένεσιν τὴν ἡδονὴν, λέγουσιν ἐξ ἐνδείας γίνεσθαι τὴν ἀναπλήρωσιν, ἤγουν ἐκ λύπης τὴν ἡδονήν. λύει δὲ τοῦτο ὁ Ἀριστοτέλης, λέγων ὅτι ἡ ἔνδεια καὶ ἡ ἀναπλήρωσις τοῦ σώματός εἰσι, καὶ σωματικά ἐστιν· ἡ δὲ ἡδονὴ ἀσώματόν τι ἐστὶ, καὶ ἡ ψυχὴ ἥδεται, οὐ μὴν τὸ σῶμα.

30 1174. A, 10. = C. 3, 13. p. 200. Τὸ "ἢ ἀφ' ὧν," τοῦτο δηλοῖ· ὅτι διαφέρουσιν αἱ ἡδοναὶ ἀλλήλων τῷ εἴδει, ἤγουν αἱ ἀγαθαὶ τῶν αἰσχρῶν, πλέον παρ' ὃ αἱ ἕξεις ἀφ' ὧν γεγόνασιν· οἷον ἡ τοῦ σώφρονος ἡδονὴ ἀπὸ τῆς σωφροσύνης ἔσχε τὴν γένεσιν· καὶ ἡ τοῦ ἀκολάστου ἀπὸ ἀκολασίας· πλέον οὖν διαφέρουσιν αἱ ἀπὸ
35 τούτων ἡδοναὶ, παρὸ ἡ σωφροσύνη διαφέρει τῆς ἀκολασίας.

Digitized by Google

1174. A, 22. Πᾶν πρᾶγμα ἐξ ὕλης καὶ εἴδους ἐστί· καὶ τὸ εἶδός ἐστι τὸ κρεῖττον καὶ τελειοποιὸν αὐτοῦ.

—— B, 6. = C. 4, 4. p. 201. Ὡς ἕτεραι] Ἡ κίνησις δηλαδὴ καὶ ἡ ἡδονή.

Τὸ μὴ εἶναι τὴν ἡδονὴν γένεσιν ἢ κίνησιν. 5

Τουτέστιν ἀμεριστί.

Ἡ κίνησις καὶ ἡ γένεσις δηλαδή.

—— B, 14. Ἡ γὰρ αἴσθησις τότε ἐνεργεῖ καλῶς, ὅταν αὐτὴ τὲ ἀνεμποδίστως ἔχῃ, καὶ τὸ ὑποκείμενον αὐτῇ ἔχῃ κάλλιστον. κάλλιστον δὲ, ἐνταῦθα, οὐ τὸ εὐειδὲς φησὶν, ἀλλὰ τὸ ἐπιτηδείως 10 ἔχον, δέξασθαι τὴν τῆς αἰσθήσεως ἐνέργειαν. καὶ μήτε δὲ ἀπόστασιν ἄμετρον τὴν κατὰ τόπον, μήτε διὰ ἄγαν βραχύτητα, τὴν τῆς αἰσθήσεως οὐκ ἐπιδεχόμενα ἐνέργειαν.

—— B, 23. = C. 4, 6. p. 202. Οὐχ ὁμοίως τελεῖοι τὴν ἐνέργειαν τῆς αἰσθήσεως ἥτε ἡδονὴ, καὶ τὸ αἰσθητὸν καὶ ἡ αἴσθησις. 15

—— B, 27. = C. 4, 8. p. 202. ἀλλ' ἡ μὲν ἡδονὴ ὡς μὴ συμπεφυκυῖα, ἀλλ' ἔξωθεν ἐπιγινομένη· τὸ δὲ αἰσθητὸν καὶ ἡ αἴσθησις, ὡς οὐκ ἔξωθεν ὄντα, ἀλλὰ ὥσπερ καὶ σύμπαν ὑγεί. * *

ἀλλ' ὡς ἀχρόνως ἐπιγινομένη· καὶ ἐν τῷ νῦν ὥσπερ εἴρηται· τέλος δὲ λέγει ἐνταῦθα τὴν παῦσιν τῆς ἐνεργείας. 20

Ἀκμαῖα λέγονται σώματα, τὰ σύμμετρα, καὶ μήτε ἄγαν μέγαλα, μήτε ἄγαν μικρά.

Ἐν γὰρ τῷ καθεύδειν τὰ αἰσθητήρια οὐκ ἐνεργεῖ· ὥς τε οὐκ ἔστι συνεχῶς ἐνεργεῖν.

—— A, 6. = C. 4, 9. p. 202. Τὸ "διὰ ταῦτα" ἢ διὰ τὸ 25 κάμνειν ἡμᾶς, ἢ διὰ τὸ ἐκ τῆς συνηθείας καὶ τῆς προσκοροῦς ὡσανεὶ θέας, μὴ δοκεῖν τοιαῦτα οἷα τὸ πρότερον.

Οἱ[2] ἐκ πάθους ἀποβαλόντι τὴν ὄψιν· εἶτα πρῶτον ἐμβλέψαντι· ἢ οὕτω νοητέον τοῦτο· οἷον, ὅτι πάντα τὰ καινὰ τέρπει ἐπὶ πάσης αἰσθήσεως· καὶ πρῶτον μὲν ὡς ἐφ' ὅλων τῶν αἰσθήσεων φέρει τὸν 30 λόγον· εἶτα ὡς ἐπὶ παραδείγματος τῆς ὄψεως μόνης. ὃ προέθετο δείκνυσι.

Αἵ τε ἐνέργειαι καὶ αἱ ἡδοναί.

—— A, 23. = C. 5, 1. p. 203. Ἄλλην γὰρ ἡδονὴν φέρει

[2] Leg. οἷον.

Digitized by Google

ὁρώμενον τὸ γεγραμμένον ζῶον, καὶ ἄλλην τὸ ἔμψυχον, καὶ ἄλλην τὸ ἄγαλμα, καὶ ἡ οἰκία καὶ τὸ σκεῦος.

1174. A, 28. = C. 5, 2. p. 203. Τοῦτο λέγει ἐνταῦθα, ὅτι ἡ ἡδονὴ τὴν ἐνέργειαν τελεῖοι· καὶ ἡ συγγενὴς καὶ οἰκεία ἡδονὴ τὴν 5 συγγενῆ ἐνέργειαν. οὐ γὰρ τὴν περὶ λόγον ἐνέργειαν ἡ περὶ ἁφὴν ἡδονὴ τελειοῖ· ἀλλ' ἡ ἀπὸ τῶν λόγων ἡδονή.

—— B, 16. = C. 5, 5. p. 204. Σχεδὸν γὰρ] Εἶπεν ἄνωθεν ὅτι αἱ ἀλλότριαι ἡδοναὶ φθείρουσι τὴν μὴ συγγενῆ οὖσαν, ὁμοίως τῇ οἰκείᾳ λύπῃ· ἐνταῦθα δὲ λέγει, ὅτι αἱ δὲ οἰκεῖαι ἡδοναὶ καὶ 10 λύπαι τὸ ἐναντίον ποιοῦσι· καὶ ἡ μὲν οἰκεία ἡδονὴ συνιστᾷ τὴν οἰκείαν ἐνέργειαν, τῆς ἀλλοτρίας ἡδονῆς διαχεούσης ἐπὶ πλέον καὶ φθειρούσης αὐτὴν, ὡς εἴρηται· ἡ δὲ οἰκεία λύπη φθείρει μὲν καὶ αὐτὴ τὴν οἰκείαν ἐνέργειαν ὁμοίως τῇ ἀλλοτρίᾳ ἡδονῇ· ἀλλ' ἐκείνη μὲν ἡ ἀλλοτρία ἡδονὴ φθείρει, ἐὰν ἡδίων ὑπάρχῃ κατὰ πολὺ καὶ 15 ὑπερβάλλουσα. ἡ δὲ οἰκεία λύπη τοὐναντίον, ἀμαυροῦσα τὴν ἐνέργειαν, καὶ σύμπτυξιν ὥσπερ καὶ συστολὴν τῆς ἐκ τῆς ἐνέργειας ἡδονῆς ποιοῦσαν[1].

—— B, 30. = C. 5, 6. p. 205. Οἰκειότεραι δὲ] Σημαίνει ὅτι οἰκειότεραί εἰσι αἱ ἡδοναὶ ταῖς ἐνεργείαις παρὸ αἱ ὀρέξεις· 20 διότι αἱ μὲν ἡδοναὶ, συνειλημμέναι πῶς εἰσὶ ταῖς ἐνεργείαις· αἱ δὲ ὀρέξεις προηγοῦνται τούτων· καὶ αἱ μὲν ὀρέξεις εἰσὶ καὶ τῆς ἐνεργείας μὴ προβάσης.

Αἱ δὲ ἡδοναὶ ταῖς ἐνεργείαις εὐθὺς καὶ ἀχρόνως ἐπιγίνονται.

Δοκεῖ μέν τισὶ φησὶ ταυτὸν εἶναι ἐνέργεια καὶ ἡδονὴ, οὐκ ἔστι 25 δέ· οὐ γὰρ τὸ διανοεῖσθαι καὶ ἥδεσθαι ταυτόν· οὐδ' αἴσθησις. αἴσθησιν ἐνταῦθα τὴν τῆς αἰσθήσεως ἐνέργειαν φησίν.

—— B, 36. = C. 5, 7. p. 205. Καὶ τῶν ἡδονῶν τῶν οἰκείων ταῖς αἰσθήσεσι διαφέρουσιν αἱ περὶ τὴν διάνοιαν ἡδοναί. ὅτι αἱ μὲν, ἄνευ ὀργάνων γίνονται, αἱ κατὰ νοῦν καὶ ἐνέργειαι καὶ ἡδοναὶ, 30 καὶ εἰσὶν ἀνεμπόδιστοι· αἱ δὲ, οὐκ ἄνευ ὀργάνων.

Αἱ μὲν οὖν τῶν ἵππων ἡδοναὶ διαφέρουσι τῷ εἴδει πρὸς τὰς ἡδονὰς τῶν κυνῶν.

Πρῶτον ἐπὶ τῆς ὁράσεως δείκνυσι τοῦτο τῶν ἀνθρώπων.

[1] Leg. ποιοῦσα.

Digitized by Google

1174. A, 16. = C. 5, 10. p. 205. Σημαίνει ὅτι τὸ φαινόμενον τῷ σπουδαίῳ ἡδὺ ἐκεῖνο ἐστὶν ἀληθῶς ἡδύ· καὶ οὐχὶ τὸ τῷ πυρέττοντι ἢ ἄλλως κάμνοντι.

Τὰ τοῖς φαύλοις ἡδέα δηλαδή.

Εἰσὶν ἀγαθαὶ ἡδοναὶ καὶ αἰσχραὶ, ὡς εἴρηται· καὶ τῶν μὲν αἰσχρῶν, οὐδένα θετέον λόγον· τῶν δὲ ἀγαθῶν ἡδονῶν, αἱ μὲν εἰσὶ σωματικαὶ, αἱ δὲ ἀσώματοι.

—— A, 30. Καὶ νοεραὶ, ὡς αἱ τῶν μαθηματικῶν. τίνα οὖν φατέον ἡδονὴν κυρίως εἶναι τοῦ ἀνθρώπου ἢ ἄνθρωπος, ἢ δηλαδὴ τὴν ἀσώματον καὶ νοεράν; τὸ γὰρ τέλος τοῦ ἀνθρώπου ἐν τῷ νοεῖν ἐστὶ καὶ κατὰ λόγον ἐνεργεῖν.

—— B, 3. = C. 6, 2. p. 206. Ὡς αἱ ἐνέργειαι τῆς δικαιοσύνης ἀναγκαῖαι εἰσὶ καὶ δι' ἕτερον αἱρεταί· πρὸς γὰρ ἕτερόν τι τέλος τὰς ἀρετὰς ὁ ἔχων ἀφορᾷ τὴν εὐδαιμονίαν.

—— B, 11. Περὶ τούτου καὶ ἐν τῷ πρώτῳ διέξεισι λέγων· "οἱ μὲν οὖν πολλοὶ, παντελῶς ἀνδραποδώδεις φαίνονται, βοσκη-"μάτων βίον προαιρούμενοι· τυγχάνει δὲ λόγος, διὰ τὸ τοὺς πολ-"λοὺς τῶν ἐν ἐξουσίαις, ὁμοιοπαθεῖν Σαρδαναπάλῳ."

—— B, 28. = C. 6, 3. p. 206. Παιδιὰν λέγει, τὴν τρυφὴν καὶ δυναστείαν.

Τὴν θεωρητόν.

Τὰ γὰρ ἄριστα καὶ κρείττονα ἄρχει, καὶ ἡγεῖται τῶν ὑποδεεστέρων.

—— A, 21. = C. 7, 2. p. 208. Θεωρεῖν τὲ γὰρ δυνάμεσθα ἀνεμποδίστως ἢ πράττειν· ἐν μὲν γὰρ τῷ πράττειν κατὰ τὰς ἠθικὰς ἀρετὰς ὀργάνων δεόμεθα· οἷον, ὁ ἐλευθέρος δέεται χρημάτων πρὸς τὸ ἐνεργεῖν· καὶ τῶν πρὸς οὓς προήσεται τὰ χρήματα· ὡσαύτως δὲ καὶ ὁ ἀνδρεῖος χρῄζει καιροῦ ἀνάγκης καὶ πολιορκίας, καθ' ὃν τὴν οἰκείαν ἀρετὴν ἐπιδείξεται, προκινδυνεύων τῆς πατρίδος· ταῦτα δ' ἀεὶ οὐκ εἰσὶν, ἀλλὰ καὶ τὰ χρήματα ποτὲ ἐπιλείπει· καὶ ἀεὶ οὐκ ἔστι πολιορκία· διὸ οὐδὲ συνεχῶς δυνάμεθα κατ' αὐτὰς ἐνεργεῖν· κατὰ νοῦν δὲ ἐνεργεῖν συνεχῶς οὐδὲν ἐμποδίζει· ἐν γὰρ τῷ θεωρεῖν οὐ δεόμεσθα ὀργάνων τοιούτων οἵων εἴπομεν· ἀλλ' ἀμέσως ἐνεργοῦμεν.

Ἀλλὰ καὶ οἱ τὸ τέλος φθάσαντες τῶν ἔτι ἀγνοούντων τὸ τέλος

Digitized by Google

καὶ ζητούντων αὐτὸ, ἡδίω τὴν διαγωγὴν ἔχουσιν[1]. τοιοῦτοι δ' ἂν εἶεν οἱ θεωρητικοὶ φιλόσοφοι.

Ἀπὸ μὲν τῆς τεκτονικῆς καὶ τῆς κατ' αὐτὴν ἐνεργείας κατασκευάζεται κιβώτιον, ἢ ἄλλό τι σκεῦος· ὡς εἶναι ἕτεραν αὐτῆς τὴν ἐνέργειαν, καὶ ἄλλο τὸ τέλος· οἷον, τὸ κατασκευασθὲν ὑπὸ τοῦ τέκτονος εἶδος· ἐν δὲ τῇ θεωρητικῇ φιλοσοφίᾳ οὐκ ἔστιν ἄλλη ἡ ἐνέργεια, καὶ ἄλλο τὸ τέλος· ἀλλ' αὐτὴ ἡ θεωρία ἐστὶ τὸ τέλος αὐτῆς.

Ὁ γὰρ κυρίως εὐδαίμων ὑπὲρ ἄνθρωπον ζῇν, τῶν σωματικῶν πασῶν ἡδονῶν καταφρονῶν, καὶ σχολάζων ἀεὶ ταῖς κατὰ νοῦν θεωρίαις, καὶ ἐνηδόμενος αὐταῖς.

Κέντρῳ γὰρ αὐτὸν κύκλου ἀπεικάζει ὁ φιλόσοφος.

1178. A, 14. = C. 8, 2. p. 210. Τὰ πλείω δὲ τῶν ἠθικῶν, συμβαίνειν ἀπὸ τοῦ σώματος δοκεῖ· οἷον, ἀνδρεία ἀπὸ τοῦ θυμικοῦ· ὁ δὲ θυμὸς ζέσις ἐστὶ τοῦ περὶ καρδίαν αἵματος· ἡ δὲ καρδία σῶμα· ὥστε καλῶς εἴρηται, ὅτι ἀπὸ τοῦ σώματος συμβαίνειν δοκεῖ· ὡσαύτως δὲ καὶ ἡ σωφροσύνη ἀπὸ τοῦ ἐπιθυμικοῦ.

Τῶν ἀρετῶν αἱ μὲν εἰσὶν ἠθικαί· αἱ δὲ τῆς διανοίας, οἷον ἡ φρόνησις, ἡ σύνεσις· δέονται οὖν ἀλλήλων· οἷον αἱ ἠθικαὶ ἀρεταὶ τῶν ἀρετῶν τῆς διανοίας τῶν ἠθικῶν, καὶ συνιστῶσιν ἀλλήλων· οἷον, φέρε εἰπεῖν· χρῄζει ἡ φρόνησις τῆς σωφροσύνης ἠθικῆς οὔσης, ἵνα ἡ νοερὰ εὐδαιμονία, ἡ καὶ κυρίως λεγομένη, πρῶτον ἐθισθῇ ὁ ἄνθρωπος ἐν αὐτῇ· εἶτα καὶ ἡ σωφροσύνη χρῄζει τῆς φρονήσεως, ἐπειδὴ γὰρ μεσότητός εἰσιν ἀρεταί. καὶ σώφρων ἀρεταῖς, ὁ μήτε πασῶν ἡττόμενος ἡδονῶν, μήτε πασῶν καταφρονῶν. ἡ φρόνησις εὑρίσκει, τίνων ἡδονῶν δεῖ ἀπέχεσθαι, καὶ τίνων ἔχεσθαι· ὥστε αἱ μὲν ἠθικαὶ ἀρεταὶ εὑρίσκουσι τὸ τέλος· τὸ δὲ πρὸς τὸ τέλος, αἱ διανοητικαὶ, καὶ συζεύγνυνται ἀλλήλαις, μὴ διαρούμεναι.

—— A, 29. = C. 8, 5. p. 211. Τοῦτο λέγει, ὅτι ἡ ἀρετὴ χρῄζει καὶ τῆς πράξεως· ἤγουν τοῦ ἐνεργεῖν κατ' αὐτὴν τὸν ταύτην ἔχοντα, καὶ τοῦ προαιρεῖσθαι αὐτὴν καὶ ἀποδέχεσθαι. τὸ γὰρ, καὶ μὴ βουλόμενόν τινα σωφρονεῖν, οὐκ ἔστιν ἀρετή· εἶτα ζητεῖ ποῖόν ἐστι κυριώτερον, ἡ προαίρεσις, ἢ αἱ πράξεις· καὶ λέγει, ὅτι ἀμφοτέρων ἡ χρεία.

[1] Cod. ἔχουσαν.

Digitized by Google

1178. B, 30. = C. 8, 8. p. 212. Τὸ "οὐ κατὰ συμβεβηκὸς" προσέθηκε διὰ τὴν πολιτικὴν εὐδαιμονίαν· ὁ γὰρ πολιτικὸς εὐεργετῶν, ἢ νομοθετῶν, ἢ ἄλλως δικαιοπραγῶν, εὐδαιμονίζεται ὑπὸ τῶν τῆς ἰδίας ἀρετῆς παραπολαυόντων, οὐκ ὢν κυρίως εὐδαίμων.

Οὐδὲ ἡ κρίσις ἢ ἡ πρᾶξις τοῦ καλοῦ πολλῶν δέεται. 5

Τουτέστι τοῖς λεχθεῖσι, τὸ δ' ἀληθὲς ἐκ τῶν πραγμάτων αὐτῶν δείκνυται.

—— A, 31. ὥστε καὶ οὕτως.

1180. A, 4. ἐπεὶ οὖν οὕτως ἔχει.

—— A, 15. γρ. καὶ δοκεῖ. 10

—— A, 18. νοῦν νομικὸν δηλαδὴ ἢ τὸν τῆς φρονήσεως.

—— B, 10. = C. 10, 15. p. 216. πυκτικὸν λέγει τὸν προεστῶτα τοῦ τοιούτου ἀγῶνος.

—— B, 30. Ὅτι οἱ πολιτικοί, φησι, διδάσκουσι περὶ νομοθετικῆς. 15

—— B, 35. = C. 10, 18. p. 217. Τοῦτο λέγει, ὅτι οἱ μὲν πολιτικοὶ διδάσκουσι περὶ νομοθετικῆς· οἱ δὲ σοφισταὶ ἐπαγγέλλονται μέν, οὐ πράττουσι δέ.

1181. A, 24. Ἃ γὰρ πράττουσιν οἱ πολιτικοὶ, ταῦτα οἱ νόμοι διορίζονται. 20

1096. B, 5. = Lib. i. C. 4, 1. p. 6. [1] Ἀσυνάρμοστον μὲν πρὸς τὸ τῶν Πλατωνικῶν τὸ παρὸν φαίνεται· πλὴν ἴσθι ὅτι τὰς ἰδέας δογματίζων ὁ Πλάτων, τὸ ἓν ἐτίμα παρὰ τὰ πολλὰ, ἄλλο τι λέγων εἶναι τὸ τούτων συνεκτικὸν, δηλαδὴ τὸ ἕν. πρὸς γοῦν τοῦτο τὸ τιμᾶν τὸ ἓν, τί σοι χρεία ἰδεῶν; κρεῖττον γὰρ ἐποίουν οἱ 25 Πυθαγόρειοι τὰς συστοιχίας ποιοῦντες τῶν τε ἀγαθῶν καὶ τῶν οὐκ ἀγαθῶν, καὶ ἐν τῇ ἀγαθῶν τάξει τὸ ἓν τάττοντες, καὶ οὕτω τιμῶντες αὐτό.

1199. A, 9. Οὕτως δοκεῖ τῷ Ἀριστοτέλει συνᾴδειν τὸν λόγον αὐτοῦ ταῖς δόξαις τῶν παλαιῶν· οἱ μὲν γὰρ εὐδαιμονίαν εἶπον 30 πᾶσαν ἀρετὴν ἢ μίαν τούτων. ὁ δὲ εἶπεν, εὐδαιμονία ἐστὶ ψυχῆς ἐνέργεια κατ' ἀρετήν· κατασκευάζων οὖν πῶς συνᾴδει ταῖς δόξαις

[1] Quæ sequuntur Scholia, diversa et recentiori manu adscripta sunt. Videntur plerumque ex Eustratio desumpta.

Digitized by Google

τῶν παλαιῶν ὁ οἰκεῖος λόγος, φησὶ, ταύτης γὰρ τῆς ψυχῆς δηλαδή ἐστιν ἡ κατ' αὐτὴν, ἤγουν τὴν ἀρετὴν, ἐνέργεια· καὶ γὰρ καὶ ἡ ἀρετὴ ψυχῆς ἐστιν ἐνέργεια, καὶ ἡ τῆς ψυχῆς κατ' ἀρετὴν ἐνέργεια ἀρετή ἐστιν.

5 1112. A, 11. = L. i. C. 8, 2. p. 12. Περὶ τούτων ἀμφισβητήσειεν ἄν τις· οὐ γὰρ πάντες προαιροῦνται ἃ μὲν ἴσασιν ἀγαθὰ, ἀλλ' ἔνιοι ἠπάτηνται· οἱ γοῦν κακοὶ οὐκ ἴσασι κακὰ ἃ προαιροῦνται· ἆρ' οὖν τὸ λεγόμενον ἐστὶν, ὅτι οἱ ἄνθρωποι ἃ οἴονται μάλιστα εἰδέναι ἀγαθὰ ὄντα, ταῦτα προαιροῦνται, δοξάζουσι δὲ ἃ οὐ πάνυ
10 ἴσασι· περὶ πολλῶν γοῦν δόξας ἔχουσιν ἄνθρωποι, ὁμολογοῦντες μὴ ἀκριβῶς εἰδέναι. καὶ φαμὲν δοξάζειν μέχρι νῦν οὕτως, καὶ ἂν ἄλλως φανῇ, μεταθήσειν τὴν δόξαν.

1114. A, 12. Ἐνταῦθα ἄδικον καὶ ἀκόλαστον φησὶν οὐχὶ τὸν ἄκοντα καὶ ἀγνοοῦντα ποιοῦντα τί τούτων, ἀλλὰ τὸν ἑκουσίως κα-
15 κουργοῦντα· καὶ ἀκολασταίνοντα τὸν ἑκουσίως τοῦτο δρῶντα.

1115. A, 24. = L. iii. C. 9, 10. p. 53. Ὁ μὲν γὰρ ἀφόβως ἔχων πρὸς θάνατον ἐκ πολλοῦ προσδοκωμένου, οὐδὲν ἴσως πράττει μέγα· ἐκλύεται γὰρ πρὸς τὸ δέος τῷ χρόνῳ· ὁ δὲ πρὸς τὸν ἐξ ὑπογυίου θάνατον ἀδεῶς ἔχων τοῦ καλοῦ χάριν, ἀφ' ἕξεως ἔχει τὴν
20 ἀφοβίαν. προηγουμένως μὲν οὖν ὁ ἀνδρεῖος πρὸς τὸν καλὸν θάνατον ἀδεῶς ἔχει· ἕπεται δὲ αὐτῷ τὸ καὶ ἐν θανάτῳ καὶ ἐν νόσοις ἀδεὴς εἶναι, διὰ τὴν τῆς ψυχῆς παρασκευήν. Κατὰ ταῦτα λέγεται ἀνδρεῖος ὁ ἐν θανάτῳ ἀδεής· οὐ γὰρ κατὰ τὴν αὐτὴν αἰτίαν ἄφοβός ἐστι, δι' ἣν οἱ θαλάττιοι.

25 —— B, 31. = L. iii. C. 10, 9. p. 54. Ἐν οἷς οὖν δύναται, μιμεῖται τὸν ἀνδρεῖον ἁμαρτάνων· θρασύνεται γὰρ πρὸ τῶν δεινῶν, ἐν δ' αὐτοῖς γενόμενος οὐχ ὑπομένει.

Παράδειγμα δὲ τῶν τοιούτων, καὶ Ὅμηρος πεποίηκε τοὺς βαρβάρους εἰπὼν

30 κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν·

θρασυνομένων γὰρ ὁ πρὸ καιροῦ θόρυβος· οἱ δ' ἀνδρεῖοι πρὸ τῶν δεινῶν ἡσύχιοι ὄντες, ὅταν ἐν τοῖς δεινοῖς γένωνται, τὸ θάρρος ἐνδείκνυνται· παράδειγμα δὲ τούτων οἱ Ἕλληνες,

οἱ δ' ἄρ' ἴσαν σιγῇ μένεα πνείοντες.

35 1116. B, 19. = L. iii. C. 11, 9. p. 56. Τόπος ἐν Κορωνείᾳ

Digitized by Google

τῆς Βοιωτίας ὁ Ἑρμαῖος λεγόμενος, ὃς μόνος πεδινός ἐστιν ἐν αὐτῇ, τῶν ἄλλων ἀνωμάλων ὄντων· ἐν ᾧ παρατεταγμένων ποτὲ Κορωναίων[1], σὺν τοῖς βοηθήσασιν αὐτοῖς στρατιώταις εἰς μετατοίχιον[2] μετὰ τῶν Βοιωταρχῶν· ὅτε τὴν πόλιν κατέλαβεν καὶ τὴν ἀκρόπολιν εἶχεν καθ' αὐτὸν Ὀνόμαρχος Φωκεὺς προδοθεῖσαν αὐτοῖς· αὐτοὶ μὲν μείναντες ἀπέθανον ὑπὸ τῶν ἀμφὶ τὸν Ὀνόμαρχον ἀποκλείσαντες τὰς πύλας, ἵνα αὐτοῖς μηδὲ βουληθεῖσιν ἐξῇ φυγεῖν καὶ καταλιπεῖν τὴν πατρίδα· οἱ δὲ τῶν Βοιωτῶν βοηθήσαντες αὐτοῖς στρατιῶται πρῶτα ἐκ τοῦ μετατοίχου ἔφυγον εὐθὺς ἐν ἀρχῇ τῆς μάχης, αἰσθόμενοι ἕνα τεθνηκότα τῶν Βοιωταρχῶν, Χάρωνα.

1120. A, 16. = L. iv. C. 1, 7. p. 65. Ἔτι ἡ ἀρετὴ ἐν τῷ χαλεπωτέρῳ καὶ δυσκολωτέρῳ. ἔστι δὲ χαλεπώτερον τὸ προΐεσθαι τὸ οἰκεῖον τοῦ μὴ λαμβάνειν τὸ ἀλλότριον, ὥστε ἡ ἐλευθεριότης φαίνεται μᾶλλον περὶ τὴν δόσιν ἢ περὶ τὸ μὴ λαμβάνειν.

Οἱ μὲν γὰρ δίκαιοι ἐνίοτε φθονοῦνται καὶ οἱ φρόνιμοι καὶ οἱ σοφοί· καὶ τοὺς σώφρονας δὲ ἔνιοι φορτικὸν νομίζουσι καὶ προσποιητικόν· οἱ δὲ ἐλευθέριοι διαφερόντως φιλοῦνται· χαίρουσι γὰρ οἱ ἄνθρωποι λαμβάνοντες, διὸ καὶ τοὺς ἐπὶ πλέον δαπανηροὺς, καίπερ οὐκ ὄντας ἐλευθερίους, ὅμως φιλοῦσι, διότι ὅμοιόν τι ἔχουσι τοῖς ἐλευθερίοις.

1121. A, 30. = L. iv. C. 3, 29. p. 68. Οἱ πολλοὶ οὐκ ἔχουσι ἄμφω τὰ εἰρημένα, λέγω δὲ τό τε διδόναι καὶ μὴ λαμβάνειν, ἀλλὰ συμφέρουσι καὶ μιγνύουσιν εἰς ταυτὸν ἀσωτίαν καὶ ἀνελευθερίαν· λαμβάνουσι γὰρ ὅθεν μὴ δεῖ συνεχῶς, ἵνα ἀναλίσκειν ἔχωσιν εὐχερῶς· ἅμα δὲ καὶ τοῦ καλοῦ μηδὲν φροντίζοντες οὐκ ὀκνοῦσιν αἰσχρῶς πορίζειν, διόπερ οὐδ' ἐλευθέρια αὐτῶν αἱ δόσεις· οὔτε γὰρ τοῦ καλοῦ ἕνεκα διδόασι, ὥσπερ σκοπός ἐστι πᾶσι τοῖς ἐναρέτοις, οὔτε οὓς δεῖ εὐποιοῦσιν· ἀλλὰ τοὺς κόλακας ἢ τοὺς ἄλλην τινὰ ἡδονὴν πορίζοντας· διὸ οἱ πολλοὶ αὐτῶν ἀκόλαστοί εἰσι, τὸ δαπανηρὸν αὐτῶν ἐπάγοντες εἰς τὰς ἡδονάς.

—— B, 4. Οἱ γὰρ ἀσθενέστεροι τὰ σώματα καὶ ἀδύνατοι τὰ πολλὰ καὶ ἀνελεύθεροι γίνονται, διὰ τὸ νομίζειν πολλῶν δεῖσθαι ἔτι δὲ καὶ διὰ τὸ νομίζειν συμφυεστέραν εἶναι τοῖς ἀνθρώποις τὴν ἀνελευθεριότητα, δυσιατώτερόν ἐστιν· ἐλέχθη γὰρ ὅτι ἐφ' ἃ ἀπο-

[1] Cod. κορώνων. [2] μετατοι χ Cod.

κλίνομεν οἱ ἄνθρωποι, καὶ πρὸς ἅπερ ἁλώσιμοι ἐσμὲν, ταῦτα δυσίατα. ἀποκλίνουσι δὲ οἱ πλεῖστοι ἐπὶ φιλοχρηματίαν μᾶλλον.

1122. A, 34. *Ἡ ἐπιστήμονα λέγει τὸν τεχνίτην· παντὸς γὰρ τεχνίτου τί πρέπον θεωρῆσαι ἑκάστου ἔργου· οἷον, σκυτοτόμου τὸ
5 ποδὶ ἁρμόσαι ὑπόδημα, καὶ ἄλλου ἄλλο.

1123. B, 30. = L. iv. C. 7, 16. p. 77. Ὥσπερ γὰρ ἐλέγομεν, ἑκάστη μὲν ἀρετὴ εἰδοποιεῖται τοῖς ὑποκειμένοις αὐτῇ· τὸ δὲ μεγέθος ἑκάστῃ ἐπιθετέον ἐν τῇ μεγαλοψυχίᾳ· μεγέθος γάρ τι τῇ ψυχῇ παραγίνεται σὺν τῇ ἕξει ταύτῃ· αὕτη δὲ παραγίνεται τε-
10 λειωθεισῶν τῶν ἀρετῶν πασῶν· καὶ προελθὼν λέγει κόσμον τινὰ εἶναι τῶν ἀρετῶν τὴν μεγαλοψυχίαν· μείζους γὰρ αὐτὰς ποιεῖ· πῶς δὲ μείζους, διότι μέγεθός τι προσγίνεται τῇ ψυχῇ τῶν ἐναρέτων, καὶ ἐφ' ἑκάστῃ λοιπὸν μέγα φρονεῖ ὁ σπουδαῖος, θεωρῶν τὴν ὑγείαν καὶ τὸ κάλλος αὐτοῦ τῆς ψυχῆς. διὰ τοῦτο χαλεπὸν τῇ
15 ἀληθείᾳ μεγαλόψυχον εἶναι· δεῖ γὰρ τὴν τελείαν ἔχειν καὶ καλοκαγαθίαν, τοῦτο δὲ χαλεπόν.

1124. A, 15. = L. iv. C. 7, 18. p. 75. Ὁ γὰρ εἰθισμένος τῶν μεγίστων αὐτὸν ἀξιοῦν, τῶν ἄλλων ἀγαθῶν καὶ κακῶν κρείττων ἐστιν· οἷον πλούτου, πενίας, δόξης, ἀδοξίας· ἁπλῶς τῶν περὶ
20 τὸ σῶμα καὶ ἐκτὸς ἀγαθῶν καὶ κακῶν· μάλιστα γὰρ ἀγαθὰ ἡγεῖται τὰ περὶ ψυχὴν, ὧν ὑπαρχόντων αὐτῷ, ὑπ' οὐδενὸς αὐτῶν οὔτ' ἐπαίρεται, οὔτε καταπίπτει· οὐδὲ γὰρ πρὸς τὴν τιμὴν οὕτως ἔχει, ὥστε ἐξεπάχθεσθαι ὑπ' αὐτῆς· ἀλλὰ τῆς μὲν παρὰ τῶν πολλῶν καὶ παντελῶς καταφρονεῖ, τὴν δὲ παρὰ τῶν σπουδαίων ἀποδέ-
25 χεται μὲν εἰ γένοιτο, γινομένην δὲ, οὐ διὰ τοῦτο λανθάνει μὴ συμβαίνειν.

Δύναται[3] δὲ ἐν τῷ καταφρονεῖν τῶν πολλῶν, οὐκ ἐν τῷ κατ' ἀρετὴν πράττειν· καταφρονεῖ δὲ τῶν πολλῶν, οὐχ ὥστε ὑβρίζειν, ἀλλ' ὥστε μὴ θαυμάζειν τὰς παρ' αὐτῶν τιμάς.

30 —— B, 16. = L. iv. C. 7, 26. p. 76. Τῶν Θηβαίων εἰσβαλόντων[4] εἰς τὴν Λακωνικὴν, ἀπέστειλαν πρέσβεις οἱ Λάκωνες πρὸς Ἀθηναίους, ζητοῦντες συμμαχίαν· οἳ καταστάντες ἐν ταῖς Ἀθήναις, τὰ μὲν παρ' αὐτῶν τοῖς Ἀθηναίοις γενόμενα ἀγαθὰ, οὐ λέγουσιν, ἵνα μὴ δόξωσιν ὀνειδίζειν, ἃ δὲ ἔπαθον ὑπ' Ἀθηναίων

3 Cod. δύνανται. 4 εἰσβάντων.

Digitized by Google

καλὰ, ἀναμιμνησκόμενοι φράζουσι, προτρέποντες καὶ πάλιν τὰ ὅμοια παθεῖν.

1125. A, 11. = L. iv. C. 7, 32. p. 77. Ἀναγκαῖα ἐστὶ τὰ εἰς ἀναγκαίας χρείας τείνοντα· οὐκ ὀδυρεῖται δὲ τούτων στερούμενος, ἀλλ' οἴσει μετρίως· ὅθεν οὐ δεήσει ῥαδίως ὥστε τυγχάνειν αὐτῶν· τὸ γὰρ ὀλοφύρεσθαι περὶ τούτων ἢ δεῖσθαι ῥαδίως τοῦ σπουδάζοντος περὶ αὐτὰ καὶ ἡγουμένου μέγα ἀγαθὸν εἶναι τὴν κτῆσιν αὐτῶν· ὁ δὲ περιποιήσεται μὲν αὐτῷ τὰ ἀναγκαῖα ἀλλ' οὐ μετὰ μεγάλης σπουδῆς, ἀλλ' ἀποθανεῖν μᾶλλον αἱρήσεται ἢ αἰσχρῶς εὐπορεῖν αὐτῶν.

—— B, 26. = L. iv. C. 11, 1. p. 79. Ἦν μὲν γὰρ τὸ ὄνομα τῆς πραότητος καὶ τοῦ πράου παρὰ τοῖς πρὸ αὐτοῦ φιλοσόφοις, ἀλλ' ἐπὶ τὸν ἡσύχιον καὶ ἀόργητον . . . . . τοῦτο τὸ ὄνομα, τὸν δὲ ὅτε δεῖ, καὶ ὡς δεῖ τῇ ὀργῇ χρωμένον[5] οὐ πάνυ τι πρᾷον ὠνόμαζον· ἀλλ' ὁ Πλάτων πρᾷον ἅμα καὶ μ . . . . . ἠξίου λέγειν. ἐν γὰρ ταῖς κ. τ. λ. vix legi potest.

1126. A, 25. = L. iv. C. 11, 9. p. 80. Οὗτοι ἐναντίοι εἰσὶ τοῖς ἰδίως καλουμένοις ὀργίλοις καὶ ἀκροχόλοις, ὥστε οὐ ῥάδιον ἅμα ἄμφω ἐν τοῖς αὐτοῖς γίνεσθαι ὅπερ εἶπεν. οἱ δὲ χαλεποὶ τὰ μὲν ἄλλα ἐοίκασι τοῖς πικροῖσι, ἐπὶ πολὺ γὰρ καὶ αὐτοὶ φυλάσσουσι τὴν ὀργὴν, καὶ τιμωροῦνται χαλεπῶς, καὶ δυσδιάλλακτοί εἰσι· διαφέρουσι δὲ ὅτι φανερωτέραν ἔχουσι τὴν ὀργήν.

1127. B, 28. = L. iv. C. 13, 15. p. 85. Φασὶ δὲ καὶ τοὺς Λακεδαιμονίους τῇ σφόδρα εὐτελείᾳ τῆς ἐσθῆτος ἀλαζονεύεσθαι. καὶ γὰρ εἰς τὸ πέρα τοῦ δέοντος εὐτελὲς ἄγαν, ἀλαζονικόν. μέχρι γὰρ τῶν γονάτων καὶ τῶν ἀγκώνων διήκουσα ἦν.

1131. B, 5. = L. v. C. 6, 11. p. 94. Ἐναλλὰξ κατὰ τοὺς γεωμέτρας ἐστὶ λόγος, λῆψις τοῦ ἡγουμένου ὡς ἑπόμενον πρὸς τὸ ἡγούμενον, καὶ τοῦ ἑπομένου ὡς ἡγούμενον πρὸς τὸ ἑπόμενον.

—— B, 25. = L. v. C. 7, 1. p. 91. Ἰστέον ὅτι συναλλάγματα οἱ παλαιοὶ ἐκάλουν, οὐ μόνον ἃ ἑκόντες συνετίθεντο πρὸς ἀλλήλους ποιεῖν, ἀλλὰ καὶ τὰ ὑπὸ τῶν νόμων διηγορευμένα τε καὶ κελευόμενα χρῆζειν τε καὶ συναλλάσσειν. καὶ τάχα δὲ κατὰ τοῦτο συναλλάγματα λέγεται, καθὸ πρὸς ἕτερον ἔχει τὴν ὕπαρξιν οὐ

[5] Cod. χρωμένοις.

Digitized by Google

κατὰ τὸ ἑκούσιον· οὐδεὶς γὰρ μοιχεύει κατὰ συνάλλαγμα τοῦ τῆς μοιχευομένης ἀνδρὸς, οὐδ' ὁ ἱεροσυλῶν ἱεροσυλεῖ κατὰ συνάλλαγμα, ἢ ὁ ὑβρίζων ὑβρίζει.

1134. A.=L. v. C. 10, 7. p. 103. Τὸ μὲν γὰρ καθόλου καὶ ὡρισμένον καὶ τεταγμένον τῷ λόγῳ· οἷον τὸ μὴ κλέψῃς ἄδικον ἐστὶν, ὅταν δὲ ἐν πράξει πρός τινος γένηται, ἀδίκημα ἐστὶν ὂν ἐν τοῖς καθέκαστα. ὁμοίως δὲ δίκαιον τὸ καθόλου καὶ ὡρισμένον, δικαίωμα δὲ, ὅταν πραχθῇ.

Ἐπεὶ τὸ ἀδικεῖν ἅπαν ἑκάστου, καὶ τὸ δικαιοπραγεῖν ἅπαν ὡσαύτως, ὁμοίως ἀδικεῖσθαι δεῖ περὶ ἑκάτερον τούτων, τό τε ἀδικεῖσθαι καὶ τὸ δικαιοῦσθαι. ἢ γὰρ ἑκάτερον τούτων ἅπαν ἑκούσιον ἐστὶν, ἢ ἅπαν ἀκούσιον· ἢ τὸ μὲν ἑκούσιον τὸ δ' ἀκούσιον. οὕτω γὰρ ἔχει τὸ πλῆρες τῆς διαιρέσεως. οὕτως οὖν ἀπορήσας πρὸς ἑκάτερον, λύει παρακατιὼν ἐπαπορῶν καὶ ἐπ' αὐταῖς ταῖς * * * * καὶ λέγει, ὅτι ὥσπερ ἐπὶ τοῦ ἀδικεῖν καὶ δικαιοπραγεῖν ἐστὶ τὸ μέν τι καθ' αὑτὸ, τὸ δὲ κατὰ συμβεβηκὸς, οὕτω δὴ καὶ τὸ ἀδικεῖσθαι καὶ δικαιοῦσθαι, τὸ μὲν καθ' αὑτὸ, τὸ δὲ κατὰ συμβεβηκός. ὡς γὰρ ἐπὶ τοῦ ποιεῖν, οὕτω καὶ ἐπὶ τοῦ πάσχειν. ὡς γὰρ ποιεῖ τὸ ποιοῦν, οὕτω πάσχει τὸ πάσχον· ἑκάτερον γὰρ τῶν πρός τι. ὥστε εἰ ἔστιν ἄρα τό τε ἀδικεῖν καὶ τὸ δικαιοπραγεῖν, τὸ μὲν ἑκούσιον καθ' αὑτὸ, τὸ δ' ἀκούσιον καὶ κατὰ συμβεβηκός. καὶ ἡ μὲν ὅλη τοῦ τοιούτου θεωρήματος ἀγωγὴ τοιαύτη. τὰ δὲ παραδείγματα ἐξ αὐτῆς ἀναλεκτέον τῆς Ἀριστοτέλους λέξεως.

L. v. C. 14, 7. p. 110. ἀόριστος καὶ ὁ κάνων ἐστιν] Τὸ δὲ τῶν ἀορίστων τοὺς κανόνας ἀορίστως ἔχειν, καὶ συμμεταβάλλειν τοῖς ὁριζομένοις, σημείωσιν παρέθετο τὸν μολίβδινον κανόνα τῆς Λεσβίας οἰκοδομῆς. οὐ γὰρ ἐκ λείων λίθων καὶ ἴσως συντεθειμένων καὶ ἀπηυθισμένων ἡ καλουμένη Λέσβιος οἰκοδομὴ ᾠκοδόμητο. Λεσβία δὲ λέγεται οἰκοδομὴ, ὅτι ἐκείνοις ἦν σύνηθες[2] τοῦτο εἰσοχὴν καὶ ἐξοχὴν ἔχοντας τοὺς λίθους ᾠκοδόμουν. ὡς οὖν ἐκεῖνος ὁ μολίβδινος κανὼν ἐσχηματίζετο ταῖς τῶν οἰκοδομουμένων λίθων ἀνωμαλίαις, οὕτω δὴ καὶ τὰ ψηφίσματα ταῖς τῶν πραγμάτων ἄλλοτε ἄλλως χρείαις συμμεταβάλλεται.

[2] σύνεθες Cod.

Digitized by Google

Ad fin. lib. vi. Τὸ λογικὸν διττῶς λαμβάνεται ἐν τῷ ἀνθρώπῳ· τὸ μὲν ὡς λόγον ἔχον καὶ χρώμενον, τὸ δὲ ὡς λόγῳ ἐπιπειθὲς, ἅτε μὴ ἔχον αὐτὸ λόγον οἰκεῖον, καὶ διὰ τοῦτο οὐδὲ χρῆσθαι λόγῳ δυνάμενον. πῶς γὰρ τὸ χεῖρον τῷ κρείττονι χρήσεται, καὶ διὰ τοῦτο οὐ λογικὸν καὶ ἄλογον ὁ ἄνθρωπος λέγεται, ἀλλ' ἁπλῶς λογικόν· τὸ μὲν κατὰ θατέρου τῶν τρόπων, τὸ δὲ κατὰ θατέρου.

ἀρετή ἐστι τέχνης] Καθόσον τοῦ ἀκριβοῦς ἐφάπτεται ἐν τῷ ὑποκειμένῳ αὐτῇ πράγματι, ἀνδριάντα, φέρε, ποιοῦσα, ἢ οἰκίαν ἢ τοιοῦτόν τι τεχνητόν.

Ἤτοι οὐ κατὰ τήνδε ἢ τήνδε τὴν ὕλην, ἀλλ' ἁπλῶς καὶ καθόλου.

L. vi. C. 10, 1. p. 123. περὶ τὰ αὐτὰ τῇ μὲν φρόνησει] Ἡ φρόνησις καὶ ἡ σύνεσις καὶ κατὰ χρόνον διαφέρουσιν· ἡ μὲν γὰρ πρὸ τῆς πράξεως καὶ τοῦ τέλους ἡ φρόνησις, ἡ δὲ μετὰ τὴν πρᾶξιν καὶ τὸ τέλος.

L. vi. C. 13, 1. p. 126. τῶν ἠθῶν ὑπάρχειν] Ὅτι, φησὶν, ἄλλη ἐστὶν ἡ φυσικὴ ἀρετὴ, καὶ ἄλλη ἡ κυρία, δῆλον ἐκ τῆς κοινῆς ὑπολήψεως τῶν πολλῶν. Πᾶσι γὰρ δοκεῖ ἕκαστα τῶν ἠθῶν ὑπάρχειν φύσει πῶς. ἤθη δὲ λέγομεν τὰ ἐκ φύσεως ἑπόμενα ταῖς ψυχαῖς ἰδιώματα· οὐ μόνον ἐπὶ τῶν λογικῶν ἀλλὰ καὶ τῶν ἀλόγων ζώων.

L. vii. C. 3, 10. p. 131. ὅταν τὸ ὕδωρ πνίγῃ] Λέγεται αὕτη ἡ παροιμία ἐπὶ τῶν ἀνθρώπων τῶν βλαπτομένων ἀφ' ὧν οἴονται ὠφεληθῆναι. εἰ γὰρ ἀπὸ τῶν ὠφελίμων πραγμάτων βλάπτονται, τί ἂν οὗτοι πάθωσιν ὑπὸ τῶν μὴ δυναμένων ὠφελεῖν πραγμάτων ἀλλὰ βλάπτειν;

L. vii. C. 5, 14. p. 134. Σωκράτης συμβαίνειν] Ὁ γὰρ Σωκράτης ἔλεγε, ἀδύνατον εἶναι τινὰ ἔχοντα ἐπιστήμην περισφάλλεσθαι κατὰ τὴν οἰκείαν ἐπιστήμην ἣν ἔχει, τοῦτο συμβαίνει κἀνταῦθα. ὁ γὰρ ἀκρατὴς οὐ σφάλλεται περὶ τὰ καθόλου, ὧν καὶ τὴν ἐπιστήμην ἔχει, ἀλλὰ περὶ τὰ μερικὰ, ὧν οὐκ ἔστιν ἐπιστήμη. οὐ γὰρ τῆς ἐπιστήμης παρούσης, ἣ κυρίως πάντων ἐστὶ καὶ κρατοῦσα, γίνεται τὸ πάθος, ἤτοι ἡττᾶται ὁ ἀκρατὴς ὑπὸ τοῦ πάθους· οὐδὲ ἡ αὐτὴ ἐπιστήμη ἕλκεται καὶ σύρεται ὑπὸ τῆς ἐπιθυμίας, ἀλλ' ἡ αἰσθητικὴ, ἤτοι ἡ μερικὴ δόξα, ἡττᾶται ὑπὸ τῆς ἐπιθυμίας.

Digitized by Google

περὶ γὰρ ταύτην σφάλλεται ὁ ἀκρατὴς, καὶ ταύτης τῆς μερικῆς δόξης κρατούσης, ἡττᾶται ὑπὸ τοῦ πάθους. τὸν γὰρ λόγον τὸν καθόλου λέγει μόνον, καὶ τῷ ἀέρι διαλύεται.

1148. A, 34.=L. vii. C. 4, 5. p. 136. [3] "Ὁ γὰρ Σάτυρος
5 "τεθνηκότι τῷ πατρὶ ἀποκαρτερήσας ἀπέθανε." [4] Ἐρῶν γὰρ κόρης τινὸς, καὶ πρὸς τὴν μοιχείαν τὸν πατέρα εὑρὼν συνεργοῦντα, τοσοῦτον ἔκτοτε τὸν πατέρα ἐφίλησεν, ὥστε καὶ τοῦ πατρὸς τελευτήσαντος, ἑαυτὸν κατεκρήμνισε.

Ὁ τὴν μητέρα καθιερήσας καὶ φαγὼν] Ὁ Ξέρξης μανείς.

10 1148. B.=L. vii. C. 6, 3. p. 141. Ὁ μελαγχολικὸς χυμὸς κεκαυμένον ἐστὶν αἷμα, ὃ ταυτόν πως ἐστὶ τῷ ἐσβεσμένῳ ἄνθρακι, ὃν κάρβονον ὀνομάζουσιν· ἐφ' ᾧ καὶ οἱ τὸν τοιοῦτον χυμὸν πλεονάζοντα ἔχοντες, ὁμοίως τούτῳ ὀρέγονται, ὥσπερ καὶ οἱ ὀξώδους χυμοῦ πλήρεις τῶν ὀξέων.

15 1150. B, 9.=L. vii. C. 8, 6. p. 141. Θεοδέκτης τραγικὸς ἦν, καὶ παράγει τὴν χεῖρα δεδηγμένον τὸν Φιλοκτήτην ὑπὸ ὄφεως, καὶ μέχρι μὲν πολλοῦ, ἀντέτεινε πρὸς τὰς λύπας καὶ τοὺς πόνους, ὕστερον δὲ ἡττήθη καὶ ἐβόα, κόψατε τὴν ἐμὴν χεῖρα. οὗτος οὖν οὐ ῥηθήσεται μαλακὸς, διότι ἡττήθη ὑπὸ τῶν λυπῶν.
20 μεγάλαι γὰρ ἦσαν αὗται· ἀλλὰ συγγνωμονικόν ἐστι. καὶ ὁ Καρκῖνος τραγικὸς ἦν. ὁ δὲ Κερκύων εἶχε θυγατέρα τὴν Ἀλόπην· μαθὼν δὲ ὅτι ἐμοιχεύθη ἡ αὐτοῦ θυγάτηρ Ἀλόπη, ἠρώτησεν αὐτὴν τίς ὁ μοιχεύσας, λέγων, εἴ μοι τοῦτον εἰποῖς, οὐδόλως ἂν λυπηθῇς. εἶτα εἰπούσης τῆς Ἀλόπης τὸν αὐτὴν μοιχεύσαντα, οὐκέτι ὁ Κερ-
25 κύων ὑπὸ τῆς λύπης ἔφερε ζῆν, ἀλλὰ τὸ ζῆν ἀπελέγετο. οἷον καὶ ὁ Κερκύων, ὁ ὑπὸ τοῦ Καρκίνου παραγόμενος ἡττηθεὶς ὑπὸ τῶν λυπῶν, οὐ μαλακὸς ῥηθῆ. ὥσπερ καὶ ὁ πειρώμενος κατέχειν τὸν γέλωτα, εἶτα ἀθρόον ἐγκαγχάζει, τοιοῦτος καὶ ὁ Κερκύων, μέχρι μὲν πολλοῦ πρὸς τὴν λύπην ἀντέτεινεν, εἶτα ἡττήθη, ὥσπερ καὶ
30 ὁ Ξενοφάντης.

1153. A. Πάλιν ἐδόξαζόν τινες, ὅτι ἐπεὶ τὸ ἡδὺ μισεῖ ὁ σώφρων, καὶ ἐπεὶ ὁ φρόνιμος τὸ ἄλυπον διώκει καὶ ζητεῖ, καὶ τὰ παιδία καὶ τὰ θηρία τὸ ἡδὺ ζητεῖ, λοιπὸν ἡ ἡδονὴ οὐκ ἔστιν ἀγαθόν. πειρᾶται οὖν λύειν τὰς τοιαύτας δόξας.

[3] Schol. antiq. m. [4] Schol. rec. m.

Digitized by Google

1160. A. Ὁ γὰρ κλῆρος τοῦ κληροῦντος ἐστὶ κλῆρος, καὶ ἴδιος ἐστὶ τοῦ λαμβάνοντος· ἐξ οὗ καὶ κλῆρος λέγεται πατρικὸς ὁ ἴδιος τινὸς τῶν παίδων γενόμενος. ὁ οὖν ἰδιοποιούμενος τὰ τῆς πολιτείας, οὐκ ἂν κληθείη κυρίως βασιλεὺς, ἀλλὰ κληρωτὸς βασιλεύς· ὥσπερ ἂν εἴτις εἴπῃ κίβδηλον δραχμὴν, τὴν παρα- 5 κεχαραγμένην.

Ὅπερ ἐστὶ τὸ ἐκ τοῦ σώματος καὶ τῆς ἐντελεχείας, ἥτις ἐντελέχεια ἐστὶν ἡ ἄλογος καὶ ἀχώριστος τοῦ σώματος ζωὴ, καὶ σὺν αὐτῷ φθειρομένη.

Οἱ Ἐπικούρειοι καί τινες τῶν ὕστερον Στωϊκῶν μετεδίδοσαν 10 καὶ τοῖς ἀλόγοις εὐδαιμονίας.

Τῶν πολλῶν καὶ μεγάλων εὐποροῦντα, ἀλλὰ τὸν ἐν ἀμφοτέροις ὄντα, τῷ τε μέτρια κεκτῆσθαι, καὶ τῷ πράττειν τὰ κάλλιστα.

Κακοδαίμονα τὸν Ἀναξαγόραν οἱ πολλοὶ ἐκάλουν, διὰ τὸ μὴ πολλῶν εὐπορεῖν, καίτοι πλουσιώτατον ὄντα τὴν θεωρίαν, καὶ τῷ 15 ὄντι εὐδαιμονέστατον.

Ὃ λέγει τοιοῦτον ἐστίν· οὐ χρεία νόμων ἐστὶν ἐκείνων μόνων τῶν διακελευομένων περὶ τῆς τῶν παίδων ἀγωγῆς, ἀλλὰ καὶ ἑτέρων ἄλλων τῶν διαγορευόντων τίνα δεῖ ἐπιτηδεύειν ἀνδρωθέντας. δῆλον δὲ ὡς ἄλλα μὲν ἐστιν ἐπιτηδευτέον τοῖς νέοις, καὶ ἄλλα 20 τοῖς ἀνδράσι, καὶ ἕτερα τοῖς παρακμάσασι. τοιούτων τε χρεία νόμων, καὶ ἔτι τοῦ πῶς τὸν ἅπαντα βίον διοδευτέον.

Digitized by Google

ΣΧΟΛΙΑ[1]

ΤΟΥ ΚΥΡΙΟΥ ΣΤΕΦΑΝΟΥ

ΕΙΣ

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΤΕΧΝΗΝ ΡΗΤΟΡΙΚΗΝ.

Scholia Stephani in tres Libros Rhetorices Aristotelis hactenus inedita, vulgavi e duobus Codd. Paris. 1869 et 1951. qui ambo sunt chartacei, et xv sæc. exarati. Descriptus autem fuit 1869, et postea ex altero adnotata est varietas lectionis; aliquoties etiam adhibitus est Cod. 1950. Quis autem fuit hic Stephanus non liquet; sed inferioris esse apud Byzantinos ætatis, hinc patet quod Suidam citet. In Arist. Ethicos etiam commentatus est, ut ipse refert (Schol. Lib. II.) et Cod. Reg. 2064. fol. 36. habet Scholia *εἰς τὰ περὶ ἑρμηνείας, ἀπὸ φωνῆς Στεφάνου φιλοσόφου.* Scholia in Rhet. Aristot. exstant etiam in Bibl. Reg. Neapol. et in Ambros.

C. 2, 14. "*Ἐπεὶ δ' ἐστιν ὀλιγὰ τὰ ἀναγκαῖα.*" *ἅπαξ εἰπὼν τὰ κατὰ τὴν ῥητορικὴν παρεοικέναι τῇ φιλοσοφίᾳ· συλλογισμὸς τὲ γὰρ ἐκεῖ ἐστίν· ἀλλὰ καὶ παρὰ τῇ ῥητορικῇ ἐνθύμημα· ἐπαγωγὴ ἐκεῖ, ἀλλὰ καὶ παρὰ τῇ ῥητορικῇ παράδειγμα· νῦν πάλιν καὶ ἄλλην τινὰ φιλοσοφίας κοινωνίαν καὶ ῥητορικῆς πολυπραγμονεῖ, καὶ λέγει, ὥσπερ παρὰ τοῖς ἐν φιλοσοφίᾳ συλλογισμοῖς ἡ γένεσις αὐτῆς ἐστὶν, ἢ ἐξ ἀναγκαίων, καὶ γίνεται ὁ ἀποδεικτικὸς, ἢ ἐξ ἐνδεχομένων, καὶ γίνεται ὁ διαλεκτικὸς, οὕτως εὑρήσεις λοιπὸν καὶ παρὰ τῇ ῥητορικῇ προτάσεις οἷον ἐνδεχομένας, τὰ εἰκότα, οἷον δὲ ἀναγκαίας, τὰ τεκμηριώδη σημεῖα· τριχῶς γὰρ τὸ σημεῖον.*

"*Ἐκ τοιούτων ἀνάγκη καὶ ἑτέρων.*" *Καλῶς προσέθηκε τὸ*[2], *ἑτέρων· ὁ μὲν γὰρ ἀναγκαῖος συλλογισμὸς ὁ περὶ τοῦ, ἡ ψυχὴ,*

[1] Codd. *ἕτερα σχόλια.* quia ea scripta habent post Scholia a Neobario vulgata Paris. 1553. in 4°.

[2] *προσέθετο καὶ τὸ* Cod. 1951.

Digitized by Google

φέρε εἰπεῖν, ἀθάνατος, ἐκ τῶν αὐτῶν[2] ἀεὶ προτάσεων γίνεται· καὶ οὐχὶ ἐξ ἑτέρων νῦν, καὶ πάλιν ἐξ ἑτέρων, καὶ αὖθις ἐξ ἑτέρων· οὐδὲ γὰρ ἂν ἦν ἀναγκαῖος, ἄλλοτ' ἄλλος ἔχων· ὁ δὲ ἐνδεχόμενος συλλογισμὸς, ὁ περὶ τοῦ ἡ ἡδονὴ ἀγαθὸν ἢ φαῦλον, ἐξ ἄλλων καὶ ἄλλων καὶ ἑτεροίων πολλάκις πολυειδῶς συλλογισθήσεται. 5

"Ὥστ' ἀνάγκη τούτων ἑκάτερον ἑκατέρῳ[3]." Ἤγουν τὸ εἰκὸς καὶ τὸ σημεῖον ἔσται ταυτὸν, τὸ μὲν, ταῖς ἐνδεχομέναις προτάσεσι, τὸ δὲ, ταῖς ἀναγκαίαις· ἀλλ' οὐκ ἀπολύτως καὶ ἀορίστως πᾶν· μόνον δὲ τὸ ἄλυτον ὃ καὶ τεκμήριον λέγεται· τὸ μὲν οὖν ἐξ εἰκότων[4] ἐνθύμημα ἀναλογεῖ τῷ ἐνδεχομένῳ συλλογισμῷ· τὸ δὲ 10 ἐκ σημείων τῷ ἀναγκαίῳ.

C. 2, 15. "Οὐκ ἁπλῶς δὲ, καθάπερ ὁρίζονται τινές." Οἱ Στωϊκοὶ, ὡς καὶ ἐν τῷ περὶ ἑρμηνείας, εἰ σὺν προσοχῇ ἀναγινώσκεις, εὑρήσεις τὸ ἐπιτοπολὺ ἐταύτιζον τῷ ἀναγκαίῳ. Πάντα γὰρ κατὰ τὸ ἀναγκαῖον γινόμενα δογματίζοντες ἀνῄρουν· "τὸ 15 "ἐνδεχόμενον," ἤγουν τὸ ὁπότερ' ἔτυχε τὸ ἐπίσης ἐνδεχόμενον· λέγεται οὖν ὧδε, ὅτι τὸ ὡς ἐπιτοπολὺ ἐνδεχόμενόν ἐστι· διακόπτεται γὰρ ποτὲ, οὐχ ἁπλῶς δὲ, ἤγουν[5] ἀεὶ καὶ ἀναγκαίως γινόμενον, ὡς οἱ Στωϊκοὶ ἴσως ὡρίζοντο.

Διαιρεῖ οὖν τὸν λόγον, καὶ λέγει τοιοῦτον· λέγω ἐπὶ πολὺ τὸ 20 εἰκὸς, οἷον ἄρα τὸ ἐπίσης ἐνδεχόμενον, οὐ μὴν δὲ ὡς τὸ ἀναγκαῖον, ὥς τινες ἔλεγον, οὕτως ἔχον πρὸς ἐκεῖνο πρὸς ὃ εἰκὸς, ὡς τὸ καθόλου πρὸς τὸ κατὰ μέρος· τὸ εἰκὸς, πρός τι λέγεται εἰκὸς, οἷον εἰκὸς λέγεται τὸ, τὸν νύκτωρ πλανώμενον, κλέπτην εἶναι Ἀλκιβιαδήν· ἐξ εἰκότος ἐστὶν, οὗτος ἐνθυμηματικὸς συλλογισμός· 25 ἴδε οὖν ὧδε, τί τὸ εἰκὸς, καὶ πρὸς τί λέγεται εἰκός· οἷον, ἐξ εἰκότος τινὸς, κρίνω τὸν[6] δεῖνα κλέπτην εἶναι· ποίου εἰκότος; τοῦ νύκτωρ πλανᾶσθαι· εἰκὸς οὖν τὸ νύκτωρ πλανᾶσθαι. πρὸς ὃ δέ; ἤτοι πρὸς τὸ κλέπτην εἶναι τὸν δεῖνα· καθολικώτερον ἄρα τὸ εἰκὸς τοῦ πρὸς ὅ· οὐδὲ γὰρ πᾶς ὁ νύκτωρ πλανώμενος κλέπτης, ἀλλ' ἢ 30 μεμηνὼς, ἢ ξένος καὶ ἀγνοῶν τὴν εὐθεῖαν λεωφόρον· ἐπεὶ οὖν τὸ νύκτωρ πλανᾶσθαι λέγεται κατὰ τριῶν ἴσως, τοῦ μεμηνότος, τοῦ ἀγνοοῦντος ξένου, τοῦ κλέπτου· σὺ δὲ κατὰ μόνου ὁ ῥήτωρ τοῦ

[2] αὐτῶν αὐτῶν Cod. 1951. [3] ἑκατέρῳ Cod. 1950. [4] ἐξεικότων Cod. 1950. [5] οἷον Cod. 1951. [6] κρύπτω Cod. 1951.

Digitized by Google

κλέπτου τοῦτο ἐξελάβου[7]· καθολικώτερον ἄρα ἐστὶ τὸ εἰκὸς τοῦ κλέπτου· ὡς τὰ τρία τοῦ ἑνὸς εἰσὶ πλείω· οὐ γὰρ πᾶς ὁ νύκτωρ πλανώμενος κλέπτης.

Τῶν σημείων, τὸ μὲν, οὕτως ἔχει, ὡς τῶν καθ' ἕκαστά τι πρὸς τὸ καθόλου· ὅτε δηλαδὴ τὸ καθόλου δεικνύται ἀπὸ τῶν μερικῶν· οἷον, τὸ [8]πᾶς σοφὸς σπουδαῖος, διότι ὁ Πιττακὸς σοφὸς ὢν, ἦν καὶ σπουδαῖος· τοῦ γὰρ, ὅτι οἱ σοφοὶ σπουδαῖοι, σημεῖον ἐστὶν ὁ Πιττακὸς, μερικόν τι ὢν[9]. τοῦτο τὸ σημεῖον, λυτόν ἐστιν· ἀσυλλόγιστος γὰρ ὁ[10] συλλογισμὸς οὗτος ὁ φαινόμενος, ὅτι ἀπὸ[11] δύο μερικῶν συνήχθη, καὶ διὰ τοῦτο οὐκ ἔστι συλλογισμὸς, ἀλλὰ καὶ τὸ συμπέρασμα ψευδὲς, καὶ κατὰ τὴν ὕλην· ἀλλὰ γὰρ καὶ κατὰ τὸ εἶδος· ἐν γὰρ τῷ τρίτῳ σχήματι μερικὰ[12] συνάγεις· τοῦτο μὲν οὖν τὸ σημεῖον ἐστὶν ὡς τῶν καθ' ἕκαστόν τι πρὸς τὸ καθόλου.

C. 2, 18. Τίθησι δὲ καὶ ἑτέρον ἐνθυμηματικὸν συλλογισμὸν τεκμηριώδη καὶ ἀναγκαῖον, ἐν πρώτῳ σχήματι συναγόμενον, καὶ αὐτὸν τοιοῦτον ἔχοντα τὸ σημεῖον, ὡς τῶν καθ' ἕκαστόν τι πρὸς τὸ καθόλου. αὕτη τέτοκε· γάλα γὰρ ἔχει· τὸ γάλα ἔχειν, σημεῖον ἐστὶ τοῦ τετοκέναι. ἄλυτον ἐστὶ τοῦτο. ἀληθὴς τὲ[13] γάρ ἐστιν ὁ συλλογισμὸς, καὶ καλῶς ἔχων, κατά τε ὕλην, κατά τε εἶδος·

καὶ αὖθις· οὗτος νοσεῖ, πυρέττει γάρ· σημεῖον ὁ πυρετὸς τῆς νόσου· τεκμήριον τοῦτο καὶ ἄλυτον, ὡς δὴ καὶ τὸ γάλα ἔχειν· καλῶς γὰρ καὶ οὗτος ὁ συλλογισμὸς ἔχει, καὶ κατὰ τὴν[14] ὕλην, καὶ κατὰ[15] τὸ εἶδος.

7 ἐξέλαβες Cod. 1951. 8 σπουδαῖος π σοφὸς πιττακὸς 9 ὄν Cod. 1951.

10 οὗτος Cod. 1951. 11 ἐκ Cod. 1951. 12 μερικὸν Cod. 1951.
13 ἀληθὴς τὲ 1951. ἀληθὴ ἀτὲ Cod. 1869. 14 κατά τε τὴν 1951.
15 κατὰ om. 1951.

Digitized by Google

Νόησον οὖν ὧδε· πῶς ταῦτα τὰ δύο σημεῖα, ἃ καὶ τεκμήρια καὶ ἄλυτα, ὡς μερικὰ εἰσὶ πρὸς καθόλου· τὸ πυρέττειν, ὃ σημεῖον μερικώτερον ἐστὶ τοῦ νοσεῖν· πῶς; ὅτι πᾶς μὲν πυρέττων νοσεῖ, οὐ μὴν δὲ πᾶς[16] νοσῶν πυρέττει· εἰσὶ γὰρ καὶ ἕτεραι νόσοι παρὰ τὸν πυρετόν[17]· καὶ αὖθις· τὸ γάλα ἔχειν σημεῖον ὂν τοῦ σημειω- 5 τοῦ, ἤτοι τοῦ τετοκέναι, μερικώτερον ἐστὶ τοῦ τετοκέναι· πᾶσα μὲν γὰρ[18] γάλα ἔχουσα, καὶ τέτοκεν, οὐ μὴν δὲ πᾶσα τετοκυῖα καὶ γάλα ἔχει. καλῶς ἄρα τοῦτο ἐξήγηταί μοι σὺν Θεῷ, τῶν ἄλλων ἀποπλανηθέντων τῆς ἀληθείας ὅλῳ πήχει.

Τὸ δ' ὡς τῶν καθόλου τί πρὸς τὸ κατὰ μέρος· ὅταν δηλαδὴ τὸ 10 σημεῖον εὑρίσκηται τὸ τάχα λαμβανόμενον καθολικώτερον τοῦ σημειωτοῦ· οἷον εἴ τις εἴπῃ[19]· ὁ παρὼν πυρέττει, πνευστιᾷ γάρ· καὶ οἱ μὲν ἄλλοι οὕτως αὐτὸ[20] συνελογίσαντο πάντες ἐν πρώτῳ σχήματι.

15

ἐγὼ δὲ ἐν δευτέρῳ σχήματι τοῦτο συνελογισάμην, ἀκολουθῶν Ἀριστοτέλει ἐν τῷ τέλει τῶν δευτέρων Ἀναλυτικῶν[21] λέγοντε· "μόνα "τὰ ἄλυτα τεκμηρία ἐν τῷ πρώτῳ σχήματι συλλογίζεσθαι· τὰ "δὲ ἄλλα σημεῖα, ἃ μὲν ἐν τῷ δευτέρῳ, ἃ δὲ ἐν τῷ τρίτῳ, ἃ καὶ "λύσιμα, ἢ ὡς ψευδῆ καὶ κατὰ τὸ εἶδος ἡμαρτημένα, ἢ καθ' ἕν 20 "τι τοῦτο[22]." ποῖον; τὸ κατὰ εἶδος ἡμαρτῆσθαι δηλαδὴ, κἂν κατὰ τὴν ὕλην ἀληθῶς ἔχῃ[23].



Τοῦτο εἰ οὕτω σχηματισθῇ, συλλογισμός ἐστιν· οὐ μὴν ἐνθυμη- 25 ματικός· σχημάτισον οὖν αὐτὸ ἐνθυμηματικῶς καὶ ῥητορικῶς, τὴν ᾱβ' εὐθεῖαν περιελὼν, καὶ οὕτως ἐνθυμηματισάμενος· ἡ γὰρ μείζων πρότασις ἐνθυμηματικῶς σοι νοεῖται· εἰ οὖν τὸ ἐνθύμημα τέλειον συλλογισμὸν ποιήσεις, λυτὸν τοῦτον εὑρήσεις. οὗτος

16 πᾶς ὁ νοσῶν Cod. 1951. 17 ἄνευ πυρετοῦ 1951. 18 γὰρ om. 1951. 19 εἴποι. 20 αὐτὸ om. 21 τοῦ δευτέρου τῶν προτέρων Ἀναλυτικῶν. 22 τούτων. 23 ἔχειν.

Digitized by Google

πυρέττει· καὶ γὰρ πυκνὸν ἀναπνεῖ· ψευδῶς τέως εἴπας· ἔχει δὲ ἔμφασιν οὗτος ὁ συλλογισμὸς πρώτου σχήματος, καί τι καινόν· τὰ γὰρ ἐν τῷ δευτέρῳ σχήματι συλλογιζόμενα διὰ τοῦ πρώτου τελειοῦνται εἰ μὲν οὖν οὕτως ἐν τῷ πρώτῳ σχήματι τελειῶν
5 εἴπῃς[24], οὗτος πυκνὸν ἀναπνεῖ, πᾶς ὁ πυκνὸν ἀναπνέων πυρέσει, ψευδὴς εὑρίσκεται ἡ μείζων πρότασις· εἰ δὲ οὕτως εἴπῃς[25], ὡς ἐν δευτέρῳ σχήματι, ἵνα ὕλη φανῇ[26] ἀληθής· οὗτος πνευστιᾷ, πᾶς ὁ πυρέττων πνευστιᾷ, οὗτος ἄρα πυρέττει· ἀληθὴς μὲν ὁ συλλογισμὸς κατὰ τὴν ὕλην, κατὰ δὲ τὸ εἶδος ἠχρείωται· ἐν γὰρ τῷ
10 δευτέρῳ σχήματι ἀπὸ[27] δύο καταφατικῶν, καταφατικὸν συνήγαγες[28]. λυτὸν ἄρα· καταφατικῶς γὰρ συνάγεται ἀεὶ τὰ διὰ σημείων ἀποδεικνύμενα· μόνον γὰρ ἂν ἀληθὲς ᾖ[29], ἄλυτόν ἐστι· τοῦτο εἴπας[30], ἐπεὶ τὸ ἐν τῷ[31] δευτέρῳ σχήματι συλλογισθὲν, τὸ οὗτος πυκνὸν ἀναπνεῖ, πυρέττει ἄρα, τελειωθὲν ἐν πρώτῳ σχήματι,
15 οὐ φαίνεται ἀληθές· καὶ λοιπὸν, οὐκ ἔστι τεκμήριον· λυτὸν γὰρ καὶ τοῦτο, κἂν ἀληθὲς ᾖν[32]· κἂν γὰρ ἀληθὲς ᾖ τὸ, οὗτος πυρέττει, ὁ νῦν ὁρώμενός μοι πνευστιῶν, ἀλλὰ λύσιμος ὁ συλλόγισμος· ὅτι[33] ἐν τῷ δευτέρῳ σχήματι, ἀπὸ καταφατικῶν τῶν δύο προτάσεων, καταφατὸν συνήγαγες.

20 Ἰστέον καὶ ἐπὶ τίνων, πῇ μὲν[34] τὰ σημεῖα προηγοῦνται ὧν εἰσὶ σημεῖα, οἷον, ἡ Ἶρις τοῦ ὑετοῦ, ὃ καὶ πολλάκις καὶ[35] διαψεύδεται· φαίνεται γὰρ ἡ Ἶρις, ὑετὸς δὲ οὐ γίνεται· πῇ[36] δὲ τὸ οὗ σημεῖον προηγεῖται, ὡς τὸ πῦρ τῆς τέφρας· πῇ δὲ ἅμα τὸ σημεῖον καὶ τὸ σημειωτόν· ὃ καὶ κυρίως τεκμήριον· οἷον ἅμα πῦρ
25 καὶ καπνός· ἐὰν οὖν εἴπῃς, ὅτι σημεῖον τοῦ εἶναι ἐνταῦθα πῦρ τὸ εἶναι ἐνταῦθα τέφραν, ψεῦδος· ἔστι γὰρ τέφρα ἔν τινι τόπῳ[37], καὶ οὐκ ἐγένετο ἐνταῦθα πῦρ, ἀλλ' εἰκὸς ἦν μετενηνέχθαι ἀλλαχόθεν ἐνταῦθα τὴν τέφραν.

Ἔστι δὲ τὸ παραδείγμα οὔτε ὡς μέρος πρὸς ὅλον· ἦν γὰρ ἂν

24 εἴποις. 25 εἴποις. 26 φανῆται. 27 ἐκ. 28 συνήγαγες συμπέρασμα. 29 ᾖ 1951. ἦν 1869. 30 εἶπεν. 31 τῷ om. 32 ἦν. 33 συλλογισμός ἐστιν· ἐκ γὰρ δύο καταφατικῶν, καταφατικὸν συνήγαγες ἐν τῷ δευτέρῳ σχήματι· ἰστέον δὲ ὡς καὶ —— 34 ποῖ μὲν. 35 καὶ om. 36 ποῖ. 37 ἔν τινι τόπῳ τέφρα ἐνταῦθα πῦρ· ἐνδέχεται γὰρ μετενεχθῆναι αὐτὴν ἀλλαχόθεν τὴν τέφραν ἐνταῦθα· ἔστι δὲ.

Digitized by Google

σημεῖον ὃ ἦν, ὡς τῶν καθ' ἕκαστά τι πρὸς τὸ καθόλου, ἀλλ' οὐ δὲ ὡς ὅλον πρὸς μέρος· ἦν γὰρ ἂν[38] ὡς τὸ ἕτερον αὖθις σημεῖον, ὃ καὶ ὡς τὸ εἰκὸς, ὅπερ ἦν ὡς τῶν καθόλου τί πρὸς τὸ κατὰ μέρος· τὸ δὲ οὔτε πρὸς ὅ ἐστι πρὸς ὅλον εἶπε, δηλῶν ὅτι οὐδὲ συλλόγισμός ἐστι. διὰ μὲν οὖν[39] τῶν ἀνωτέρω δυεῖν ἔδειξεν ὅτι τὸ παράδειγμα οὐκ ἔστιν ἐνθύμημα· τὸ γὰρ ἐνθύμημα ἦν ἐξ εἰκότων καὶ σημείων, ἃ ἀνήρηκεν, ὅτι οὐκ ἔστι τὸ παράδειγμα· διὰ δὲ τοῦ τρίτου τοῦ, οὔθ' ὡς ὅλον πρὸς ὅλον, ἀνήρηκεν, ὅτι οὐδὲ συλλόγισμός ἐστιν ἀπὸ τῶν καθόλου, ἢ καὶ ἀντιστρεφόντων, συνάγων τὸ καθόλου.

C. 2, 20. "Τῶν δὲ ἐνθυμημάτων μεγίστη διαφορά·" ὥσπερ εἰσὶ διαλεκτικοὶ συλλόγισμοι, παρὰ τῇ διαλεκτικῇ· ἀλλ' εἰσὶ καὶ περὶ φυσικῶν παρ' αὐτῇ καὶ περὶ ἠθικῶν διαλέξεις[40], ἀλλὰ ὅσα μὲν ἀπὸ κοινῶν τόπων δείκνυται[41], κἂν φυσικὰ εἶεν[42], κἂν ἠθικὰ, οὐ μὲν[43] μόνον διαλεκτικὰ, οἷον, ἀπὸ τοῦ μᾶλλον, ἀπὸ τοῦ ἧττον, ἀπὸ ἴσου, ἀπὸ δυνατοῦ, ἀδυνάτου, ἐνδόξου, ἀδόξου· ταῦτα λέγονται διαλεκτικά· ὅσα δὲ τῶν ἰδία καὶ ἰδία τεχνῶν, ἤγουν φυσικῆς, ἰατρικῆς[44], ἠθικῆς, δείκνυται[45] ἀπὸ ἰδίων καὶ οἰκείων αὐταῖς καὶ μόνων προτάσεων, ταῦτα λέγονται οὐ διαλεκτικὰ, ἀλλ' ἠθικὰ, ἢ φυσικὰ, ἢ ἰατρικά. αἱ γὰρ προτάσεις τῆς ἰατρικῆς, οὐκ ἐφαρμόσουσι τῇ ἠθικῇ, οὐδ' αἱ[46] τῆς ἠθικῆς ἐφαρμόσουσι τῇ φυσικῇ· οὕτω καὶ ἐν τῇ ῥητορικῇ εἰσὶν ἐνθυμηματικοὶ συλλογισμοὶ, καὶ ποτε μὲν λέγονται τὰ προβλήματα ῥητορικὰ, ὅταν ἀπὸ κοινῶν τινῶν ῥητορικῶν τόπων δείκνυνται· οἷον ἀπὸ τοῦ δυνατοῦ, τοῦ μᾶλλον, καὶ τοιούτων τινῶν· ποτὲ δὲ οὐ λέγονται ῥητορικὰ, ἀλλ' ἢ συμβουλευτικὰ, ἢ δικανικὰ, ἢ ἐπιδεικτικὰ, ἢ περὶ εἰρήνης, ἢ περὶ πολέμου, ἢ περὶ πόρων, ἢ περὶ φυλακῆς χώρης, ἢ νομικὰ, εἰ περὶ πολιτειῶν εἶεν καὶ νόμων.

Εἰ οὖν τὰ τρία τῆς ῥητορικῆς εἴδη μετιὼν, καὶ συμβουλευόμενος ἢ καὶ δικανευόμενος, ἢ καὶ πανηγυρίζων, ἀπὸ τοῦ μᾶλλον ἐν τοῖς γῆς ἐπιχειρήσεις, ἢ τοῦ ἧττον, ἢ τοῦ δυνατοῦ, ῥητορικὰ

38 ἂν om. 39 οὖν deest. 40 διαλέξις Cod. 1869. 41 δείκνυνται. ων ων
42 ἦ. 43 μὴν. 44 ἰατρικῆς καὶ ἠθικῆς. 45 δείκνυνται ἀπὸ ἰδίας καὶ οἰκείας.
46 οὐδὲ.

Digitized by Google

ταῦτα εἰ περὶ τὰ προβλήματα· ἀπὸ γὰρ τῶν κοινῶν τῆς ῥητορικῆς τόπων ὥρμησας· εἰ δὲ τὸ συμβουλευτικὸν μόνον[47] νῦν μεταχειρισάμενος, καὶ τούτου τὸ περὶ πόρων εἶδος μόνον ἐπιχειρήμασι οἰκείοις, αὐτῷ καὶ μόνῳ[48] τῷ περὶ πόρων προβλήματι χρᾷ[49], τὸ τοιοῦτο[50] ῥητορικὸν εἴπῃς[51], ἀλλὰ ἢ συμβουλευτικὸν μερικεύσας ἐκεῖνο, ἢ περὶ πόρων, ἢ οὕτώ πως[52] μερικῶς καὶ εἰδικῶς.

"Τὰς δὲ οὔπω κατειλημμένας." Οἷον περὶ τοῦ τετραγωνίζεσθαι τὸν κύκλον, ἢ καὶ ἡ καθ' ἡμᾶς θεία γραφὴ, μεγίστη ἐπιστήμη καὶ καλὴ καὶ τιμία, καὶ ἀκριβὴς ἀκριβῶς.

"Διὸ καὶ λανθάνουσι τοὺς ἀκροατὰς," εἰ εἶεν διαλεκτικοὶ, καλῶς γὰρ τὴν ἠθικὴν μεταχειριζόμενοι[53], ἢ τὴν ἰατρικὴν, καὶ μεταβαίνοντες ἀπὸ τῶν κοινῶν τῆς διαλεκτικῆς τόπων, τὰ δὲ ἠθικὰ ἢ τὰ ἰατρικὰ δεικνύντες ἀπό τινων ἰδίων καὶ οἰκείων ἰατρικῇ, ἢ ἠθικῇ, ἰατροὶ μᾶλλον δοκοῦσιν ἄριστοι, ἢ ἠθικοὶ φιλόσοφοι.

C. 2, 21. "Οὐδὲν γὰρ μᾶλλον ἔσται ἐκ τούτου." Τοῦ κοινοῦ τόπου, ἤγουν τοῦ μᾶλλον περὶ φυσικῶν εἰπεῖν παρὸ περὶ δικαίων.

"Τῶν ἐνθυμημάτων τά τε εἴδη," λέγω δέ, φησι, "τὰς καθ' "ἕκαστον γένος ἰδίας προτάσεις." Γένος, ἢ τὸ ὑποκείμενον εἰπὲ, ἢ τὸ εἶδος· εἶδος γὰρ τῆς ῥητορικῆς τὸ συμβουλευτικόν· εἶδος τῆς ῥητορικῆς, τὸ δικανικόν· γίνωσκε οὖν τοὺς οἰκείους καὶ ἰδίους[54] τῇ συμβουλῇ τόπους, ἀφ' ὧν οὐδέποτε δείξαις τὰ δικανικὰ προβλήματα· γίνωσκε εἰδικῶς τοὺς οἰκείους τῷ δικανικῷ μερικοὺς τόπους, ἀφ' ὧν οὐδέποτε τὰ συμβουλευτικὰ κατασκευάσαις· τόπους δὲ λέγει τοὺς κοινοὺς, ἀφ' ὧν κοινῶς μὲν, οὐ μὴν ἐπιχειρήσεις ἰδίως περὶ τοῦδε ἢ τοῦδε, οἰκείως καὶ εἰδικῶς, καὶ αὐτάρκως[55].

C. 3, 1. Τρία γένη τῆς ῥητορικῆς, ἀλλὰ μὴν ἄνω εἶδη εἶπε· γένη οὖν τὰ ὑπάλληλα ἄκουσον· διαιρεῖται γὰρ τὸ δικανικὸν εἰς κατηγορίαν καὶ ἀπολογίαν, ὡς καὶ τὰ λοιπὰ εἴδη τὰ δύο· κυριώτατος μὲν ὁ παρὼν χρόνος τῷ πανηγυρικῷ. Ἴδε τὸν μέγαν Θεολόγον πανηγυρίζοντα· "Χριστὸς γεννᾶται, δοξάσατε."

47 μόνον τοῦτο νῦν. 48 μόνον. 49 χρῇ. 50 τοιοῦτον. 51 εἴποις. 52 πως deest. 53 μεταχ. τὴν ἠθ. 54 ἰδ. καὶ οἰκ. 55 αὐτάρκες Cod. 1869.

Digitized by Google

C. 3, 7. "Φανερὸν δ' ἐκ τῶν εἰρημένων," δεῖ, φησιν, ἰδίας ἔχειν τὰς προτάσεις, τὸν ἐνθυμηματικὸν ῥήτορα, οἰκείας τῇ συμβουλῇ τὸν συμβουλευτικόν· οἰκείας τῇ δικῇ, τὸν δικανικόν, οὐ μὴν κοινὰς, οὐ γὰρ συμβουλεύσει καλῶς, περὶ τοῦδέ τινος, ὁ ἀπὸ κοινῶν μελετῶν. 5

C. 3, 8. "Ἐπεὶδ' οὔτε πραχθῆναι." Νῦν, φησιν, ὅτι μετὰ τὸ εὑρεῖν σε εἰδικῶς τὰς ἰδίας καὶ ἰδίας περὶ ἑκάστου προτάσεις, καὶ οἰκείας ἑκάστῳ τῷδέ τινι, δεῖ σε, φησὶ, καὶ κοινοὺς τινὰς ἔχειν τόπους, οἳ δράσουσιν ἐπὶ σὲ, καὶ ἐν συμβουλῇ, καὶ δίκῃ καὶ παρηγόρει· οἷός ἐστιν ὁ τοῦ δυνατοῦ καὶ οὐκ[56] ἀδυνάτου, ὁ τοῦ 10 ἐνδόξου[57], ἀδόξου, ὁ τοῦ εἰ ἐγένετο, ἢ οὔ, ὁ τοῦ μεγάλου, ὁ τοῦ μικροῦ.

C. 4, 4. "Οὐ δεῖ τὸν παρόντα καιρὸν" καθ' ὃν τὴν ῥητορικὴν διαγράφων, ζητεῖν ἐμὲ ὑμᾶς εἰπεῖν, μέχρι τίνος καὶ ὅπως τὰ πάντα πραχθήσεται. οὐ γὰρ ῥητορικῆς τὸ τὰ τοιαῦτα τελέως 15 πολυπραγμονεῖν, ἀλλὰ μᾶλλον φιλοσοφίας καὶ τῆς λογικῆς. Ὑμεῖς οὖν, ὦ οἱ περὶ Πῶλον, καὶ Γοργίαν, πολλὰ τιμῶντες τὴν ῥητορικὴν, εἰ τὰ πάντα αὐτῇ χαριεῖσθε, λήσεσθε ἀπολέσαντες αὐτήν[58]· γενήσεται γὰρ φιλοσοφία, ἢ μισεῖτε φιλοσοφίαν, καὶ πάνθ' ὑμῖν ἀπολεῖται τὰ τίμια. 20

C. 4, 7. Τὰ πέντε ταῦτα περὶ ὧν τῇ πόλει συμβουλεύσεται ὁ δημηγόρος, καὶ ὁ καθ' ἕνα ὑμῶν συμβουλευέτω τῷ οἴκῳ αὐτοῦ, καὶ οὐκ ἀπὸ τοῦ καλοῦ χωρήσοι· τὸ δὲ "περὶ πολέμου καὶ εἰ-"ρήνης·" τοῦτο δηλοῖ, τίσι δεῖ πολεμεῖν ἡμᾶς, καὶ πρὸς οὓς εἰρηνεύειν. "ἐπίδοξον πολεμεῖν," ἢ τὸ ἔνδοξον, ἢ μᾶλλον τὸ προσ- 25 δοκήσιμον εἰπέ· "πρὸς δὲ τοὺς ἥττους, ἐπ' αὐτοῖς ἢ τὸ πολε-"μεῖν·" οὐ προτρέπεταί σε πολεμεῖν τοῖς ἥττοσιν ὁ φιλόσοφος ὢν ἀγαθὸς, ἀλλὰ τότε, φησὶ, πολέμει αὐτοῖς, ὅταν ἐκεῖνοι ἄρχωνται κατὰ σοῦ. καὶ τοὺς "ἐπιτηδείους τόπους" φυλάττειν δεῖ, ἢ τοὺς ἀνοχύρους καὶ ἀναγκαίους φυλάττεσθαι, ἤ, ὃ καὶ μᾶλλον, 30 τοὺς βοηθοῦντάς σοι τόπους· οἷον τὰς ἰδιωτικῶς παρὰ πόλλοις λεγομένας κλεισούρας· οἷον, τὴν τῆς Κερκύρας κορυφαίαν ἀκρό-

56 οὐκ om. Cod. 1951. 57 ἐνδόξου, καὶ ἀδόξου Cod. 58 Sic Cod. 1951. ἀπωλέσαντες αὐτὸν Cod. 1869.

Digitized by Google

πολιν· ἵνα μὴ τὰ τοιαῦτα προκαταλαβὼν ὁ πολέμιος, ὡς ἀπὸ ἐρυμνῶν κρησφυγίων ὁρμώμενος, βλάβης σοι μυρίας[59] πρόξενος γένοιτο[60].

"Ἐπισκευάζων αὐτάς" ἤγουν τὴν διαλεκτικὴν καὶ τὴν ῥητορικὴν εἰς "ἐπιστήμας ὑποκειμένων, ἤτοι ὡρισμένων τινῶν πραγμάτων, ἀλλὰ μὴ μόνων λόγων" ἡ γὰρ διαλεκτικὴ καὶ ἡ ῥητορικὴ ποριστικαί εἰσι κοινῶν λόγων· εἴπω μὲν οὖν ὧδε τῇ ἀναλυτικῇ τῇ ῥητορικῇ· τὰ λοιπὰ ἐπισκέψασθαι δόντες τῇ πολιτικῇ. ἐκείνης γὰρ τὸ περὶ πάντων τούτων αὐτάρκως εἰπεῖν[61].

C. 4, 11. "Ἵνα πρὸς τούτους καὶ αἱ συμβολαί." Ἁρμόζει, φησὶν, ἡμᾶς ἔχειν φίλους τοὺς κρείττονας ἡμῶν, καὶ τοὺς χρησίμους ἡμῖν, ὡς τοὺς ἀγχιαλίτας[62], διὰ τὸ πολὺ τοῦ σίτου· συμβολαὶ δὲ λέγονται οἱ ὅρκοι, οἱ ὅμηροι, αἱ εἰρηνικαὶ συμφωνίαι καὶ φιλίαι.

C. 4, 12. "Καὶ οἰκείων τῆς πολιτείας." Φθείρεται τὸ φθειρόμενον, καὶ ὑπὸ τοῦ ἐναντίου, ἀλλὰ καὶ ὑπὸ τοῦ οἰκείου· ὡς τὸ πῦρ φθείρεται ὑπὸ τοῦ ὕδατος σβεννύμενον, ἀλλὰ καὶ ὑπ' αὐτοῦ· ὡς ἐπὶ τοῦ πυγέως καταμαραινόμενον· ἡ δημοκρατία[63] ἀναιρεθήσεται· ὥστε καὶ ὑπὸ[64] τῆς ὑπερβολῆς αὐτοῦ, καὶ ὑπὸ τῆς ἐλλείψεως αὐτοῦ φθείρεται τὸ φθειρόμενον· βελτίστη δὲ πολιτεία ἡ[65] βασιλεία, ἣ ἐκείνη ἐν ᾗ συντρέχει τὸ καὶ βασιλείαν εἶναι καὶ δημοκρατίαν καὶ ἀριστοκρατίαν· ἄρχει γὰρ ὁ βασιλεὺς, ἀλλὰ καὶ οἱ ἄριστοι τῶν ἀνδρῶν παραδυναστεύουσιν αὐτῷ, φρόνιμοι ὄντες καὶ τὰ συμφέροντα ὑποτιθέμενοι. Ἀλλὰ καὶ δημοκρατίαν ἐστὶν ἰδεῖν· παρὰ γὰρ τῷ ἐπάρχῳ, τάξις τίς παραδυναστεύει καὶ ἄρχει τῆς πόλεως.

C. 4, 13. "Αἱ τῆς γῆς περίοδοι." Ἀναγκαῖον γὰρ περιέναι πᾶσαν τὴν οἰκουμένην, ὡς τοὺς νόμους πάντων μαθεῖν τῶν ἐθνῶν.

C. 5. Ἐναντίᾳ τῇ εὐδαιμονίᾳ ἡ κακοδαιμονία, εἰς ἣν συντείνουσι, λύπη, νόσος γῆρας· τὸ δὲ ὡς ἁπλῶς εἰπεῖν, ἢ τοῦτο δηλοῖ

59 σοι ὅτι πλείστης πρ. 60 γένοιτο. 61 Hoc Schol. huic loco alienum est. Vid. spectare ad C. 4, 6. 62 ἀσχιαλίτας Cod. 1869. 63 δημοκρατία αὖθις φθείρεται ὑπὸ τοῦ ἐναντίου· τῆς μοναρχίας δηλαδή. ἀλλὰ καὶ ὑπὸ τῆς ἐπιτάσεως αὐτῆς· ἣν γὰρ οἱ χυδαῖοι, οἱ ἀγοραῖοι πάντη πάντες κρατῶσι, λυποῦνται οἱ ἄριστοι· καὶ κρατήσουσιν ἴσως τῆς πόλεως· καὶ γενήσεται ἀριστοκρατία καὶ ἡ δημοκρατία. 64 ὑπὲρ Cod. 1951. 65 ἢ ἡ 1951.

Digitized by Google

τὸ, συντετμημένως ἢ τὸ παχυλῶς καὶ οὐ πρὸς ἀκριβείαν, μεῖζον ἀντ' ἐλάττονος ποιοῦντα, οἷον ἡ ὑγιεία μόριον οὖσα τῆς εὐδαιμονίας, μεῖζον γίνεται, εἰ προσλάβῃ[66] καὶ πλοῦτον· φθείρει τὴν εὐδαιμονίαν ἡ κακία, ἡ Πριαμικὴ συμφορὰ, ἐμποδίζει δὲ ἡ ἔνδεια καὶ τὸ μὴ πλουτεῖν· ἐν μὲν τοῖς ἠθικοῖς ὡρίσατο, ἐν μὲν τῷ πρώτῳ, τὴν πρακτικὴν ἐνδαιμονίαν, ἐν δὲ τῷ $\overline{\kappa}$[67], τὴν θεωρητικήν· ἐνταῦθα δὲ τὴν πολιτικήν· διὸ καὶ περὶ εὐγενείας καὶ εὐτεκνίας λέγει πόλεων καὶ ἐθνῶν· λέγει οὖν ἐνταῦθα τὰ δοκοῦντα περὶ εὐδαιμονίας πᾶσι, πολλῇ σπούδῃ, σοφοῖς.

C. 5, 3. "Ἡδὺς βιὸς μετ' ἀσφαλείας," ὅταν πλούσιος ὢν οὐ δεδίττηται ὀργὴν βασιλέως, ἢ ἐθνῶν ἐπιδρομὴν, καὶ πολεμίων ἔφοδον.

"Εὐσθένειαν σωμάτων καὶ κτημάτων μετὰ δυνάμεως." Τὸ κτήματα ἔχειν εὐσθενῆ καὶ μεγάλα, καὶ σῶμα εὐσθενὲς, ἀλλὰ καὶ δύναμιν καὶ πλῆθος, καὶ δυναστείαν ὑπηκόων τὴν μέλλουσαν ταῦτα συντηρεῖν, ὥστε μὴ ταῦτα διάρπαγμα γίνεσθαι πολεμίων, ἢ ἄλλως δυναστῶν. Εἶπε δὲ καὶ δυνάμιν πρακτικὴν, τὸ ἔχειν δούλους γεωργοὺς, κηπωροὺς, ποιμένας, καὶ τοιούτους πολλοὺς χειροκμῆτας· αὐτόχθονας εἶναι καὶ μὴ μετανάστας, καὶ ἀποίκους ἄλλης χώρας, ἢ κἂν ἀπὸ ἄλλης χώρας ἦλθον, ἀλλ' οὖν πολλοὺς χρόνους ἐπιμεῖναι ταύτῃ τῇ χώρᾳ, ἵνα εἶεν ἀρχαῖοι, καὶ κατὰ τοῦτο πλησίον τῶν αὐτοχθόνων, ὡς οἱ πλησίον τῶν ἐν Κωνσταντίνου πόλει[68].

C. 5, 6. Ἀτυχεῖς περὶ γυναῖκας οἱ Λακεδαιμόνιοι· ποτὲ γὰρ αὐτῶν πολεμούντων τοῖς ἐχθροῖς, ἔνδον αἱ γυναῖκες ἐθορύβουντο· αἰσθόμενοι δὲ οὗτοι τοῦ θορύβου, καὶ ὑποπτεύσαντες τοὺς πολεμίους ποθὲν εἰσελθεῖν τὴν πόλιν, ἔδωκαν νῶτα τοῖς ἐχθροῖς ὡς εἰς τὴν πόλιν φεύγοντες, ἵν' ἴδωσι τοῦ θορύβου τὸ αἴτιον, καὶ οὕτως ἡττήθησαν κατὰ κράτος καὶ κατεσφάγησαν.

C. 5, 7. Ἀσφαλῆ κτήματα ἔχειν, ἤγουν πλησίον τῆς αὐτῶν πόλεως, καὶ μὴ ἐν Περσίᾳ, ἢ Αἰγύπτῳ· ἵν' ὅταν ἐθέλωσιν ἐξῇ ἀπολαύειν αὐτῶν· ἐλευθέρια δὲ ὡς αἱ μυρίναι, ἐξ ὧν κἂν καρπὸς γένηται, ἀλλ' οὐκ ἔστιν ἀξιόλογος, ἀλλ' ἄγαν εἰς τιμὴν μικρό-

66 προσλάβοι. 67 ῆ C. 1951. 68 Κωνσταντινουπόλει.

τατος· πόσος γὰρ καρπὸς ἐκ μυρσινῶν συναχθήσεται, ὥστε κέρδος ἐκεῖθεν γενέσθαι, ὅτι καὶ ἄξιον, ἤτοι ἀξιόλογον.

C. 5, 9. Τιμὴ δὲ ἔστι μὲν σημεῖον· τιμῶ γὰρ τόνδε τινὰ, ἢ ὡς εὐεργετήσαντά με, ἢ ὡς εὐεργετῆσαι δυνάμενον. ἐλπίζω γὰρ
5 ὅτι ὅτε δεήσομαι αὐτοῦ, εὐεργετηθήσομαι· ἡ τιμὴ οὖν ἐν τῷ εὐεργετεῖν θεωρεῖται· ὥστε ὁ μὲν τιμώμενος καὶ δοξάζεται· ἔνθα γὰρ τιμὴ, ἐκεῖ καὶ δόξα· οὐ μὴν ἔνθα δόξα ἐστὶν, ἐκεῖ καὶ τιμή· ὡς μὲν γὰρ ἔχοντές τινες πλοῦτον, δοξάζονται· ὡς δὲ μὴ εὐεργετοῦντες, οὐ τιμῶνται.

10 "Ὧν μὴ ῥαδία ἡ κτῆσις," ἢ ὅλως, ἤγουν μηδόλως ῥαδίως κτᾶται ἡ φιλοσοφία, ἢ οὐκ ἔστιν ἐνταῦθα ῥαδία ἡ κτῆσις· ὡς ἐν Αἰγύπτῳ οἱ καρποὶ τῶν μυρσίνων· ἢ τὰ φύλλα τῆς δάφνης· ἢ ποτέ· οἷον εἴτις εἴη ἐν εἱρκτῇ λιμαγχονούμενος[71], καὶ ἐγὼ δώσω αὐτῷ ἄρτον, λαθὼν εἰσελθεῖν· ἄρτον, ὀλίγον· "τέμενος," ἢ ὁ ναὸς
15 λέγεται· ἢ καὶ ἡ ἀποτετμημένη χώρα, καὶ διδομένη τοῖς ἀριστεῦσι· τῶν[72] βαρβάρων ἴδων τὸ προσκυνεῖν, οὐχὶ τῶν Ἑλλήνων· οἱ γὰρ Ἀθηναῖοι οὐ προσεκύνουν· διὸ καὶ εἴρηται παρ' Ἕλληνος·

ἐγώ σε προσκυνήσω βάρβαρε.

C. 5, 10. "Ὥστε ἀνόσους εἶναι χρωμένους τοῖς σώμασιν"
20 Εἰσὶ γάρ τινες, ὑγιαίνοντες μὲν, οὐ χρώμενοι δὲ τοῖς σώμασιν, ἀλλὰ καὶ παρ' ἄλλων λουόμενοι· οὐδὲ βαδίζοντες, ἀλλ' ἐπὶ σκίμποδος ἢ θρόνου φερόμενοι· οἷος ἦν καὶ ὁ Ἡρόδικος[73], ὃς ὑγιὴς μὲν ἦν, ἀλλ' οὔποτε τῷ σώματι πρὸς ὑπηρεσίαν ἐχρῆτο, ἀλλὰ παρ' ἄλλων τῷ στόματι αὐτοῦ ἡ τροφὴ ἐδίδοτο· φοράδην ἐφέρετο, οὐδὲ
25 τὴν ἀμίδα ὥστε οὐρῆσαι ταῖς οἰκείαις χερσὶν κατεῖχεν, ἀλλ' ἄλλοις καὶ αὐτὴ ὑπεκρατεῖτο· διὰ τοῦτο εἶπε, "τὸ δὲ ἀνθρωπίνον." ἀνθρώπινα γὰρ ταῦτα εἰσὶ τὰ ἀναγκαῖα ἡμῖν ὡς τὸ περιπατεῖν, τὸ ἐσθίειν, τὸ οὐρεῖν, τὸ λούεσθαι, τὸ ζώννυσθαι.

C. 5, 11. Πένταθλον εἰσὶ[74] πυγμὴ, πάλη, δίαλμα, δίσκος
30 καὶ δίφρος· ὁ δὲ "ἀκμάζων ἡδὺς δοκείτω μετὰ φοβερότητος·" μὴ γὰρ ἔστω γυναικοειδὴς καὶ τεθηλυμένος, ἀλλ' οἷος ὁ Ἀχιλλεύς· διὸ καὶ Πρίαμος αὐτὸν[75] ἰδὼν ἐθαμβήθη· ἐμβριθὴς οὖν, φησιν, ἔστω μετὰ ἡδύτητος.

71 λιμαγχων. 72 τὸ. 73 Ἡρόδ. 74 ἐστὶ. 75 Om.

Digitized by Google

C. 5, 12. "Πιέζειν" ἐστὶ, τὸ λαβεῖν τὶ ἓν μόριον καὶ καταθλίψαι αὐτὸ, οἷον, ἢ σιαγόνα, ἢ οὖς, ἢ χεῖρα· "συνθλίβειν" δὲ, τὸ σφίγξαι, τὸ ὅλον τινὸς σῶμα τὰς δυὸ χεῖρας περιπλεξάμενον, καὶ μέσον αὐτῶν τὸν συνθλιβόμενον κατασχεῖν, καὶ ἄξαι τὰ μέλη αὐτοῦ καὶ τὰ νεῦρα, οἷον καὶ τὰ ὀστᾶ, ὃ δὴ ποιοῦσιν ἔνιοι τῶν 5 παλαιστῶν.

C. 5, 15. Ἔστιν "εὐγηρία" καὶ ἐκ τῶν τοῦ σώματος ἀρετῶν· ἀρετὴ σώματος ἡ εὐκρασία· εἰ δὲ καὶ εἴδομεν ποτὲ τινὰ, μακρόβιον μὲν, κατάνοσον δὲ ἀεὶ, ἀλλ' οὐ χρὴ περὶ τοιούτων σπανίων ἡμᾶς ἀκριβολογεῖσθαι νῦν, ἄλλης ὑποθέσεως ἐχομένους. 10

C. 5, 16. Φίλος ἐστὶν, ὃς τῷ φίλῳ βούλεται ὑπάρχειν τόδε καὶ τόδε[76] τῶν ἀγαθῶν· εἶτα καὶ αὐτὰ τὰ ἀγαθὰ πραγματεύεται καὶ ἐργάζεται παντὶ τρόπῳ· οὐχ ἵνα αὐτὸς ταῦτα ἔχῃ, ἀλλ' ἵνα ὁ φιλούμενος. ὁ γοῦν τοιούτους πολλοὺς φίλους ἔχων, πολύφιλος· εἰ δὲ καὶ ἐνάρετοι οὗτοι εἶεν καὶ σπουδαῖοι, καὶ ἄγαν χρηστοὶ, χρη- 15 στόφιλος ὁ τοιοῦτος λέγεται· πόλλακις γάρ εἰσι τινὸς φίλοι τινὲς, ὑπὲρ ἐκείνου τὰ πάντα καὶ ποιοῦντες καὶ μηχανώμενοι· εἰσὶ δὲ ὅμως τὸ ἦθος ἀνάγωγοι καὶ ἄλλως ἀπαίδευτοι.

C. 5, 17. Εὐτυχία δέ ἐστι τὸ γίνεσθαι πάντα[77] καλῶς, ὧν αἰτία ἡ τύχη, οἷον γεωργημάτων ἀφθονίαν παντοίων, πλούτου 20 πλησμονὴν, χρημάτων αὔξησιν, νομισμάτων πλεονασμὸν, δυναστείας εὐημερίαν.

"Αἰτία δέ ἐστιν ἡ τύχη, καὶ τῶν τοιῶνδε πόλλακις, ὧν ἡ "φύσις αἰτία," οἷον, εἰ ἐγέννα τίς μήτηρ ἑξαδάκτυλα βρέφη, εἶτα ποτὲ ἐγέννησε καὶ πενταδάκτυλον. 25

"Ἐνδέχεται δὲ καὶ παρὰ φύσιν γενέσθαι" ἀπὸ τύχης, οἷον ἐάν τις ἀεὶ[78] ἐγέννα πενταδάκτυλα, εἶτα ποτὲ ἐγέννησε καὶ ἑξαδάκτυλον. κάλλους δὲ καὶ μεγέθους φύσις, οἷον, εἰ ἀεὶ ἔτικτέ τις μέλανα βρέφη καὶ πυγμαῖα, εἶτα ἐγέννησε καὶ παιδίον καλὸν, καὶ μεγέθους ἀξιολόγου ὕστερον καταστάν· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα 30 ὅσα εἰσὶ τοῦ εἴδους καὶ τοῦ ἀγαθοῦ μετειληχότα, φύσεως εἰσὶ καὶ κατὰ φύσιν γινόμενα· τὰ δὲ ἀμβλώματα, παρὰ φύσιν. τέως οὖν ἐπικρίνει κυρίως ἐκεῖνα λέγεσθαι.

76 τόδε καὶ τόδε. 77 πάντα τὰ ὧν Cod. 1869. 78 Om.

Digitized by Google

Τυχηρὰ, "ἐφ' οἷς ὁ φθόνος" ἐκβάλλεται, παρὰ λόγον γράφεται καὶ μικρὸν, ἤγουν τῶν παρὰ τὴν ἀκολουθίαν· οἷον εἰ Αἰθιόπισσα τέξει ποτὲ Νιρέα[79], "ἢ εἰ μὴ ἦλθε μόνος, ἀεὶ φοιτῶν," οἷον εἰ ὁ Πλάτων ἀεὶ καθ' ἑκάστην[80] ἡμέραν ἀπήρχετο, μονώτατος[81] εἰς τόνδε τὸν τόπον ἐπὶ ἐνιαυτὸν[82] ν̄, εἶτα κατὰ τὴν τρίτην τοῦ Ἀπριλλίου μηνὸς, ἐκεῖνος μὲν οὐκ ἦλθεν εἰς τὸν τόπον ἐκεῖνον κατὰ τὸ ἔθος, ἄνδρες δὲ ἑκατὸν ἦλθον ἐπὶ τὸν τόπον ἐκεῖνον, καὶ χάσμα γέγονε γῆς, καὶ κατεπόθησαν ἅπαξ ἅπαντες[83]· εὐτυχὴς ὁ Πλάτων, ὅτι ἀεὶ ἐρχόμενος, σήμερον οὐκ ἦλθεν, ἢ οὐ συνῆλθε κἂν[84] ἐκείνοις τοῖς ἀπολομένοις ἀνθρώποις.

C. 5, 18. "Ὧν μὲν οὐ δεῖ στοχάζεσθαι," ἐτελείωσεν ὃ προὔθετο[85] θεώρημα· εἶπε γὰρ ἀνωτέρω, περὶ ὧν μὲν οὖν ἔχειν δεῖ[86] τὸν μέλλοντα συμβουλεύειν τὰ μέγιστα, τοσαῦτ' ἐστὶν, ἤγουν πέντε· εἶτα ἐπιλέγει· ἐξ ὧν δὲ δεῖ καὶ περὶ τούτων καὶ περὶ ἄλλων προτρέπειν, λέγωμεν. καὶ εἶπε περὶ εὐδαιμονίας καὶ περὶ τῶν μερῶν αὐτῆς· οὐ γὰρ περὶ τῶν πέντε μόνων[88] ἐκείνων ἐρεῖ ὁ συμβουλευόμενος πόλει[89], ἀλλὰ καὶ περὶ ἄλλων πολλῶν· οἷον περὶ εὐγενείας, εὐτεκνίας, πολυφιλίας, χρηστοφιλίας, ἀγωνιστικῆς δυνάμεως, πάλης, πυγμῆς, δίσκου βολῆς[90], καὶ τῶν ἄλλων ἃ εἴρηκε· νῦν οὖν, φησὶν, ὅτι ὧν δεῖ στοχάζεσθαι τὸν συμβουλευόμενον, ταῦτα εἰσὶ τάτε πέντε καὶ τὰ λοιπὰ, ἤγουν ἡ εὐδαιμονία καὶ τὰ μέρη αὐτῆς· προτρέπεται γὰρ[91] τὴν . . . . . ἵνα φυλάττῃ τοὺς νέους αὐτῆς τοιῶς δὲ, ὡς ἂν ᾖ παρ' αὐτῇ εὐτεκνίᾳ[92], εὐεργετεῖν τιμᾶται· φίλους ἔχειν, ἵνα δι' ἐκείνων ὁ φιλούμενος καὶ κοιμώμενος, ἵν' οὕτως εἴπω, κτᾶται πάντα καὶ θαυμάσια ὧν ἐπιθυμεῖ καὶ ὀρέγεται· τὰ γὰρ ἐναντία τούτων ἐστὶν ἃ ἀποτρεπόμεθα, οἷον, τὸ ἀσύμφορον, τὸ βλαβερόν[93].

C. 6, 2. "Ἔστω δὴ[94] ἀγαθόν·" ὥσπερ ἄνωτερον[95] τὴν εὐδαιμονίαν διωρίσατο[96], οὕτω καὶ νῦν λέγει διορισμοὺς τινὰς τοῦ ἀγαθοῦ, ἵνα τούτους μαθὼν, εὐχερῶς ἔχῃς δεικνύειν τόδε ἢ τόδε ἀγαθὸν, ἢ ὡς ποιητικὸν ἀγαθοῦ, ἢ ὡς φυλακτικὸν, ἢ ὡς καθ' αὑτὸ, ἢ ὡς δι' ἕτερον ἀγαθὸν, καὶ ὅσα ὁ νοῦς ἑκάστῳ ἀποδοίη, ἢ ὁ δημι-

79 νερέα Cod. 1869. 80 Om. 81 μονώτητος Cod. 1869. 82 χρόνος. 83 ἀπαξάπαντες. 84 Om. 85 προέθετο. 86 δὴ. 88 μόνον. 89 ἐν τῇ. 90 βούλης. 91 γὰρ καὶ τὴν. 92 εὐτεχνίᾳ Cod. 1869. 93 ἔστω δὲ ἀσύμφορον τὸ μὴ λυσιτελοῦν. 94 δὲ. 95 ἀνωτέρω. 96 ὡρίσατο.

Digitized by Google

ουργικὸς νοῦς, ἢ ὁ ἐν ἡμῖν θεωρητικὸς ἢ[97] πρακτικός. καὶ μήτις εἴποι[98] ὅτι ὁδὲ[99] ὁ νοῦς σοι ὁ θεωρητικὸς ἀποδώῃ κακὸν τί, ἆρα ἐκεῖνο ἀγαθόν· φημὶ οὖν· ὁ νοῦς ἐκεῖνος ἀποδοίῃ ἄν τι φαῦλον ὁ βυθισθεὶς θυμῷ ἢ ἐπιθυμίᾳ· ὁ δὲ μᾶλλον λογίσας τὸ ἄλογον τῆς ψυχῆς, νοῦς τέ ἐστι καὶ ἄρχων, καὶ ὀρθῶς ἀποδιδοὺς, "καὶ ὧ 5 "ἀκολουθεῖ τὰ τοιαῦτα·" τοῦτο τινὲς οὕτως εἶπον· ὅτι καὶ ἐκεῖνο ἀγαθὸν, ᾧ ἀκολουθεῖ τὰ τοιαῦτα, ἤτοι τὸ ποιητικὸν καὶ τὸ φυλακτικόν· εἶτα ὡς ἀπ' ἄλλης ἀρχῆς εἰς τὸ, "τὰ τοιαῦτα" στίζαντες, ἀναγινώσκουσιν οὕτω δυνάμει· ὅτι καὶ ἐκεῖνα ἀγαθὰ τὰ κωλυτικὰ τῶν ἐναντίων καὶ τὰ φθαρτικά· ἐγὼ δὲ ταῦτα ἀποδέχομαι, λέγω 10 δὲ καὶ οὕτως, ὡς ἓν ἀναγινώσκειν, "ᾧ ἀκολουθεῖ τὰ τοιαῦτα, καὶ τὰ κωλυτικὰ τῶν ἐναντίων καὶ τὰ φθαρτικὰ," ἤγουν ἓν πρὸς ἓν τιθεὶς, τὸ ποιητικὸν τῶν ἀγαθῶν καὶ τὸ φθαρτικὸν τῶν ἐναντίων· τὸ φυλακτικὸν τῶν ἀγαθῶν καὶ τὸ κωλυτικὸν τῶν ἐναντίων· εἰς δὲ τὴν τοιαύτην ἐνάγομαι ἔννοιαν, ἀπ'[1] αὐτοῦ ποδηγούμενος τοῦ Ἀρι- 15 στοτέλους· φησὶ γὰρ μετὰ ταῦτα· "ἀκολουθεῖ δὲ διχῶς·" οὐκ ἂν γὰρ μεταξὺ ἔθηκε τὸ, "καὶ τὰ κωλυτικὰ τῶν ἐναντίων καὶ τὰ φθαρτικά·" εἶτα εἶπε τὸ, "ἀκολουθεῖ δὲ διχῶς·" εἰ ἄλλος τόπος ἦν ὁ καὶ τὰ κωλυτικὰ τῶν ἐναντίων καὶ τὰ φθαρτικά· καὶ ἡ ἀντ' ἐλάττονος ἀγάθου μείζονος. ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς ὑποκειμένου τὸ 20 λεγόμενον ἐνταῦθα χρωμάτισον. ἔστω ὁ Χαβρίας· σήμερον ὤφειλε λαβεῖν μὲν ἀπὸ τοῦ βασιλείου β' νομίσματα, δοῦναι δὲ ὡς εἰσφορὰν χάριν ναυπηγίας τριήρεων δέκα νομίσματα. εἰ οὖν ὁ βασιλεὺς οἰκτείρας αὐτὸν, ἀντὶ τῶν ὀφειλομένων αὐτῷ δύο νομισμάτων, ἵ νομισμάτων ἐπιδοίῃ φιλοτιμίαν, ἀντὶ δὲ τῶν δέκα, ἤτοι τῆς εἰσ- 25 φορᾶς, κελεύει δοῦναι τὸν Χαβρίαν μόνα β' νομίσματα, ἆρα τὰ ἡ νομίσματα, καθ' ἃ ὑπερέχει ὁ δέκα τοῦ δύο, εἰσὶ λῆψις μὲν τοῦ ἀγαθοῦ. δέον γὰρ δύο λαβεῖν, ὁ δὲ, δέκα ἔλαβεν, ἀποβολὴ δὲ τοῦ κακοῦ, τῷ αὐτῷ Χαβρίᾳ· δέον γὰρ δοῦναι ζημίαν ἑαυτοῦ δέκα νομίσματα, ὁ δὲ δύο μόνα ἔδωκε. 30

C. 6, 3. Περὶ δὲ τοῦ "ᾧ ἀκολουθεῖ, ἢ ὕστερον ἢ ἅμα," ὃ πρὸ μικροῦ ἀνώτερον εἴρηται, ἀνάγνωθι ἐν τοῖς τοπικοῖς τόπον κ τοῦ τρίτου βιβλίου ἀναγκαῖον πάνυ ὡς τεχνικώτατος.

C. 6, 6. "Καὶ τὰς ἀρετὰς δὲ ἀναγκὴ ἀγαθὸν εἶναι." Εἰπὼν ἄνω τόπους στοιχειώδεις τοῦ ὅτι τὸ ἀγαθὸν, ἢ τόδε ἐστὶν ἢ τόδε, 35

97 ἢ εἰ. 98 εἴπῃ. 99 ἀδὲ Cod. 1869. 1 ὑπ'.

Digitized by Google

νῦν πάλιν οἷον δι' ὑποδειγμάτων ἐκεῖνα μεταχειρίζεται. αἱ ἀρεταὶ φησὶν ἀγαθόν εἰσιν, ἀλλ' ἀπὸ ποίου τόπου ὁρμᾶται τὸ, "ὅτι αἱ "ἀρεταὶ ἀγαθόν;" ἀπὸ τοῦ πέμπτου δηλαδὴ καὶ τοῦ ζ. Καὶ τὴν ἡδονὴν ἀγαθὸν εἶναι πόθεν δείξεις; ἀπὸ τοῦ τρίτου τόπου. Καὶ τὴν εὐδαιμονίαν ἀπὸ ποίου τόπου; ἀπὸ τοῦ πρώτου, δευτέρου καὶ ἕκτου· καὶ οὕτως ἐφίστανε περὶ τῶν ἀγαθῶν.

C. 6, 21. "Καὶ οὗ μὴ ἔστιν ὑπερβολὴ, τοῦτο ἀγαθόν." ἤγουν τὸ σύμμετρον· ἡ γὰρ σύμμετρος ἀσπὶς, ἀγαθὸν[2], ἡ δὲ κατ' ὑπερβολὴν μεγάλη, βλαβερόν.

C. 6, 22. "Ἐπὶ θύραις τὴν ὑδρίαν" οἱ μὲν εἰπόντες τοῦτο εἶπον, ὡς ἄρα καὶ εἶπον, καὶ ἀνάγνωθι καὶ αὐτό· ἐγὼ δὲ λέγω, οὕτως· εἶπεν ὁ Ἀριστοτέλης τὸ κοπιάσαι τινὰς ἐπὶ τινὶ πράγματι πολὺν χρόνον, ὡς τοὺς Ἕλληνας εἰς τὴν Ἴλιον[3], καὶ πρὸ τοῦ φθάσαι τὸ τέλος, τὸ δι' ὃ ὁ πολὺς πόνος, καὶ τὰ πολλὰ τῶν ἀναλωμάτων, θελῆσαι ὑποχωρῆσαι, οὕτω μηδὲν ἀνύσαντες[4] φορτικόν ἐστιν· ὥσπερ καὶ εἴ τις μακρόθεν ὑδρευσάμενος, καὶ πολλὰ κεκοπιακὼς, ὥστε τὸ ὕδωρ ἀναγεῖν, καὶ πολλὴν ὁδὸν ἐξανύσας, ἐν τῇ θύρᾳ γεγονὼς, ἐξ ἀπροσεξίας θραύσει τὸ ἀγγεῖον τοῦ ὕδατος· μάτην γὰρ ἐκεῖνος ἐκακοπάθησεν· ἐν αὐτῷ σχεδὸν τῷ τέλει ῥαθυμήσας, καὶ ἀπροσεκτήσας.

C. 6, 27. "Ἐὰν ἡ λανθάνῃ ἡ τιμωρία, ᾖ μικρὰ ἦ." Ἐν γὰρ πολέμῳ κἂν τραυματίζωνται οἱ μαχόμενοι, ἀλλ' οὖν ἀποκρύπτονται αὐτοῖς τὰ τραύματα[5], ὑπὸ τῶν βασιλικῶν ἀναρρήσιων[6], καὶ ἀξιωμάτων, καὶ φιλοτιμιῶν.

C. 6, 28. "Καὶ τὰ ἴδια, καὶ ἃ μηδείς." Οὕτως ἐγὼ ὡς ἓν ταῦτα νοῶ. ἡ γὰρ βασιλεία, ἰδία ἐστὶ μόνῳ τῷ βασιλεῖ, ἄλλος δὲ, οὐδεὶς ἔχει[7] αὐτήν.

C. 7, 2. "Καὶ μεῖζον μὲν αἰεὶ καὶ πλεῖον ἀεὶ πρὸς ἔλαττον." Ὡς λήμματα ταῦτα προλαμβάνει· τέως δὲ κατὰ ἀκρίβειαν ἔχε τὸ μεῖζον μὲν πρὸς μεῖζον λεγόμενον· τὸ δὲ πλεῖον, πρὸς ἔλαττον[8].

C. 7, 3. "Αὐτῷ δὲ ἀγαθὸν τὸ πρὸς αὐτὸν ταῦτα[9] πεπονθός."

2 ἀγαθὸς Cod. 1869. 3 ἐπὶ τὸ Ἴλιον, Κορινθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον· ζῃ ἔμπροσθεν τὸ ἑξῆς περὶ τούτου. 4 ἀνύσαντας. 5 πράγματα. 6 ἀναρρήσεων. 7 Cod. 1951. οὐδεὶς δὲ ἄλλος ἔχει. Cod. 1869. ἄλλος δὲ, οὐδέ τις ἔχει. 8 ἧττον. 9 ταῦτα.

Digitized by Google

Γράφεται καὶ οὕτως· "αὐτὸ δὲ ἀγαθὸν τὸ πρὸς αὐτὸ ταῦτα "πεπονθός·" ἤγουν ὁ μείζων γενόμενος[10] εὐδαίμων, πρῶτον γίνεται σώφρων, δίκαιος, πολύπαις, καλλίπαις, πλούσιος, εἶτα πάντα τὰ ψυχικὰ, τὰ σωματικὰ, τὰ ἐκτὸς ἀγαθὰ εὐτυχήσας, φθάνει εἰς τὸ τέλος τὴν εὐδαιμονίαν· καὶ ἔστιν εὐδαίμων· ἑαυτῷ οὖν ἀγαθόν 5 ἐστιν ὁ εὐδαίμων, ὁ δι' ἑαυτὸν ταῦτα πάντα πεπονθὼς τὰ ἀπηριθμημένα· ἔπαθε γὰρ τοιῶσδε[11] δρῶν, τὸ σωφρονίζεσθαι, τὸ σωφρονεῖν, τὸ δικαιοπραγεῖν· ἐπάλαισε πρὸς ἡδονὰς, ἐνίκησεν, ἔμαθεν ἐπιστήμας, ἐν πολέμοις πολλὰ ἐπόνησεν, ἠνδρίσατο· ἐγὼ μὲν ἐπὶ τοῦ τὰς ἕξεις ἔχοντος ἐποιησάμην τὸν λόγον· σὺ δὲ καὶ 10 ἐπὶ ἑκτοῦ ὁμοίως εἰπέ· ἀγαθὸν οὖν ἐστὶν ἑαυτῷ τὸ πεπονθὸς ταῦτα πρὸς ἑαυτό· ἤτοι τὸ ἔχον τὰ ἄλλα ἀφορῶντα καὶ νεύοντα πρὸς αὐτό. ἡ γὰρ εὐδαιμονία ἀγαθὸν, ἡ παθοῦσα τὰ προειρημένα ἀγαθά. σαφέστερος δὲ ὁ λόγος ἐπὶ τοῦ εὐδαίμονος.

Μεῖζον ἀγαθόν ἐστι τὰ πλείω τοῦ ἑνός· ἀλλὰ καὶ αὐτοῦ τοῦ 15 ἑνὸς συναριθμουμένου τοῖς πλείοσι· καὶ μεῖζον ἀγαθὸν τὰ πλείω τῶν ἐλαττόνων, συναριθμουμένων[12] τοῖς πλείοσι καὶ τῶν ἐλαττόνων, καὶ μὴ ἀπολύτως λεγομένων. εἰ γὰρ μὴ συναριθμήσεις, ψευδῆ εὑρεθήσῃ λέγων, οἷον τίς φημι· τὸ κάλλος, ἡ ποδώκεια, ὁ πλοῦτος, ἡ δικαιοπραγία, ἡ εὐγένεια, μεῖζον ἀγαθόν εἰσι μετὰ τῆς 20 εὐδαιμονίας παρὸ[13] ἡ[14] εὐδαιμονία μόνη, καὶ ἡ εὐγένεια πάλιν καὶ τὸ κάλλος, καὶ ἡ ἀνδρεία μετὰ τῆς βασιλείας μεῖζον ἀγαθόν εἰσι παρὸ[15] ἢ[16] βασιλεία μόνη. συναρίθμει οὖν καὶ τὴν βασιλείαν αὐτοῖς. εἰ γὰρ μὴ ἁμαρτήσεις, οὐ γὰρ εἰ πλείονα εἰσὶ ταῦτα τοῦ ἑνὸς, τῆς βασιλείας δηλαδὴ, ἤδη καὶ ταῦτα ἴδια τὰ πλείονα, 25 μεῖζον ἀγαθὸν τῆς βασιλείας εἰσὶν, ἀλλὰ μᾶλλον τὸ ἓν, ἤγουν ἡ βασιλεία, μεῖζον ἐστὶ τῶν πολλῶν αὐτῶν ἀγαθόν· τοῦτο δὲ εἰπὲ καὶ ἐπὶ[17] εὐδαιμονίας.

C. 7, 21. "Καὶ ὃ κεκρίκασιν οἱ φρόνιμοι, ἢ οἱ πάντες φρό- "νιμοι, ἢ οἱ πλείονες, ἢ οἱ κράτιστοι·" τοῦτο μεῖζον ἀγαθὸν 30 παρὰ τὸ κριθέν· ἢ παρὰ οὐ φρονίμων, ἢ οὐ πάντων, καὶ τὰ ἑξῆς· "κεκρίκασι δέ," φησιν, "οἱ φρόνιμοι ἢ ἁπλῶς ἢ κατὰ φρόνησιν." ὃ δὲ λέγει, τοιοῦτό ἐστι. πολλάκις οἱ φρόνιμοι κρίνουσιν ἁπλῶς ὡς ἄνθρωποι· πολλάκις οὐ μόνον καθὸ ἄνθρωποι, ἀλλὰ καὶ καθὸ

10 ὁ μέλλων γενέσθαι. 11 τοιῶς Cod. 1869. 12 συναριθμουμένως Cod. 1869. 13 Om. 14 ἢ. 15 Om. 16 ἡ. 17 περὶ.

Digitized by Google

φρονιμώτατοι[16]· οἷον τὶ λέγω, ὅταν λέγωσι, τίμα τὸν Θεὸν, ἀγάπα τοὺς φίλους σου, σέβου γονέας, ταῦτα ἂν ὡς ἁπλῶς ἄνθρωποι εἴποιεν· οὐδὲ γὰρ δυσκολίαν ἔχει τὸ λεγόμενον, οὐδὲ ἀνάγκης δεῖται ἀποδεικτικῆς, αὐτοφυῶς ἔχον παρ' ἡμῖν. ὅταν δὲ λέγωσι
5 τὸ ἀδικεῖσθαι κρεῖττον ἐστὶ τοῦ ἀδικεῖν, τότε κατὰ φρόνησιν τοῦτο καὶ ὡς φρονιμώτατοι[17] λέγουσι. καὶ γὰρ τί, ἤγουν οὐσίαν, καὶ ποσὸν καὶ ποιὸν, ἤτοι εἴτις οὐσία τοῖς φρονίμοις δόξει μεῖζον ἀγαθὸν, ἢ ὃ σύμμετρον αὐτοῖς φανείῃ, τότε καὶ ἡμῖν ἢ[18] τοιοῦτον δειχθήσεται.

10 Ἀγαθόν ἐστιν ὃ[19] λαβόντα τὰ ὄντα πάντα νοῦν καὶ φρόνησιν, ἤγουν ὁ λίθος, τὸ φυτὸν, ὁ βοῦς, ἕκαστον τούτων τῶν ὄντων δηλαδὴ ἕλοιτο. τὸ γὰρ ἕκαστον ἐπὶ τῶν πραγμάτων λαμβάνω· οὐ μὴν ἐπὶ τοῦ ἀγαθοῦ. εἰ δὲ καὶ οὕτως, οὐ διαμαρτήσεταί τις.

C. 7, 22. "Καὶ τὸ τοῖς βελτίστοις ὑπάρχον, ἢ ἁπλῶς, ἢ
15 "ᾗ βελτίοσιν[20]." εἰ δὲ βέλτιστοι οἱ στρατηγοὶ παραβαλλόμενοι πρὸς τοὺς ἁπλῶς στρατιώτας. εἰσὶ δὲ καὶ τῶν βελτίστων, ἤτοι τῶν στρατηγῶν βελτίους, ἢ οἱ στρατηγικώτεροι, ἢ οἱ ἀνδρειότεροι. ἡ οὖν ἀνδρεία ὑπάρχει καὶ ἐνθεωρεῖται τοῖς στρατηγοῖς, ἢ τοῖς στρατηγικωτέροις· μεῖζον ἄρα ἀγαθὸν τῆς ἰσχύος. καὶ ἀντι-
20 στρέψας αὖθις εἰπὲ, καὶ ὃ ἕλοιτο.

Πάλιν ὁ βελτίων ἁπλῶς, ἢ ὁ βελτίων τοῦ ἁπλῶς βελτίονος. ἤτοι ὅπερ ἕλοιτ' ἂν, ἢ ὁ δίκαιος, ἢ ὁ δικαιότερος, ἐκεῖνο μᾶλλον ἀγαθόν. οἷον τὸ ἀδικεῖσθαι, ἴσως ὁ δίκαιος, οὐκ ἂν ἕλοιτο· τοῦ γὰρ ἴσου ἐστὶ φύλαξ, τοῦ μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι δη-
25 λαδή. τοῦτο δὲ τὸ ἀδικεῖσθαι, ὁ δικαιότερος τῶν δικαίων ἕλοιτο, ὑπὲρ τὸ δίκαιος[21] ζῶν· ὡς οἱ τοῦ Χριστοῦ καὶ ἁγίου Εὐαγγελίου παρ' ἡμῖν.

C. 7, 30. "Καὶ ὧν αἱ ζημίαι μείζους." ἐπὶ τοῦ ἀπολέσαντος χρυσὸν παρὸ ἄροτρον, ἢ χαλκόν.

30 C. 7, 31. Ἡ πολιορκία κακὸν, ἀλλ' ἔτι δοκεῖ μεῖζον κακὸν, εἰ διαιρεθείη εἰς τὰ μόρια ἐξ ὧν σύγκειται. μόρια δὲ αὐτοῖς τὸ τὴν πόλιν ἐμπρησθῆναι, τὸ αἰχμαλώτους ἀχθῆναι τοὺς πολίτας, τὸ δεσμίους, τὸ παρανάλωμα ξίφους πάντας γενέσθαι. Καὶ ἡ σύνθεσις δὲ, τὰ αὐτὰ τῇ διαιρέσει δύναται. ὑπεροχὰς γὰρ καὶ

[16] φρονιμώτητος Cod. 1869. [17] φρονιμώτητος Cod. 1869. [18] ἢ Cod. 1869. [19] ὁ Cod. 1869. [20] βελτίωσις Cod. 1869. [21] δίκαιον.

Digitized by Google

αὕτη ποιεῖ, οἷον ἐπὶ πολιορκίας, ἢ μᾶλλον ἐπὶ ἁλωσέως· οὐ μόνον τὸ πῦρ ἀμαθύνει τὴν πόλιν, ἀλλὰ καὶ οἱ λαοὶ φθινύθουσι, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τὰ τέκνα δέσμια ἄγονται καὶ αἰχμάλωτα· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ αἱ γυναῖκες τοῖς πολεμίοις δοῦλαι.

C. 7, 32. "Ἐξ ὧν ὑπῆρξε ταῦτα." ἤγουν ἐξ οἵων γονέων εὐτε- 5
λὴς ὢν ὑπῆρξεν ὁ Ἰφικράτης. "ταῦτα" ἤγουν τὸ στρατιώτης, τὸ ἀνδρεῖος, τὸ ὑπερπολεμῶν τῆς πάτριδος.

C. 7, 33. Ὁ ποιητὴς Πίνδαρος, ἦν "αὐτοδίδακτος," ἤτοι ἐκ γενετῆς εἰμὶ σοφός φησι, καὶ οὐκ ἀπὸ διδασκάλου τοιοῦτος γέγονα. 10

C. 7, 31. Ὁ Μελέαγρος ἐγεννήθη τῷ Οἰνεῖ ἀπὸ τῆς Ἀλθαίας· τούτου δ' ὄντος ἡμερῶν ἑπτὰ, παραγενομένας τὰς μοίρας φασὶν εἰπεῖν, ὅτι τότε τελευτήσει Μελέαγρος, ὅτε ὁ καιόμενος οὗτος ἐπὶ τῆς ἐσχάρας δαλὸς κατακαῇ· τοῦτο ἀκούσασα, τὸν δαλὸν ἀνείλετο ἀπὸ τῆς πυρᾶς, ἡ Ἀλθαία, καὶ κατέθετο ἐν λάρνακι θησαυ- 15
ρίσασα. γέγονεν ὁ Μελέαγρος γενναῖος. ἐτησίων οὖν καρπῶν τοῖς θεοῖς παρὰ τοῦ Οἰνέως ἀναθειμένων[22], οὐκ ἐδόθη θυσία καὶ τῇ Ἀρτέμιδι. ἐμήνισεν ἡ θεὸς, καὶ ἐπαφῆκε κατὰ Αἰτωλίας καὶ Καλυδῶνος κάπρου τί χρῆμα ἐξαίσιον, ὃς τήν τε γῆν ἄσπορον ἐποίει, καὶ τὰ δένδρα ἐξέταμε, καὶ τοὺς ἀνθρώπους ἀπέκτεινε. συνήχθη- 20
σαν οὖν οἱ ὁμοροῦντες γενναῖοι ἄνδρες τοῦ Οἰνέως συγκαλεσαμένου· ὃς ἔθετο καὶ τῷ ἀποκτενοῦντι[23] τὸν σῦν ἀριστεῖον, τὸ δέρμα. ὁ γοῦν Μελέαγρος ἀποκτείνας τὸν κάπρον, ἔλαβε τὴν δορὰν, ἣν καὶ τῇ αὐτοῦ Ἀταλάντῃ τῇ ἐρωμένῃ, συγκυνηγετούσῃ αὐτῷ, ἐδωρήσατο· ἐλυπήθησαν οὖν καὶ οἱ ἀδελφοὶ τῆς Ἀλθαίας κατὰ τοῦ 25
ἀνεψιοῦ αὐτῶν Μελεάγρου, ὡς μὴ αὐτοῖς συγκυνηγέταις οὖσι δωρησαμένου τὴν δορὰν[24], ἀλλὰ τῇ παλλακῇ. καὶ συνάραντες λόγους, ἀπεκτάνθησαν παρὰ Μελεάγρου. Οἱ γοῦν Καλυδώνιοι, τῆς γὰρ Καλυδῶνος ἦρχον οἱ φονευθέντες, ἐστράτευσαν κατὰ τῆς Αἰτωλίας. ὁ γοῦν Μελέαγρος ἀναγκαζόμενος παρὰ τῆς μητρὸς 30
ἐξελθεῖν εἰς τὸν πόλεμον, οὐκ ἤκουσεν αὐτῆς, οἷα φθασάσης αὐτὸν ὑβρίσαι ὡς ἀναίρετην τῶν ἀδελφῶν αὐτῆς. ἀλλ' ἡ γυνὴ τὰ τῆς ἁλώσεως προθεμένη, τοῦτον εἰς τὸν πόλεμον ἀνέστησεν.

C. 7, 36. Τὸ εὖ πάσχειν αἱρήσεται πᾶς, κἂν μέλλῃ λαθεῖν· πρὸς ἀλήθειαν γὰρ ἀφορᾷ. οὐκ ἂν δὲ ἕλοιτό τις λαθεῖν, εἴ τινα 35

22 ἀνατιθεμένων. 23 ἀποκτείναντι. 24 δωρεὰν.

Digitized by Google

εὖ ποιήσει· διὸ καὶ ὁ Ὀδυσσεὺς, οἷα οὔτις[25], τυφλώσας τὸν Κύκλωπα, καὶ ἐντὸς τῆς νηὸς αὐτοῦ γεγονὼς, οὐκ ἠνέσχετο τὸ ἔργον αὐτοῦ λαθεῖν, ἀλλ' ἐν μέσῳ γεγονὼς τῷ πελάγει, ἐβόησε τὸ "Κύκλωψ, ἐγώ εἰμι Ὀδυσσεὺς ὁ τυφλώσας σε."

5 C. 7, 37. Πῶς κἂν ἄδικος εἴη κἂν δίκαιος, αἱρεῖται δοκεῖν καὶ πᾶσι φαίνεσθαι δίκαιος παρὸ εἶναι. πῶς γὰρ ὁ ἄδικος ἂν εἴη δίκαιος· εἰ δὲ δίκαιος εἴη τις, ἀγαπᾷ τὸ παρὰ πᾶσιν ἄδεσθαι δίκαιος, καὶ κρεῖττον ἔχει τοῦ εἶναι τὸ φαίνεσθαι.

C. 7, 41. Γράφεται καὶ οὕτως· "καὶ τὸ ἀγαπητὸν, τοῖς μὲν,
10 μόνον, τοῖς δὲ, μετ' ἄλλων." γράφεται καὶ οὕτως· "ἀγαπητὸν γὰρ ἂν εἴη μᾶλλον, εἰ μόνον εἴη ἢ μετ' ἄλλων."

C. 8, 3. Ἐπὶ τῆς δημοκρατίας ἕνα[26] ἐκλέγονται ἢ τρεῖς, ἢ τέσσαρες, οἳ καὶ κρίνουσι, καὶ οὐχὶ πάντες· διὰ τοῦτο εἶπε, "μόριον τούτων τὶ ἂν εἴη." εἶτα εἶπεν, "ἢ ὅλον τούτων," ὡς ἐπὶ
15 τῆς ἀριστοκρατίας ὅλον τὸ ἄρχον κρίνει. ἤτοι οἱ ἄριστοι καὶ οἱ φρόνιμοι· ἀλλὰ καὶ ἐπὶ τῆς ὀλιγαρχίας τὸ ὅλον κρίνει, ἤτοι οἱ ὀλίγοι ἐκεῖνοι, οἱ ἄρχοντες· καὶ ἐπὶ τῆς μοναρχίας ὁ εἷς. τὸ δὲ "κλήρῳ," καὶ οὕτως ἑρμηνεύεται. ἀντὶ τοῦ κατὰ γενεὰν, καὶ οἷον κλήρῳ πατρώῳ. τελευτήσαντος γὰρ τοῦ πατρὸς, ὁ υἱὸς διαδέχεται
20 αὐτοῦ τὴν βασιλείαν· ὡς ἐπὶ τῶν Ἰβήρων ἔχει καὶ τῶν Κελτῶν βασιλέων. περὶ δὲ τῶν τοιούτων πολιτειῶν, ἀνάγνωθι τὰ ἐν τοῖς ἠθικοῖς μου σχόλια, ἀλλὰ καὶ τὸ ξυλοχάρτιον[27] κοντάκιον τὸ ἐν τῇ περὶ μεθόδου δεινότητος[28]. ἡ μὲν κατὰ τάξιν βασιλεία ἦν[29] ἡ ὡρισμένη, ἐν ᾗ ὁ δῆμος καὶ οἱ στρατιῶται ἐκλέγονται βασιλέα τόνδε. ἢ τὸ
25 "κατὰ τάξιν" ἔνιοι λέγουσιν, ἀντὶ τοῦ κατὰ γένος καὶ κατὰ διαδοχὴν, ὡς τὸ, τοῦ πατρὸς βασιλέως θανόντος, βασιλεύειν τὸν υἱόν. "ἥδ' ἀόριστος τυραννίς·" οἷον εἴ τις, οὐ προβληθεὶς παρὰ τοῦ δήμου καὶ τῶν στρατιωτῶν ἄρχειν, παραλαβὼν τὴν βασιλείαν μετὰ πολέμου καὶ αἵματος. "τυραννίδος δὲ τέλος, φυλακή·"
30 ἤγουν αἱ λεγόμεναι παραμοναὶ, Πέρσαι, ξιφηφόροι.

C. 8, 5. Ἥπερ[30] αἱροῦνται, πρὸς τοῦτο ἐπαναφέροντες·" ἤγουν ἀναφέροντες πάντα ὅσα ἂν καὶ συμβουλευώμεθα, πρὸς τοῦτο τὸ τέλος· οἷον, αἱρούμεθα, καὶ ἢ ἀντὶ τοῦ ὅπου αἱρούμεθα, εἴτι ἀριστοκρατία εἴη, τὸ οἰκεῖον αὐτῇ τέλος ζητοῦντες· εἴτε ἄλλη τις πολιτεία.

25 In marg. οὔτιν δὲ ἐκάλεσεν ἑαυτὸν, ὡς μεγάλα τὰ ὦτα ἔχοντα. 26 ἕνεκα.
27 Cod. ξυλοχορ. 28 δεινότητι Cod. 1869. 29 ἤγουν. 30 ἥπερ Cod. 1869.

Digitized by Google

C. 8, 6. "Δέον ἂν τὰ ἤθη ἑκάστης πολιτείας" μιμεῖσθαι καὶ ἔχειν τὸν συμβουλευόμενον. οἷον[31] ἐν μὲν δημοκρατίᾳ, μὴ ἐπηρμένον ἑαυτὸν δεικνύειν, ἀλλὰ κοινωνικὸν καὶ δημοτικὸν, καὶ εὐλαβῆ, καὶ μέτριον τὸ ἦθος· ἵνα μὴ τυραννικώτερος φανείη ὑποπτευθεὶς, ἐν ἀριστοκρατίᾳ ἐμβριθὴς, καὶ ὑψηλὸς, ἀπὸ τῶν νόμων καὶ τῶν ἐθῶν τῶν πολιτικῶν λαμβάνων τὸ παρρησιάζεσθαι· ἐν δημοκρατίᾳ ἐπηρμένος διὰ τὸν πλοῦτον καὶ ἀλαζονικώτερος· μὴ τοῖς πρέσβεσι τοῖς ποθὲν ἀπαντήσασι πειθόμενος τὰ πολλὰ, καὶ αὐτοῖς ταπεινὸν ἑαυτὸν ὑπενδιδούς· ἀλλὰ τὸν Σθενελαΐδαν[32] μιμούμενος, ἐπὶ μάχην κινοῦντα· ἀλλὰ τὸν Περικλέα ζηλῶν, πρεσβείαν Λακωνικὴν ἀτιμάζοντα· ταῦτα δὲ, ἤτοι τὰ ἤθη μιᾶς ἑκάστης πολιτείας ληφθήσεται, διὰ τῶν αὐτῶν, ἤτοι τῶν πολιτειῶν.

"Τὰ μὲν γὰρ ἤθη φανερὰ γίνεται κατὰ τὴν προαίρεσιν," ἤτοι ἐκ τῆς προαιρεσέως· ἀφ' ὧν γὰρ προαιρεῖται τίς καὶ συμβουλεύει, φαίνεται τὸ ἦθος αὐτοῦ. "Ἡ δὲ προαίρεσις, ἀναφαίνεται." ἢ καὶ ἀναφέρεται πρὸς τὸ οἰκεῖον τέλος.

Ἐν ὕμνῳ Θήρωνος Ἀκραγαντίνου φησὶν ὁ λυρικὸς Πίνδαρος, ἑαυτὸν ἐπαινῶν ὡς αὐτοφυῆ σοφὸν, οὕτως.

σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ·
μαθόντες δὲ λάβροι
παγγλωσσίᾳ, κόρακες ὡς,
ἄκραντα γαρύετον
Διὸς πρὸς ὄρνιχα θεῖον.

λέγει οὖν, ὥσπερ κόρακες πρὸς ἀετὸν φιλονεικοῦσιν, οἱ διδακτοὶ πρὸς τοὺς φύσει αὐτοδιδάκτους. αἰνίττεται δὲ εἰς τε ἑαυτὸν τοῦτο, καὶ εἰς Σιμωνίδην. τὸ δὲ αὐτοδίδακτος δ' εἰμὶ ἐν τῷ χ̄ Ὀδυσσείας Ὅμηρος λέγει περὶ τοῦ κιθαρῳδοῦ Φημίου, παρακαλοῦντος Ὀδυσσέα μὴ κτανθῆναι. τέως δ' οὖν τὰ εἰρημένα εἶπεν ὁ Πίνδαρος, πρὸς Βακχυλίδην τάχα ἀποτεινόμενος τρόπον τινὰ, ἀνταγωνιστὴν αὐτοῦ γεγονότα.

C. 9, 2. "Τὸ ἐπαινεῖν μετὰ σπουδῆς" τινὲς τὸ μετὰ τέχνης εἶπον, καὶ κανόνων ῥητορικῶν, τῶν ἐγκωμιαστικῶν δηλαδὴ κεφαλαίων· τὸ δὲ "χωρὶς σπουδῆς," ἤτοι ἐκ τοῦ παρατυχόντος. Δευτέρα πίστις τὸ ἦθος ἔστι. πρώτη[33] τὰ ἐνθυμήματα· εἴρηκε γὰρ ἐν τῇ ἀρχῇ τοῦ βιβλίου τὸ, "αἱ γὰρ πίστεις ἔντεχνον ἐστὶ "μόνον· τὰ δ' ἄλλα προσθῆκαι." ἴδωμεν δὲ[34], εἰ δοκεῖ, τῶν πίστεων τὴν διαίρεσιν· καὶ ἔστιν αὕτη·

31 Om. 32 στενελαΐδαν Cod. 1869. 33 πρώτη δὲ. 34 δὲ καὶ.

Digitized by Google

καλὸν ἐκεῖνο τὸ ἀγαθὸν λέγεται τὸ καὶ ἡδὺ, τὸ μεθ' ἡδονῆς· ὥστε εἴτι ἡδὺ, καλὸν καὶ ἀγαθόν ἐστιν· οὐ μὴν εἴτι ἀγαθὸν, καὶ ἡδύ· ἡ γὰρ ἐπίδειξις τῆς ἀνδρείας καὶ τὸ μανθάνειν ἡμᾶς, ἀγαθὰ μέν εἰσιν, οὐ μὴν ἡδέα· πικρία γὰρ καὶ τραύματα ἔνεισι τούτοις. μεγίστη ἀρετὴ ἐστὶν, ἡ μὴ ἑνὶ τινὶ περιοριζομένη, ἀλλ' εἰς πολλῶν ὠφελείαν χεομένη. οὕτως ἡ μὲν δικαιοσύνη καὶ ἡ ἀνδρεία μέγιστη ἀρετή· σμικρὰ δὲ ἡ σωφροσύνη· παρὰ γὰρ μόνῳ ἐστὶ τῷ ἔχοντι αὐτὴν, ὥστε ὃ εἶπεν ἄνω, "ὅτι καλόν ἐστιν "ὃ ἂν δι' αὐτὸ αἱρετὸν ὂν, "ἐπαινετόν ἐστι," τοιοῦτον[37] ἔχει τὸν νοῦν. ἐκεῖνο



35 τεκμήριον. 36 δεικνυμένον. 37 τοιοῦτον δ'.

Digitized by Google

ἐστὶ καλόν, φησι, δι' ὃ ἐπαινεῖταί τις, ἤγουν τιμᾶται, προσκυνεῖται, ἀγαλματοποιεῖται. ἄρα ἡ ἀνδρεία ἐστὶ τοιοῦτον, οὐ μὴν ἡ σωφροσύνη· διὰ γὰρ τὴν ἀνδρείαν τοῦδέ τινος πάντες αὐτῷ ὑπεξιστάμεθα, προσκυνοῦμεν αὐτὸν, ἀνδριάντας αὐτῷ χαλκεύομεν[38]. ὥστε ἡ ἀνδρεία ἐπαινετὸν μὲν, οὐ μὴν[39] ἡδύ. διὰ τοῦτο πόλλους τόπους καὶ διαφόρους δίδωσιν ὁ φιλοσοφος· καὶ περὶ τοῦ καλοῦ νῦν ὃ τέλος σκοπιμώτατον, καὶ σκοπὸς δοκεῖ τελικώτατος τῷ πανηγυρίζοντι. ὡς δὴ ἔναγχος, καὶ περὶ τοῦ συμφέροντος, ἤτοι τοῦ ἀγαθοῦ, πολυχουστέρους τόπους[40] ἐξέδωκε τῷ συμβουλεύοντι.

C. 9, 15. Σημεῖόν ἐστι τῆς ἀνδρείας, τὸ μὴ ταράττεσθαι ἐν πολέμῳ· πάθος δὲ ἀνδρείας τὸ θυμοῦσθαι· τὸ σφάττεσθαι δὲ μᾶλλον ὧδε ἐγὼ λέγω, τὸ τραυματίζεσθαι, τὸ κατακόπτεσθαι. τὸ δὲ δικαίως πάσχειν, τὸ δικαίως τραυματίζεσθαι, τὸ δικαίως θνήσκειν, κακόν. τῶν γὰρ κακούργων τὸ οὕτω πάσχειν· ὃ καὶ Σωκράτης ἐν τῇ εἱρκτῇ φρουρούμενος πρὸς τὸν ἑταῖρον αὐτοῦ δακρύοντα καὶ λέγοντα "ἀδίκως ἀποθνήσκεις ὦ Σώκρατες," παρέδειξεν εἰπών· "οἴει[41] δέ με δικαίως ἀποθνήσκειν;" τοῦτο γὰρ τῶν κακούργων ἐστί.

C. 9, 18. "Καὶ ἃ μὴ αὐτῷ ἀγαθά·" οἷον ἐκεῖνα εἰσὶ καλὰ, ἤτοι ἐπαινετὰ, ἃ ποιοῦμεν χάριν ἄλλων· οἷον, εἰ σκέπω πτωχοὺς, εἰ τροφὰς αὐτοῖς δίδωμι. εἰ γὰρ ἐμαυτοῦ[42] χάριν τραπέζας πολυτελεῖς ἱστῶ, οὐκ ἔστι τοῦτο ἐπαινετὸν, καὶ τιμώμενον, καὶ ὑμνούμενον.

C. 9, 20. Εἴτε ὁ Ἀλκαῖος ὁ ποιητὴς ἤρα κόρης τινὸς, ἢ ἄλλος τίς ἤρα, παράγει οὖν ὅμως ἡ Σαπφὼ διάλογον· καὶ λέγει ὁ ἐρῶν πρὸς τὴν ἐρωμένην, "θέλω τι εἰπεῖν πρὸς σὲ, ἀλλὰ ἐντρέπομαι[43], "αἰδοῦμαι, αἰσχύνομαι." εἶτ' αὖθις ἀμοιβαδὶς[44] ἡ κόρη λέγει πρὸς ἐκεῖνον, "ἀλλ' ἐὰν ᾖς ἀγαθὸς, καὶ ὃ ἔμελλες πρός με[45] "εἰπεῖν, ἦν ἀγαθὸν, οὐκ ἂν, ᾐδοῦ καὶ ᾐσχύνου οὕτως· ἀλλὰ μετὰ "παρρησίας ἔλεγες ἂν, βλέπων πρός με ἀνερυθρίαστως."

C. 9, 28. Λέγε πολλάκις τὸν ἠλίθιον σώφρονα, καὶ τὸν εὐλαβῆ δειλόν· οὕτω καὶ παρὰ τῷ Θουκιδίδῃ (III. 82). "τόλμα μὲν

38 κατασκευάζομεν. 39 μὴν δὲ. 40 Om. 41 οἴει ὤου (sic).
42 ἑαυτοῦ Cod. 1869. 43 Om. 44 ἀμοιβαδὸν. 45 Om.

Digitized by Google

"γὰρ ἀλόγιστος, ἀνδρείας[46] φιλεταῖρος ἐνομίσθη[47], μέλλησις δὲ "προμηθὴς, δειλία εὐπρεπής· τὸ δὲ σῶφρον, τοῦ ἀνάνδρου πρό-"σχημα."

C. 9, 30. "Σκοπὸν[48] δὲ καὶ παρ' οἷς" εἰ γάρ τις ἐπαινεῖ
5 Ἀθηναίους ἐν Ἀθηναίοις, εὐπαράδεκτα καὶ καλὰ ἔσονται τὰ λεγόμενα, ὡς καὶ εἰς αὐτοὺς τοὺς ἀκροατὰς διαβαίνοντα· εἰ δέ τις ἐπαινεῖ Ἀθηναῖον[49] ἐν Λακεδαιμονίοις, καὶ εἰσὶν εὐπαράδεκτα τὰ λεγόμενα ἐν Λακεδαιμονίοις, καὶ ταῦτα ἀλλοτρίοις οὖσι καὶ ἐχθροῖς, καλὰ ἄρα ταῦτα εἰσί. σκώπτοντος δὲ τοῦ Σωκράτους,
10 οἶμαι[50], τοὺς Ἀθηναίους ὡς συκοφάντας, ὁ λόγος. δυνάμει γὰρ τοῦτο λέγει, "οὐκ ἔστι θαυμαστὸν, ἐὰν ἐπαινῆτε τοὺς Ἀθηναίους, "ὦ Ἀθηναῖοι, ἀλλ' ἐάν τις ἐπῄνει τοὺς Ἀθηναίους παρ' ἄλλῃ "πόλει, καὶ ἄλλοις ἀκροαταῖς· τότε γὰρ ἐλέχθησαν[51] ἂν παρ' "ἐκείνων τῶν ξένων οἱ ἐπαινοῦντες τοὺς Ἀθηναίους ὡς ψευδόμε-
15 "νοι·" συκοφάντας γὰρ ἐπαινοῦσι καὶ ἀπανθρώπους, καὶ σκληροὺς ἀνθρώπους, καὶ μηδεμίαν πρός τινας ἀνθρώπους φιλίαν ἔχοντας.

C. 9, 30. "Δεῖ δὲ τὸ παρ' ἑκάστοις τίμιον," καὶ ὂν καὶ εὐαπόδεκτον[52] φαινόμενον, λέγειν ὅτι ἔχουσι τοῦτο[53]. καὶ οἷον, ἐπεὶ Λακεδαιμονίοις τὸ κομᾶν ζηλωτὸν, εἰπέ· "ὑμεῖς εὐχάριτες,
20 "ὦ Λακεδαιμόνιοι, ἐστέ· ἐμπρέποντες τῇ κόμῃ" ἐπεὶ Σκύθαις τὸ τοξεύειν, ἐπανατίθου τούτοις αὐτό[54]· εἰπὼν "ὅτι ὃ θαυμαστὸν "ἐστὶν ὄντως παρ' ὑμῖν, καὶ μόνοις ὑπάρχει οὕτω καλῶς τε καὶ "εὐτυχῶς."

Πᾶν μὲν καλὸν καὶ τίμιον, ἀγαθόν· οὐ μὴν πᾶν ἀγαθὸν,
25 καλόν.

C. 9, 31. "Καὶ τὸ τοῦ Σιμωνίδου." Ἔνιοι ἔφασαν ὡς τῆς Ἑκάβης ταῦτα τὰ ἔπη,

ἢ πατρός τε καὶ ἀνδρὸς οὖσ' ἀδελφῶν τε τυράννων
δυσδαίμων γενόμαν πασῶν οἰκτροτάτα.

30 C. 9, 33. "Ἔστι δὲ ἔπαινος." Ἐπεὶ περὶ πανηγυρικοῦ λόγου ἐνταῦθα τεχνολογεῖ· ὁ δὲ πανηγυρικὸς διαιρεῖται εἰς ἐγκώμιον

46 ἀνδρὶ. 47 ἐνομίσθη ἐλογίσθη. 48 Leg. σκοπεῖν cum Arist. edd. 49 Ἀθηναίους. 50 οἷον. 51 ἠλέχθησαν Cod. 1869. 52 εὐαπόδεκτον. ἀποδεκτὸν. 53 τοῦτο ὅτι Cod. 1869. 54 τοῦτο αὐτοῖς.

Digitized by Google

καὶ ψόγον, νῦν τέλειόν τι ποιῶν, διδάσκει τί διαφέρει ἐγκώμιον, ἔπαινος, μακαρισμός· ὡς δὴ καὶ ὁ ῥήτωρ ἐδίδαξεν ἡμᾶς διαφορὰν ἐγκωμίου, ὕμνου, ἐπαίνου. ἐνταῦθα οὖν λέγει ὁ Ἀριστοτέλης, ὡς καὶ ἐν τῷ τέλει τοῦ πρώτου τῶν ἠθικῶν εἶπεν, ὅτι "ὁ μὲν ἔπαινος "ἐστὶ λόγος μέγεθος δεικνύων ἕξεως τινὸς ἀρίστης·" οἷον ἀνδρείας, 5 δικαιοσύνης· ὡς ἐὰν εἴπῃς· "δίκαιος ἐστὶν ὁ Ἀριστείδης. τί λέγω "δίκαιος; δικαιότατος ὑπὲρ ἅπαντα δίκαιον." "ἀνδρεῖος ὁ δεῖνα· "μᾶλλον δὲ εἰπεῖν ἀνδρειότατος," καθ' ὑπεροχὴν ἔχων τήνδε τὴν ἀρετήν. διὰ τοῦτο εἶπε "μέγεθος·" ὁ γὰρ λέγων, ὁ δεῖνα ἀνδρεῖος, οὐκ εἶπε μέγεθος ἀρετῆς, ἀλλ' ἀρετὴν μόνον. ὁ δὲ εἰπών, "μὰ 10 "τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας," καὶ ἀνδρείους ἐδήλωσε, καὶ διὰ τὸν ὅρκον, ηὔξησε σφίσι τὸν ἔπαινον τῆς ἀνδρείας. οἷα γὰρ θέους αὐτοὺς ἐπῄνεσεν· εἰς γὰρ θεοὺς ὀμνύειν ἐστι. τοιοῦτον μὲν ὁ ἔπαινος. τὸ δὲ ἐγκώμιον, ὅταν καὶ τὰς πράξεις, καὶ τὰ ἀποτελέσματα τῶν πράξεων, ἤγουν τὰ ἔργα, ἐξαίρῃς τῷ λόγῳ· "τὰ 15 "δὲ κύκλῳ," φησὶν, οἷον προγόνους, ἔθνος, πάτριδα, ἀνατροφὴν· παιδείαν· πίστεις ἔχε τοῦ τοιοῦτον εἶναι κάλλιστον τὸν ἐγκωμιαζόμενον, ὅτι καὶ ἐκ τοιούτων προγόνων ὥρμητο, καὶ οὕτως ἐτράφη, καὶ ἐπαιδεύθη. ὥστε ὅρα τί ἔμαθες παραλαμβάνειν ἐγκωμιάζων ἐν τῷ βιβλίῳ τῶν προγυμνασμάτων τοῦ Ἀφθονίου[55]. προγόνους, πατέρας, 20 πατρίδας, ἔθνος, ἀνατροφὴν, πράξεις, σύγκρισιν. αἱ μὲν οὖν πράξεις εἰσὶ τὸ συνεκτικώτατον αἴτιον τοῦ ἐγκωμίου· τὰ δὲ λοιπὰ, πίστεις τῶν πράξεων· ἡ δὲ αὔξησις, ἤγουν ὁ ἔπαινος, ἢ ἀπὸ τῆς συγκρίσεως παραλαμβάνεται, ἢ ὁ ὑπέρ τινος κοινὸς λεγόμενος τόπος· οὕτως ὑπέγραψεν αὐτὸν καὶ ὁ ῥήτωρ εἰπών· "κοινὸς τόπος ἐστὶ λόγος 25 "αὐξητικὸς τῶν προσόντων τινὶ καλῶν."

C. 9, 33. "Τὰ δ' ἔργα σημεῖα τῆς ἕξεως εἰσίν." Οὕτω γραπτέον καὶ μὴ "πράξεως·" ὡς παρ' ἐνίοις τῶν ἀντιγράφων φέρεται.

C. 9, 34. "Μακαρισμὸς δὲ καὶ εὐδαιμονισμὸς," ὁ ὕμνος ἐστὶ τῶν θεῶν, τῶν ἡρώων, τῶν πᾶσαν ἀρετὴν συλλαβόντων. 30

C. 9, 36. Ὥσθ' ὅταν ἐπαινέσαι βούλῃ, ἤτοι ὅρα τί ἂν συμβουλεύσῃς[56] τῶν νῦν προκειμένων εἰς ἔπαινον, εἰ ἔλθοι καιρὸς ὥστε αὐτῷ ταῦτα ἢ ἄλλῳ συμβουλεύσασθαι τὰ τοιαῦτα· καὶ

[55] τοῦ ἀφθονίου om. Cod. 1869. [56] συμβουλεύσοις.

Digitized by Google

ὅταν μέλλῃς τινὶ συμβουλεύσασθαι καὶ συμβουλεύῃς, ὅρα πῶς ἂν αὐτὸν εἰς[57] ταῦτα καὶ διὰ ταῦτα ἐπῄνεσας, εἰς ἃ νῦν αὐτὸν προτρεπόμενος συμβουλεύεις.

C. 9, 37. "Ἡ λέξις," φησὶν, "ἔσται ἀντικειμένη·" ἐκεῖ μὲν κωλύουσα καὶ ἀποτρεπομένη τὸ πρᾶγμα, ἐνταῦθα δὲ, οὐ κωλύουσα· ἐκεῖ μὲν γὰρ λέγεις, οὐ μοιχεύσεις, οὐ κλέψεις· ἐκεῖ δὲ, οὐκ ἐμοίχευσεν, οὐκ ἔκλεψεν· ἢ οὐ μοιχεύει, οὐ κλέπτει. εἶπεν ὅτι "μετατεθέντα τῇ λέξει· καὶ πάλιν εἶπε, "μετατιθέναι δεῖ" ἤτοι εἶπε καὶ στρέφειν·" εἶτ' ἐπὶ τούτοις εἶπεν· "ἡ δὲ λέξις ἀντικειμένη ἔσται ἐξ ἀνάγκης·" μετάθεσιν οὖν καὶ στροφὴν οἶμαι λέγεις, ὅτε οὕτως εἴπῃς[58]· "οὐ δεῖ σε μέγα φρονεῖν ἐπὶ τῷ "πλούτῳ." συμβουλεύων, καὶ αὖθις ἐπαινῶν, οὕτω μεταθέσεις τὸ ὄν[59]· λέγων, "μέγα φρονῶν Ἀλκιβιάδης, οὐκ ἐπὶ τῷ πλούτῳ." ἀντικειμένη δὲ ἡ λέξις τότε σοι νοεῖται, ὅταν ὧδε μὲν, κωλύῃς τὴν πρᾶξιν, ἐκεῖ δὲ οὐ κωλύεις[60]· τὸ δὲ κωλύειν καὶ οὐ κωλύειν τόδε, ἀντίθεσις.

C. 9, 38. "Καὶ τὰ ἐκ τῶν χρόνων καὶ τῶν καιρῶν·" πῶς ταῦτα ἄλλα καὶ ἄλλα, καὶ οὐχὶ τὰ αὐτὰ εἰσὶν ἐνθυμήματα· ἢ τῶν καιρῶν[61] μὲν εἰπέ· ὡς ἐν καιρῷ πολέμου, λιμοῦ, χειμῶνος, θερινοῦ καύματος ὁ δεῖνα ἠνδρίσατο· ἐν τοιούτοις καιροῖς νέος ὢν, παίδιον ιε ἐνιαυτῶν.

"Κἂν μὴ καθ' αὑτὸν εὐπορῇς," ἤτοι κἂν ὁ ἐπαινούμενος οὐδὲν[62] ἀγαθὸν πώποτε ἔπραξεν· οὐδὲ ἐπιχειρημάτων ἀφορμάς σοι ἐπιχορηγῇ, πρὸς ἄλλους αὐτὸν ἀντιπαράβαλλε[63], λέγων· "ὅτι τῶν "ἄλλων πάντων φυγόντων τῶν[64] ἐν τῷ πολέμῳ, οὗτος μόνος οὐκ "ἔφυγε·" τὸ δὲ ἀντιπαραβάλλειν καὶ ὁ Ἰσοκράτης ἐποίει, ἡνίκα ὑπερηγόρει τινὸς ἐν δικαστηρίῳ· ἀδεξίος γὰρ ὢν δικάζεσθαι οὗτος ὁ πανηγυρικώτατος ἄνθρωπος, ὅτε ὑπερεμάχει τινὸς, παρέβαλε τοῦτον τὸν αὐτῷ προσφυγόντα, ἢ μετὰ τοῦ ἀντιδίκου αὐτοῦ, ἢ καὶ μετ' ἄλλων τινῶν.

C. 9, 40. "Ὅλως δὲ τῶν κοινῶν εἰδῶν ἅπασι." Κοινὰ εἴδη

57 αὐτοῖς. 58 ἔποις. 59 οὐ. 60 κωλύῃς. 61 τῶν καιρῶν. 62 μηδὲν. 63 ἀντιπαράβαλε Cod. 1869. 64 τῶν om.

μὴ νοήσῃς[65] τρία τῆς ῥητορικῆς εἴδη, ὡς ἔνιοι εἶπον· ἀλλὰ γνῶθι, ὅτι εἰσὶ τινὰ πᾶσι τοῖς ῥητορικοῖς λόγοις κοινὰ καὶ χρήσιμα· ἤγουν δικανικοῖς, συμβουλευτικοῖς, πανηγυρικοῖς. ποῖα ταῦτα τὰ κοινά; τὸ ἐνθύμημα, τὸ παράδειγμα, ἡ αὔξησις, οἱ[66] ἀπὸ τοῦ μᾶλλον τόπου, καί τινα τοιαῦτα. ἔστι γὰρ ἐν πανηγυρικῷ λόγῳ χρήσασθαί σε καὶ παραδείγμασι, καὶ ἐνθυμήμασι, καὶ τῇ αὐξήσει· ἔστι τοῖς τοιούτοις χρήσασθαί σε καὶ ἐν δικανικῷ λόγῳ καὶ συμβουλευτικῷ· ἀλλὰ νῦν φησιν, ὅτι πλεονάζει ἕκαστον ἐν τῷ οἰκείῳ· οἷον ἐν μὲν τῇ ἐπιδείξει καὶ τῷ πανηγυρικῷ λόγῳ, μᾶλλον ἡ αὔξησις χρήσιμος παρὸ ἐν τοῖς ἄλλοις εἴδεσι. πῶς δὲ ἡ αὔξησις χρήσιμος; ὅτι περ τὰς πράξεις ἐγκωμιάζεις τοῦ ἐπαινουμένου· αἱ δὲ ἀληθεῖς εἰσὶ πάντως, κατεργασθεῖσαι παρὰ τοῦ ἐγκωμιαζομένου. λοιπὸν, κἂν τε θέλῃ, κἂν τε μὴ θέλῃ ὁ ἐγκωμιάζων, αἱ πράξεις εἰσὶν οἷαι εἰσὶ, καὶ οἷαι ἐγένοντο. ἁρμόζουσιν[67] οὖν τῷ πανηγυρίζοντι μὴ οἷαί εἰσι ταύτας εἰπεῖν· ἀλλ' αὐξῆσαι αὐτὰς καὶ λαμπρύναι, ὡς ὁ μέγας Θεολόγος ἐν τῷ ἐπιταφίῳ μεγαλύνει· "τίς εἶδε; τίς ἤκουσε τοιοῦτον θήραμα; ἔλαφοι τῶν λόφων ποθὲν "ὑπερφανέντες," καὶ τὰ ἑξῆς.

C. 10, 18. "Ἔστι δὲ καὶ τὸ σύνηθες καὶ τὸ ἐθιστὸν ἐν τοῖς "ἥδεσι[68]." σύνηθες λέγεται τὸ ἀποπερατωθὲν καὶ φθάσαν τὸ τέλος· ἐθιστὸν δὲ τὸ ἔτι ἐθιζόμενον, καὶ οὔπω φθάσαν, ὥστε εἶναι καὶ λέγεσθαι σύνηθες.

C. 11, 10. "Καὶ τὸ μεταβάλλειν ἡδύ·" εἰς φύσιν γὰρ τὸ προσκορὲς ἀεὶ φορτικόν ἐστι, καὶ οὐ φίλιον τῇ φύσει· οἷον τὸ ἐσθίειν ἀεὶ κρέα ἀλεκτορίδων, προσκορὲς γεγονὸς, ἀνόρεκτόν ἐστι τῷ ἐσθίοντι[69]· καὶ ὁ ἐσθίων αὐτὰ, οὐδὲ δοκεῖ ἐσθίειν· ἄφιλον γὰρ βρῶσιν ἡ φύσις εἰς ἀναπλήρωσιν τοῦ σώματος οὐ προσίεται· διὸ μεταβληθήτω ἡ τροφὴ, ἵνα τὸ πρόσαρμα δέξηται ἡ φύσις, καὶ τραφῇ τὸ σῶμα. ἡδὺ οὖν φησιν ἡ μεταβολὴ τοῦ βρώματος· εἰς γὰρ φύσιν, ἤγουν εἰς τὴν κατὰ φύσιν πλήρωσιν τοῦ σώματος ὁρᾷ· τὸ γὰρ αὐτὸ ὀρνίθειον κρέας ἀεὶ προσλαμβανόμενον, κόρον

65 νοήσῃς τὰ τρία. 66 ἡ. 67 ἁρμόζοντι Cod. 1869. 68 εἴ.
69 ποιεῖ τὸν ἐσθίοντα.

Digitized by Google

καὶ ὑπερβολὴν ποίει· καὶ διὰ τοῦτο κακίαν τῆς καθεστηκυίας ἕξεως.

C. 11, 24. "Καὶ αἱ περιπέτειαι" ἡδύ· περιπέτειαι εἰσὶν αἱ ἀνωμαλίαι τῆς τύχης· γέγονέ τις ἰδιωτὴς καὶ ταπεινὸς, βασιλεὺς ἢ στρατηγὸς, ἢ πλούσιος· εἶτα ἐκεῖθεν αὖθις ἐξεβλήθη τῆς βασιλείας, καθῃρέθη τῆς ἀρχῆς, ἐν πενίᾳ διόλωλε· περιπέτεια ἐστὶ καὶ τὸ ἀνελπίστως συμβάν· ὥσπερ ὁ μάρτυς Εὐστάθιος, ὁ πολύαθλος, θαυμασίως εὗρε παῖδας τὲ καὶ γυναῖκα[70].

Τὸ δυνατὸν καὶ ἀδύνατον, κοινά ἐστι τοῖς τρισὶν εἴδεσι τῆς ῥητορικῆς· ὃν γὰρ ἐπαινεῖ ὁ πανηγυρικὸς ῥήτωρ, δείκνυσι δύναμιν ἔχοντα ποιῆσαι τόδε κατόρθωμα, καὶ ποιήσαντα· ὄντινα δ' αὖθις ψέγει, δείκνυσι δύναμιν ἔχοντα τόδε ποιῆσαι ὑπὲρ τῆς πόλεως, καὶ μὴ ποιήσαντα· ἢ ὡς ἀδυνάτοις ἐπιχειρήσαντα, καὶ ἐντεῦθεν τὴν πόλιν βλάψαντα.

C. 12, 11. Ἀδικοῦσι καὶ οἷς κρύψις ἐστὶν ἢ τρόπος· ὡς ὁ Σίσυφος ἐκεῖνος ἐποίει· περὶ τὰ σίσσημα τῶν ζώων, βλέπων αὐτὰ καὶ μετασχηματίζων· καὶ ἴδε τὴν ἱστορίαν ἀπὸ τοῦ Ὁμήρου.

"Καὶ εἰ εἰσὶν ἰδίᾳ που θέσεις εὔποροι·" ἤγουν εἰ εἶεν λαβύρινθοι τινὲς, καὶ κρύψεις ἐν αὐτοῖς τὰ φρούρια. γράφεται καὶ "διαθέσεις εὔποροι," ἤτοι μηχαναὶ εὐφυεῖς καὶ πλούσιαι καὶ ποίκιλαι τρόπων.

"Ἐναντίοι τοῖς ἤθεσιν" εἰσὶν, οἱ διὰ χρήματα ὀνείδη καὶ ἀτιμίας ὑφιστάμενοι, καὶ οἱ ὑπὲρ γονέων καὶ φίλων ἑαυτοὺς κινδύνοις διδόντες, καὶ διὰ τὴν ἐπ' ἐκείνοις ἀγάπην καὶ αἰκιζόμενοι καὶ ζημιούμενοι καὶ ἐξοριζόμενοι· ἐκεῖνοι μὲν γὰρ φαύλου ἤθους εἰσὶ καὶ μικρόψυχοι· οὗτοι δὲ, σπουδαίου τὲ ἤθους καὶ μεγαλόψυχοι.

C. 12, 19. "Ἀδικοῦσι καὶ τοὺς μὴ εὐλαβεῖς," ἤγουν τοὺς μὴ φοβουμένους, ἢ μὴ προσέχοντας· ὥστε μὴ ἀπολεσθῆναι τὰ πράγματα αὐτῶν· ἀλλὰ καταπιστεύοντας παντὶ ἀνθρώπῳ εἰσερχεσθαι εἰς τὴν οἰκίαν αὐτῶν, ὅπου βιβλία, ἢ εἰκόνες, ἢ νομίσματα κεῖνται. οὕτως ἐγώ ποτε ἀπώλεσα βιβλίον μου, τὸν Φιλόστρατον τὸν νῦν ἐν Ἐφέσῳ, κοντάκιόν μου εἰς τὴν γεωμετρίαν, καὶ ἀλλάττα[71], καταπιστευόμενος μαθηταῖς καὶ φίλοις.

[70] γυναῖκας Cod. 1869. [71] εἰς ἄλλάττα Cod. 1869. ἄλλα τινὰ.

Digitized by Google

C. 12, 23. "Καὶ πρὸς οὓς ἔχουσι πρόφασιν" ἀδικοῦσι καὶ ἐκείνους εἰς οὓς ἔχουσι πρόφασιν· λέγοντες ὅτι ἀπὸ τῶν προγόνων ὑμῶν, ἢ ὑφ' ὑμῶν, ἢ ὑπὸ συμμάχων καὶ φίλων ὑμῶν ἐζημιώμεθα· ἢ ἐμέλησαν καὶ ἐφρόντισαν οἱ ὑμέτεροι βλάψαι ἡμᾶς[72] ποτέ, κἂν οὐκ ἠδυνήθησαν.

C. 12, 25. "Καὶ οἷς μὴ λυσιτελεῖ," ἀδικοῦσι ξένους[73], Αἰγυπτίους[74], φέρε εἰπεῖν, ἢ Κορινθίους[75]· οἳ οὐ δύνανται ἐπιμεῖναι τῇ Κωνσταντίνου, καὶ ἐπιτηρῆσαι δίκαια κατὰ τοῦ ἀδικήσαντος· καὶ ζητῆσαι ἀπ' αὐτοῦ ποινὰς καὶ ἐκτίσεις ὑπὲρ ὧν ἠδικήθησαν· διότι πολλάκις καὶ μέχρι δύο ἐνιαυτῶν οὐ τελειωθήσεται τὰ δικαστήρια αὐτῶν. καὶ τί ἂν ποιήσωσι ξένοι ὄντες; ἀλλὰ καὶ οἱ γεωργοὶ συντόμως συμβιβάζονται· οὐδὲ γὰρ δύνανται καθ' ἡμέραν παρίστασθαι[76] τῷ δικαστηρίῳ, καὶ ἕλκειν τὸν ἀδικήσαντα· τὶς γὰρ αὐτοῖς τὴν ἄμπελον ἢ τὰ λήϊα ἐργάζοιτο[77], καὶ φύλαττοι ἕτερος;

C. 12, 30. "Καὶ τοὺς ὑπ' ἄλλων μέλλοντας, ἂν μὴ αὐτοὶ," ἀδικοῦσι καὶ τοὺς Βενετίκους, τοὺς ὑπὸ τοῦ Σικελοῦ μέλλοντας ἀδικηθῆναι, οἱ Ῥωμαῖοι· ἂν γὰρ μὴ οἱ Ῥωμαῖοι αὐτοὺς ἀνδραποδίσωνται, προφθάσας ὁ Σικελὸς ληΐσεται[78] τούτους. "ὡς οὐκέτι "ἐνδεχόμενον βουλεύσασθαι." τὸ ἐνδεχόμενον ἀντὶ γενικῆς κατὰ Ἀττικὸν ἀρχαϊσμὸν ἐξενήνεκται, ἀντὶ τοῦ ἐνδεχομένου.

Τὰ δὲ "κοττάβια" οἱ μὲν φασὶν ὡς ἐν τῇ Σουΐδα[79] εὕρηται· τύμπανα, ἢ σαυλάκια, ἢ ἐκπώματα, ἢ κωμύδρια οὕτω λεγόμενα[80]. "κότταβος γάρ ἐστι, φασὶν, ἢ λάταξ, χαλκῆ φιάλη, ἣν μεταξὺ "τοῦ δείπνου[81] ἐτίθεσαν οἴνου πεπληρωμένην· εἶτα εἰς μικρὰ "ποτήρια ἐμβαλόντες, ἀπὸ ὕψους ἐρρίπτουν ἐπὶ τῷ ψόφον ἀπο-"τελέσαι, ὃς ἐκαλεῖτο κότταβος· ἐπῃνεῖτο δὲ ὁ μείζονα ψοφον "ποιῶν· καὶ μεθυσοκότταβοι ἐλέγοντο, οἱ τοῦτο ἐργαζόμενοι." κοτταβίζει· ἤτοι ποτήριον ἀναρριπτεῖ· ὃ ἐποίουν οἰνιζόμενοι· κοτταβίζειν· παίζειν εἰς χαλκᾶς φιάλας· καὶ φησὶν ὁ κωμικὸς,

συνεπίνομέν τε ἀλλήλοις καὶ συνεκοτταβίζομεν[82].

72 ὑμᾶς Cod. 1869. 73 ἀδικοῦσι καὶ ξένους. 74 αἰγυπτίῃ Cod. 1869.
75 Κορινθίοις Cod. 1869. 76 παρέσασθαι Cod. 1869. 77 ζοιτο (sic.) σοιτο
78 ληΐζεται Cod. 1869. 79 σοῦ. Cod. 1869. ἢ σουΐδα Cod. 1951.
80 Quæ præcedunt non inveniuntur in Suidæ Codd. 81 οἴνου Codd.
82 Ap. Etym. M. p. 533, 14. συνεπίνομέν τε καὶ συνεκοτταβίζομεν.

Digitized by Google

ὥσπερ ὁ Αἰνεσίδημος Γέλωνι τῷ Συρρακουσίων τυράννῳ ἔπεμψε σκυλάκια Μολοττικὰ λεγόμενα θηροκτόνα[83], ἀνδραποδισαμένῳ τὴν Γέλαν[84], οὐ μὴν αὐτὴν κατασχόντι. ἔπεμψε ταῦτα ὡς χάρισμα, ὅτι ἔφθασεν[85], ἤτοι προέλαβε[86] τὸν Γέλωνα, καὶ κατέσχε τὴν Γέλαν[87]· ὡς καὶ αὐτὸς μέλλων, ἤτοι ὁ Γέλων, εἰ ἠδυνήθη. τινὲς δὲ τὸ ἀνάπαλιν εἶπον ἐπὶ Αἰνεσιδήμου καὶ Γέλωνος· τὸ δ' ἀληθέστατον τῆς ἱστορίας γραφήσεται κάτω, ἐν τῷ τέλει τοῦ λόγου· ὁ Αἰνεσίδημος εἰδὼς ὅτι μέλλει αὐτῷ ὁ Γέλων διὰ τὰ κοττάβια ἀδικεῖν, ἔφθασεν[88] αὐτῷ ταῦτα προπέμψαι.

C. 13, 9. "Ἐπίγραμμα" λέγεται ἡ ἐπιτίτλωσις[89], ἤγουν ἡ αἰτίασις, καὶ ἡ κατηγορία. διὸ καὶ "ὁ Πιλάτος," φησὶν, "ἔθηκε τὴν αἰτίαν αὐτοῦ γεγραμμένην," ἤγουν τὸ ἐπίγραμμα. "πολλάκις ὁμολογοῦμεν λαβεῖν[90] τὰ βιβλία σοῦ· ἀρνούμεθα δὲ "τὴν αἰτίασιν ἣν καθ' ἡμῶν ἐνάγεις·" λέγων "ὅτι ταῦτα ἐκλε-"ψαμεν·" λέγομεν οὖν "τὰ βιβλία σου ἀνελαβόμην· οὐχ ὡς "κλέψας, ὡς σὺ λέγεις· ἀλλ' ὡς ἐνέχυρα ἐφ' οἷς σε[91] ἐδάνεισα." ἢ πολλάκις, "τὴν μὲν αἰτίασιν καταδέχομαι· τὸ δὲ ποσὸν ἀρνοῦ-"μαι ὃ λέγεις·" οἷον λέγω οὕτως· "ἀληθῶς ὑφήρηκα παρά "σου[92], ἀλλὰ τρεῖς λίτρας μόνας, οὐ μὴν ὅσας σὺ λέγεις," τὰς ἓξ δηλαδή· "Συγγενέσθαι τῇ Ξανθίππῃ ταύτῃ ὁμολογῶ, ἀλλὰ "νόμῳ πορνείας, οὐ μὴν μοιχείας· ἀπολελυμένην γὰρ αὐτὴν ὑπε-"λάμβανον, καὶ ἠγνόουν ἄνδρα ἔχειν τὸν Σωκράτην."

C. 14, 1. "Ἀδίκημα μεῖζον ἐστὶ τὸ ἀπὸ μείζονος ἀδικίας·" ὁ γὰρ τρεῖς ὀβολοὺς κλέψας ἀπὸ τοῦ ἱεροῦ, τί ἂν οὐκ ἐποίησε κακὸν οὗτος μέγα, εἰ ἠδύνατο; μέγα δὲ δικαιώμα ἐκ τοῦ ἐναντίου πάλιν ἐστὶ τὸ ἀπὸ μείζονος δικαιοσύνης· ἐναντίον γὰρ δικαιοσύνῃ ἀδικία· οἷον ἡ χήρα ἡ δοῦσα τῇ γάζῃ τρεῖς ὀβολοὺς ἢ τὰ δύο λεπτὰ, μείζονα δικαιοσύνην ἐποίησεν· εἰ γὰρ δύο λεπτὰ ἔχουσα ταῦτα ἔδωκε τῷ Θεῷ, πόσα ἂν καὶ ποῖα ἀναθήματα προσέφερεν, εἰ πολύολβος ἦν ἡ τοιαύτη καὶ βαθύπλουτος;

C. 14, 1. "Ἔστι δὲ ταῦτα ἐκ τοῦ ὑπερέχειν τῇ δυνάμει."

83 θηροκτίνα Cod. 1869. 84 γέλλαν Cod. 1869. 85 προέφθασε. 86 προέλαβα. 87 γέλλαν ἔφθασαν Cod. 1869. 88 ἔφθασαν Cod. 1869. 89 ἐπιτίλωσις Cod. 1869. 90 λαβεῖν om. 91 σοι. 92 ὑφήρημαι α π σου.

Digitized by Google

Εἰ γὰρ τὸ τριωβέλιον[93] μικρόν ἐστι κατὰ τὴν περιγραφὴν καὶ τὸ ἀποκείμενον[94], ἀλλά γε τῇ δυνάμει τῆς φαύλης προαιρέσεως ὑπέρκειται· καὶ εἰ τὰ δύο λεπτὰ τῆς ἱερᾶς χήρας μικρά[95] εἰσι τῷ σταθμῷ, ἀλλ' ὑπερβάλλει τῇ ἀγαθῇ προαιρέσει καὶ τῇ δυνάμει τῆς ἀρετῆς. 5

C. 14, 3. "Ἢ οὗ ὁ παθὼν ἐτίμησεν ἑαυτόν." τὸ "ἐτίμησεν" ἀντὶ τοῦ ἀπετιμήσατο νόει.

Καὶ ὁ πρὸς "τὰ ἄγραφα" δίκαιος, πολλῷ μᾶλλον περὶ τὰ ἔγγραφα· ὁ γὰρ περὶ τὰ ἔθη, οἷς οὐκ ἔστιν νόμος, φυλάττων μὴ παραβαίνειν τὰ δίκαια τὰ ἔθιμα, πολλῷ μᾶλλον ἔσται δίκαιος 10 περὶ τοὺς ἀναγκαστικοὺς νόμους, οὓς οὐ δεῖ τὸν φρονοῦντα παραβαίνειν· ἀμείνονος γὰρ, ἢ ἀνθρώπου, ἢ ἔθους, ἀκουστεὸν τὸ μὴ δι' ἀνάγκην δίκαιον εἶναι, ὃ περὶ τοὺς νόμους ἐστὶν, ἀλλὰ παρὰ τῇ ἑαυτοῦ ἐξουσίᾳ κεῖσθαι, καὶ τῇ προαιρέσει ἀγαθὸν καὶ δίκαιον εἶναι· ὃ περὶ τὰ ἔθη φαίνεται. 15

C. 14, 7. "Ἄλλον δὲ τρόπον εἰ παρὰ τὰ γεγραμμένα." ἀνώτερον μὲν ἔδειξε, μᾶλλον δίκαιον εἶναι τὸν τὰ ἔθη φυλάττοντα· πολλῷ γὰρ μᾶλλον οὗτος φυλάξει τὰ τοῦ νόμου· νῦν ὧδε τοὐναντίον ἀπὸ τοῦ ἀδικεῖν ἐπιχειρεῖ· εἰ γὰρ περὶ τοὺς νόμους ἀδικεῖ, μὴ φοβούμενος αὐτοὺς διὰ τὰ ἐπικείμενα ἐπιτίμια, πολλῷ μᾶλλον ἀδικήσει οὗτος περὶ τὰ ἄγραφα, οἷς οὐ κεῖνται ἐπιτίμια καὶ ποιναί. 20

C. 15, 3. "Ἐὰν μὲν ἐναντίος ᾖ τῷ πράγματι," ἤγουν τῇ ὑποθέσει σου, ὁ γεγραμμένος νόμος, ὃν[96] ἀντίδικος προβάλλεται κατὰ σοῦ, κάκιζε καὶ ἀναίρει αὐτὸν, ἐπιχειρῶν ὅτι ὁ φυσικὸς 25 νόμος κρείττων ἐστί· καὶ διὰ τοῦ φυσικοῦ νόμου θέλω δικασθῆναι· οἷον, ἐδάνεισεν τινὶ ἑκατὸν νομίσματα, διῆλθε[97] τριακονταετία· ζητεῖς αὐτὸν τὰ παρά σου· ὀγὲ[98] χρώμενος τῷ νόμῳ τῷ γεγραμμένῳ περὶ οὐσου καπτίονος[99], παραγράφεταί σε λέγων· "διῆλθεν "ἡ τριακονταετία· καὶ ἐὰν ἀληθῶς ἐχρεώστουν σοι, οὐ δώσω σοι 30 "τί[1]." εἰπὲ οὖν σύ· "ἀλλ' ἀπὸ τοῦ φυσικοῦ νόμου ἔνοχος εἶ "δοῦναι μοι τὸ χρέος· δι' οὗ φυσικοῦ νόμου θέλω δικάζεσθαι[2]."

93 τριωβόλιον. 94 ὑποκείμενον. 95 χήρας ἐκείνης μικρ. 96 ὁ. 97 παρῆλθε. 98 δοῦναι σοι τὰ ἑκατὸν νομίσματά σου, ὀδὲ. 99 De usu captionis. 1 οὐδὲν. 2 δικάσασθαι.

Digitized by Google

καὶ πολλὰ ἂν εἴποις ἐπιχειρῶν πρὸς τὴν τοῦ γεγραμμένου νόμου ἀναίρεσιν. πρῶτον μὲν, ὅτι ὁ φυσικὸς νόμος κοινὸς Ἕλλησι καὶ βαρβάροις· δεύτερον, ὅτι εἰ τοῖς ἐπιεικέσι πιστεύομεν, διαπίπτει ὁ γραπτὸς νόμος· τρίτον, ὅτι προτροπὴ κοινή ἐστιν, ὅτι δεῖ τὸν
5 δικαστὴν γνωμῇ τῇ ἀρίστῃ χρώμενον, δικάζειν· ἐπεὶ οὖν ὀφείλει ὁ δικάζων γνωμῇ τῇ ἀρίστῃ δικάζειν, λοιπὸν ὀφείλειν ὃ νοήσει δίκαιον, ἐκεῖνο προτιθέναι· ἀναιρήσει ἄρα αὗτος τὸν νόμον φορτικὸν ὄντα καὶ ἄδικον· εἰ γὰρ μὴ τοῦτ' ἔμελλε ποιεῖν ὁ δικαστὴς[2] ποτὲ, οὕτως ἂν ἦν ἡ κοινὴ προτροπὴ, ὅτι δεῖ τὸν δικαστὴν κατὰ
10 τοὺς κειμένους ἐγγράφους νόμους ἀεὶ δικάζειν, καὶ μηδέποτε παραβαίνειν αὐτούς· διαπίπτει ἄρα καὶ οὕτως ὁ γραπτὸς νόμος· καὶ ἐκ τῶν εἰκότων δικάσει ὁ δικαστὴς ποτὲ τὸν νόμον παρακρουσάμενος.

C. 15, 10. "Καὶ εἰ ἀμφίβολός ἐστι νόμος[3], ὥστε στρέ-
15 "φεσθαι." εἰς τὸ νοεῖσθαι καὶ κατὰ τοῦ Ἀλκιβιάδου οὕτως, καὶ ὑπὲρ τοῦ Ἀλκιβιάδου ἄλλως· καὶ ὁρᾷν εἰς ποίαν διαγωγὴν δικαιοτέρως νοεῖται[4] ἢ συμφερόντως· εἶτα τούτῳ χρῆσθαι, καὶ τοῦτον προβάλλεσθαι. ῥιπτέσθω[5] καὶ οὗτος ὁ νόμος διὰ τὸ ἀμφίβολον· βλάπτει γὰρ ἐνίους κακῶς ἐκλαμβανόμενος· οἷος ἐστὶν οὗτος ὁ
20 νόμος ἀμφίβολος. δεῖ τὸν ξένον εὐ ποιεῖν τὴν πόλιν· διχῶς γὰρ νοεῖται· καὶ χρήσαιο τούτῳ[6] καὶ ὑπὲρ τοῦ ξένου, καὶ κατὰ τοῦ ξένου· καὶ αὖθις καὶ οὗτος ὁ νόμος[7]· "ἑταίρα χρυσία εἰ φοροίη, "δημόσια ἔστω· ἢ δημοσία ἔστω."

C. 15, 12. "Ἐὰν δὲ ὁ γεγραμμένος." ἔμαθες ὅτι ἐάν σε
25 βλάπτῃ ὁ γεγραμμένος νόμος εἰς τὸ πρᾶγμά σου, ἤτοι[8] εἰς τὴν ὑπόθεσίν σου[9], σπεῦδε αὐτὴν ἀναιρεῖν[10], αἷς ἔγνως ἐπιχειρήσεσιν· ἐὰν δὲ τὸ ἀνάπαλιν, ὠφελῇ σε μᾶλλον ὁ γεγραμμένος, βλάπτῃ δὲ τὸν ἀντίδικόν σου, καὶ ὁρμᾷ ἐκεῖνος κατασεῖσαι τὸν νόμον, σὺ μᾶλλον ἐπιστήριζε τὸν νόμον[11] δι' ἐπιχειρήσεων τινῶν· καὶ ἐὰν
30 προβάληται ὁ ἀντίδικός σου εἰς τὴν ἀναίρεσιν τοῦ νόμου τὴν κοινὴν προτροπὴν, ἥτις ἐστὶν, ὅτι δεῖ τὸν δικαστὴν γνώμῃ τῇ ἀρίστῃ

2 δικαστὴς ποιεῖν ποτὲ. 3 ἐστι ὁ νόμος. 4 κεῖται. 5 ῥιπτέτω Cod. 1869. 6 χρήσαιο ἂν τούτῳ. 7 ὁ νόμος om. 8 νόμος εἰς τὸ πρᾶγμά σου ἤτοι om. 9 κατὰ τὴν σὴν ὑπόθεσιν. 10 ἀναιρῆσαι. 11 αὐτόν.

Digitized by Google

χρώμενον δικανίζειν· ὥσπερ δὴ καὶ σὺ προεβάλου[11] πρὸ μικροῦ εἰς τὴν τοῦ νόμου ἀναίρεσιν, ἀντίστηθι γενναίως, εἰπὼν πρὸς τὸν ἀντίδικον· "οὐ νόεις ὡς ἔχει ἡ προτροπὴ, οὐδὲ συνίης, τί βούλε-
"ται τὸ γνώμῃ τῇ ἀρίστῃ" οὐδὲ[12] γὰρ τοῦτο προτρέπεται ἡ προτροπὴ, "ὅτι, ὦ δικαστὰ, ἐνίοτε καὶ παρὰ τὸν γεγραμμένον νό- 5
"μον δίκαζε·" ἀλλὰ τοῦτο δηλοῖ, "ὅτι ὦ δικαστὰ, πολλάκις
"ἀγνοεῖς, τὸ τί λέγει ὁ νόμος περὶ ταύτης ἢ[13] ταύτης τῆς ὑπο-
"θέσεως· μὴ οὖν ἀμαθῶς[14] δίκαζε, θαρρῶν εἰς τὸ ἀξίωμά σου·
"καὶ αἱρῶν τὴν ὀφρῦν, καὶ δικάζων ὡς θέλεις· μὴ τοῦτο ποίει,
"ἀλλὰ γνώμῃ τῇ ὀρθῇ χρώμενος δίκαζε· ἤγουν, ἐὰν ἀγνοῇς τὸν 10
"νόμον, ψηλάφα[15] τὰς[16] βίβλους τῶν νόμων, τὸν ἔγγραφον νόμον
"ἀνέλιττε, καὶ τοῦτον εὑρὼν, κατ' ἐκεῖνον δίκαζε, καὶ οὐκ αν ἐπι-
"ορκήσῃς[17]· εἰ λέγεις, ὅτι μὰ τοὺς θεοὺς δίκαια ἐδίκασα ὑμῖν, ὦ
"οὗτοι, εἰ μὲν οὖν ἀναγνοὺς[18] τὸν νόμον δικάσῃς[19], οὐκ ἂν ἐπίορ-
"κος φανείης· λέγων, ὅτι μὰ τοὺς θεοὺς ἀληθῶς[20] μέλλω δικά- 15
"σειν· ὅρκοι γὰρ τὸ παλαιὸν προέβαινον καὶ παρὰ τῶν δικαστῶν·
"ἢ ὅτι μὰ τοὺς θεοὺς ἀληθῶς ἐδίκασα· εἰ δὲ μὴ ἀναγνοὺς αὐτὸν
"δικάσεις· εἰδὲ ἀμαθὴς τοῦ νόμου, οὔτε οὖν γνώμῃ ἀρίστῃ ἔκρι-
"νας, ἀλλὰ καὶ ἐπίορκος ὀπτάνῃ, καὶ ὅτι οὐδὲν διαφέρει μὴ, ἄν-
"θρωπε σὺ, ὁ ἀναιρῶν τὸν γεγραμμένον τοῦτον νόμον, κακῶς λέγεις." 20
ἵνα μὴ χρώμεθα τῷ νόμῳ τούτῳ τῷ τεθέντι παρὰ τῶν ἀρχαίων[21] καὶ σοφωτάτων νομοθετῶν. εἰ οὖν κεῖται, δεῖ αὐτῷ χρᾶσθαι ἡμᾶς· εἰ γὰρ οὐκ ἐμέλλομεν αὐτῷ χρᾶσθαι[22], οὐδ' αὐτό. ἐὰν αὖ[23] κεῖται μὲν, ὡς καὶ κεῖται κεκυρωμένος τοῖς ἀρχαίοις, οὐ χρώμεθα δὲ αὐτῷ, ἤτοι λοιπὸν, ὡς εἰ οὐδὲ κεῖται[24]· οὐδὲν γὰρ διαφέρει, τοῦ 25
μὴ δὲ ὅλως κεῖσθαι, τοῦ[25] μὴ χρᾶσθαι ἡμᾶς[26]. "καὶ πάλιν κακῶς
"λέγεις, σοφιστικῶς ἀναιρῶν τὸν κείμενον νόμον· τὸ δὲ σοφίζεσθαι
"ἐπὶ τοῖς ἀναγκαίοις, κακόν· ὥσπερ γὰρ εἰ ἄρρωστος ὢν, καὶ παρά
"τινος ἰατροῦ θεραπευόμενος προσετάττου ὑπ' ἐκείνου μὴ φαγεῖν
"ὑείων κρεῶν· σὺ δὲ κατήσθιες ἐκείνων· εἶτα ἐψεύδου καὶ ἐπιλογί- 30

11 προεβάλλου. 12 σὺ δὲ Cod. 1869. 13 ἢ κατὰ. 14 ἀμαθῶς. 15 διέρχου. 16 τὰς om. 17 ἐπιορκήσοις. 18 ἀναγνῶς Cod. 1869. 19 δικάσεις. 20 ἀληθῆ. 21 ἀρχαιοτάτων. 22 χρῆσθαι. 23 οὐδ' ἂν ἔκειτο κεκυρωμένος· εἰ οὖν. 24 λοιπὸν οὕτως ἔχει ὡς εἰ μηδὲ ἔκειτο. 25 τὸ Cod. 1869. 26 κειμένῳ.

Digitized by Google

"ζου[27], καὶ παρεσοφίζου τὸν ἰατρὸν, μᾶλλον ἑαυτὸν ἔβλαπτες· "οὕτω καὶ σήμερον διὰ σοφιστικῶν ἐπιχειρημάτων, τὸν κείμενον "νόμον παρασοφιζόμενος καὶ παραλογιζόμενος, μᾶλλον ἑαυτὸν "βλάπτεις, παρὸ ἐὰν[28] ἠρρωστῇς[29], τὸ σῶμα ποιῶν ἑαυτὸν ἀπειθῆ
5 "τῷ ἄρχοντι, ἤτοι τῷ νόμῳ."

C. 15, 12. "Οὐ γὰρ τοσοῦτον βλάπτει ἡ ἁμαρτία τοῦ ἰατροῦ," ἤτοι ἡ εἰς τὸν ἰατρόν σου ἀνηκοία σου, καὶ ἁμαρτία σου, καὶ ἀπειθεία σου, καὶ ἀπροσεξία σου, ὅσον τὸ τὴν ψυχήν σου κινδυνεῦσαι, εἰς τὴν τῶν νόμων ἀπείθειαν. μὴ ζήτει οὖν εἶναι τοῦ νόμου σοφώ-
10 τερος, ἢ τοῦ κανόνος ὀρθότερος καὶ εὐθύτερος.

C. 15, 17. Ἐκ τῶν εἰκότων δεῖ κρίνειν εἰπὲ, εἰ ἀπορεῖς μαρτύρων· οὕτω καὶ Αἰσχίνης εἶπεν ἐν τῷ κατὰ Τιμάρχου, "ὅτι[30] "καὶ τοὺς ξένους οὐκ ἀπὸ τῶν μαρτύρων ἐν τοῖς δήμοις, ἀλλ' ἀπὸ "τῆς ἀληθείας εὑρίσκετε."

15 C. 15, 24. "Οὔκουν τοῦτο σκεπτέον," ἤγουν μὴ τὰς συνθήκας δέχου, ἀλλ' ὡς ἔνι τὸ δικαιότερον ποίει, ἤγουν ὡς ὁ δικαστὴς ὀρθῶς δικάσει.

C. 15, 27. "Περὶ δὲ ὅρκων, τετραχῶς ἐστι διελεῖν." ἄξιόν ἐστι πρὸ τοῦ ἐπεξιέναι τοῖς τοῦ Ἀριστοτέλους ῥητοῖς, περὶ τῶν
20 ἐνταῦθα χρησιμευόντων ὅρκων τεχνολογίαν διαλαβεῖν, ἤγουν τοῦ ἐπακτικοῦ καὶ τοῦ ἀντεπακτικοῦ, καὶ τοῦ συκοφαντικοῦ[31], νομιζομένου καὶ λεγομένου καὶ αὐτοῦ, ὅρκου. ἐνήγαγεν ὁ Πέτρος κατὰ τοῦ Παύλου, διὰ χρέος $\bar{\rho}$ νομισμάτων· ἠρνεῖτο ὁ Παῦλος. ἀπελύετο ὁ Πέτρος εἰς ἀποδείξεις. ὁ λέγων γὰρ, οὐ μὴν ὁ ἀρνούμενος ἀπο-
25 δείκνυσιν, ἠτόνησε περὶ τὰς ἀποδείξεις. ὁ ἐνάγων τότε λέγει πρὸς τὸν ἐναγόμενον· "ἐπάγω σοι ὅρκον τὸν νεκεσάριον παρὰ Ῥωμαίοις "λεγόμενον·" ἤγουν τὸν τέλειον, ὡς πληροφορητικὸν καὶ τμητικὸν, "ἐπεὶ ἀτονῶ περὶ τὰς ἀποδείξεις, καὶ ὄμοσόν[32] μοι, ὅτι μὰ τοὺς "θεοὺς οὐ χρεωστῶ τὰ νομίσματα τῷ Πέτρῳ· καὶ ἐγώ σοι, εἰ βού-
30 "λει, ὀμόσω πρώτως τὸν συκοφαντικόν·" οὗτος δὲ οὐ κυρίως ὅρκος, ἀλλὰ περιεκτικὸς μόνον τῆς ὑπολήψεως τοῦ ἐνάγοντος· οὐ μὴν τελειοῖ ὑπόθεσιν· οὐ γὰρ τῆς ὑποθέσεως ἐστὶν ὁ ὅρκος, ἀλλὰ τοῦ

27 ἐπελογίζου. 28 ἤπερ εἰ. 29 ἠρρωστεις. 30 ὅτε. 31 συκοφάντου Cod. 1869. 32 ὄμοσον.

Digitized by Google

προσώπον. καὶ εἴπω, " μὰ τὴν θείαν χάριν ταύτην, οὐ συκοφαντικῇ
" γνώμῃ ἐνάγω σοι τὸν ὅρκον·" ἰδοὺ ἔμαθες περὶ τοῦ ἐπακτικοῦ, καὶ
περὶ τοῦ συκοφαντικοῦ· ὁ γὰρ ἐνάγων ἐνάγει τῷ ἐναγομένῳ τὸν
ὅρκον· ὁ δὲ ἐναγόμενος ἀπαιτεῖ τὸν συκοφαντικὸν ἀπὸ τοῦ ἐνάγον-
τος· εἴτε τῶν τοιούτων λόγων κροτηθέντων[33], πολλάκις εἰ βούλεται 5
ὁ ἐναγόμενος, στρέφεται πρὸς τὸν ἐνάγοντα, καὶ λέγει· " οὔτε ἐγὼ
" ὀμόσω τὸν παρὰ σοῦ μοι ἐπαγόμενον τέλειον, οὔτε σὺ[34] ἐπ' αὐτῷ
" τὸν συκοφαντικόν· ἀλλ' ἀντεπάγω σοι ὅρκον τὸν καὶ ἀντεπακτικὸν
" λεγόμενον· ἐπεὶ τὸν συκοφαντικὸν ἠρετίσω ὀμόσαι·" ὁμοῦ δὲ μέλ-
λεις οὕτως εἰπεῖν, " μὰ τὴν θείαν χάριν συκοφαντικῇ σοι γνώμῃ 10
" ἐπάγω τὸν ὅρκον· πεπληροφόρησαι πάντως ἐν τῇ ψυχῇ σου, ὅτι
" ἀληθῶς ἐδάνεισάς μοι τὰ ρ̄ νομίσματα," καὶ λοιπὸν μὴ τὸν συκο-
φαντικὸν, ἀλλὰ τὸν ἀντεπακτικὸν ὄμοσον[35]· ὃς καὶ αὐτὸς νενεσάριος·
ἤτοι τμητικὸς τῆς ὑποθέσεως ὅρκος ἐστί· καὶ εἰπὲ, " ὦ Πέτρε, μὰ
" τὴν θείαν χάριν ταύτην, ἐδάνεισά σοι τῷ Παύλῳ, ἃ λέγω ἑκατὸν 15
" νομίσματα· καὶ τότε ἀποδώσω σοι ταῦτα·" ἐὰν μὲν οὖν ὁ ἀντε-
πακτικὸς γένηται, οὔτε συκοφαντικὸς, οὔτε ἐπακτικὸς[36] γίνεται·
εἰ δὲ ἐπακτικὸς[37] γένηται, προήγηται[38] ὁ συκοφαντικός· διὰ τοῦτο
γράφεται ἐν τῷ παρεκβολαίῳ παρὰ τοῦ δικαστοῦ, τὸ, " χώραν
" ἔχοντος καὶ τοῦ ἀντεπακτικοῦ." ἴδε οὖν μετὰ ταῦτα τὸν Ἀριστο- 20
τέλην· φησὶ γὰρ, ὡς συλλήβδην ἐρεῖν τὴν ἅπασαν τοῦ φιλοσόφου
διάνοιαν· ἢ γὰρ δίδωσιν ὁ ἐνάγων τὸν ἐπακτικὸν[39] τῷ ἐναγομένῳ,
καὶ λαμβάνει καὶ οὗτος ὁ ἐνάγων, ἢ τὸν συκοφαντικὸν ὡς εἴπομεν,
ἢ τὸν ἀντεπακτικόν[40]· ἢ οὔτε δίδωσιν, οὔτε λαμβάνει· ἀλλ' ἢ ἄμφω
συμβιβάζονται[41], ἢ στέργουσιν ἄμφω τὸ δόξαν τοῖς δικασταῖς· ἢ 25
οὐ δίδωσι μὲν, λαμβάνει δὲ, φοβούμενος ὅτι ἐὰν ἐπαγάγῃ ἴσως
ὀμόσει ὁ ἀντίδικος αὐτοῦ ψευδῶς[42]· ὁ ἐναγόμενος δηλαδὴ, καὶ
ἀπολέσει ἐντεῦθεν τὰ πράγματα αὐτοῦ. διὰ τοῦτον τὸν φόβον,
μᾶλλον αὐτὸς αἱρεῖται ὀμόσαι τὸν ἀντεπακτικὸν[43], παρὸ δοῦναι
τὸν ἐπακτικὸν[44] τῷ ἐναγομένῳ· ἢ δίδωσι μὲν, οὐ λαμβάνει δέ· ὁ 30
εὐσεβὴς δηλονότι καὶ δεισιδαίμων, καὶ μὴ τοὺς ὅρκους ἐσθίων ὡς

33 ὅρκον κροτηθέντων. 34 σὲ Cod. 1869. 35 ὤμοσον. 36 ἐπακτὸς Cod. 1869. 37 ἐπακτὸς Cod. 1869. 38 προηγεῖται. 39 ἐπακτικὸν. 40 ἀντεπακτὸν Cod. 1869. 41 συμφωνοῦσιν. 42 ψευδῆ. 43 ἀντεπακτὸν Cod. 1869. 44 ἐπακτὸν Cod. 1869.

Digitized by Google

λάχανα. μᾶλλον αἱρετισάμενος ἀπολέσαι τὰ πράγματα αὐτοῦ, ἀπὸ τῆς ἐπιορκίας τοῦ ἀντιδίκου, ἢ αὐτὸς ὀμόσαι· ἀπηγορευμένου ὄντος τοῦ ὅλως ὀμνύειν παρὰ τοῖς σπουδαίοις, οὗτος ὁ εὐσεβὴς τοιγαροῦν ἐνάγων, ἔχει τὸν ὅρκον τοῦ ἀντιδίκου αὐτοῦ, τοῦ ἐναγο-
5 μένου δηλαδὴ, καὶ τὸ γενέσθαι τὸ θεῖον τιμωρὸν τοῦ ἀντιδίκου αὐτοῦ ἀντὶ τῶν χρημάτων αὐτοῦ.

Τετραχῶς οὖν περὶ τοὺς ὅρκους ἡ διαίρεσις ἐγένετο· "ἢ δίδωσι "καὶ λαμβάνει· ἢ οὔτε δίδωσιν, οὔτε λαμβάνει· ἢ λαμβάνει "μὲν, οὐ δίδωσι δέ· ἢ δίδωσι μὲν, οὐ λαμβάνει δέ." καὶ ἐσαφη-
10 νίσαμεν ταῦτα ὡς δύναμις· παραλελοιπότες παντάπασι τὰς ἐνταῦθα τοῦ χωρίου τούτου παρὰ τῶν πρὸ ἡμῶν φιλοσόφων ἐκδεδομένας ἐξηγήσεις.

C. 15, 27. "Ἔτι καὶ ἄλλως παρὰ ταῦτα εἰ ὀμώμοσται." τὰ ἐπιχειρήματα δι' ὧν δείξει τις, ὅταν λάβω ὅρκον, ὅτι οὐ λάβω
15 ὅρκον, ἢ ὅτι δώσω ὅρκον, ἢ οὐ δώσω ὅρκον· καὶ δι' ὧν κατασκευάσει τὸ αὐτὸ καὶ ἓν, καὶ αὖθις ἀνασκευάσει, εἴπη μὲν ὅσον οὐδέπω καὶ ὁ φιλόσοφος, ἀλλ' οὖν καὶ ἐγὼ προέφθασα ταῦτα ἐκφῆναι ἐν τῇ τέτραχα γεγονυίᾳ περὶ τῶν ὅρκων διαιρέσει· νῦν δὲ ὃ λέγει, ἄλλό τι ἐστὶ περὶ ὅρκους σκέμμα. ὃ δέ ἐστιν, ἄκουε—σήμερον ὁ
20 Πέτρος καὶ ὁ Παῦλος ἐνάγων καὶ ἐναχθεὶς, λαβεῖν ἢ δοῦναι ὅρκον διισχυρίζοντο· εἶτα ἀλλήλους διαβάλλουσιν ὡς ποτὲ ψευδορκήσαντας ἐπὶ ἄλλαις καὶ ἄλλαις ὑποθέσεσιν· εἰ γὰρ ποτὲ ὑπ' αὐτοῦ ἢ ὑφ' αὐτοῦ, τοῦ ἐνάγοντος δηλαδὴ, ὠμόθη ὅρκος, ὁ συκοφαντικὸς δηλαδὴ, ἢ μᾶλλον εἰπεῖν ὁ ἀντεπακτικὸς[45], ὃς καὶ κυρίως ὅρκος
25 ἐστὶ, καὶ ἀπηνέχθη ψευδὴς ἐκεῖνος ὁ ὅρκος τότε· καὶ ἐπιορκήσας ἐφωράθη ὁ Πέτρος· σήμερον εἰ[46] ζητεῖ λαβεῖν τὸν ἀντεπακτικὸν[47], οὐκ ἐπιτεύξεται τούτου· ἀκούσει γὰρ τοῦ Παύλου λέγοντος· "οὐ "δώσω σοι ποτὲ τὸν ἀντεπακτικόν[48]· διότι ἐπίορκος εἶ, καὶ ψευδῶς "καὶ πάλιν ὀμόσεις, καὶ ἀπολέσω τὰ ἃ μέλλω καταβαλεῖν σοι."
30 ἢ εἰ ἐφωράθη ποτὲ ψευδορκήσας ὁ ἐναγόμενος ἐπὶ τῷ ἐπακτικῷ[49] ὅρκῳ, σήμερον δὲ ζητεῖ λαβεῖν τὸν ἐπακτικὸν[50], οὐ δώσει αὐτῷ

[45] ἀντεπακτὸς Cod. 1869. [46] εἰ om. [47] ἀντεπακτὸν Cod. 1869. [48] ἀντεπακτὸν Cod. 1869. [49] ἐπακτῷ Cod. 1869. [50] ἐπακτὸν Cod. 1869.

Digitized by Google

τοῦτον, ὡς ἐπιόρκῳ ἀποδειχθέντι· εἶπον ἂν ἐγὼ ἐνταῦθα καὶ τὰ ἐπιχειρήματα καὶ τὰς δικαιολογίας, δι' ὧν ὁ καθένα τούτων ἐπὶ τῷ φανέντι ἐκείνῳ ψευδεῖ ὅρκῳ ὑπεραπελογίσαντο ἑαυτῶν[51]· ἀλλ' ἐπεὶ καὶ αὐτὸς ὁ φιλόσοφος μέλλει παρὰ πόδας ἐρεῖν τὰ τοιαῦτα, ἐκεῖ καὶ αὐτὸς αὐτοῖς ἐκθήσομαι τὴν σαφήνειαν. 5

C. 15, 28. "Οὐ δίδωσι μὲν οὖν, ὅτι ῥαδίως ἐπιορκοῦσι," καὶ τὰ ἑξῆς. συνδύασας ἄνω τὰ κατὰ τὴν λῆψιν, ἢ τὴν δόσιν τοῦ ὅρκου, ὡς ἐν προθεωρίᾳ συνόλως καὶ παχυλῶς, νῦν ἄρχεται τῆς τῶν ἐπιχειρημάτων δείξεως· καὶ ἐπεὶ τοῦ συνδυασμοῦ καὶ τῆς συζεύξεως καὶ συνθέσεως προήγηται τὸ ἁπλοῦν, ἐπὶ τῶν ἁπλῶν τὴν διδασκαλίαν τῶν ἐπιχειρημάτων ἐκτίθεται. οὐδὲ γὰρ λέγει, πῶς ἐπιχειρήσει ὑπὲρ ἑαυτοῦ ὁ οὐ διδοὺς μὲν τῷ ἀντιδίκῳ ὅρκον, λαμβάνειν δὲ ἀξιῶν· ἀλλὰ ὅθεν κἀκ τίνων ἐπιχειρήσει ὁ οὐ διδοὺς[52] ὅρκον τῷ ἐναντίῳ· εἶτα ἀπ' ἄλλης αὖθις ἀρχῆς, ὅθεν κἀκ τίνων ἐπιχειρήσει ὁ οὐ λαμβάνων ὅρκον· εἶτα αὖθις ὅθεν ἐπιχειρήσει, ἰδία μὲν ὁ λαμβάνων, ἰδία δὲ ὁ διδούς· τέσσαρα γὰρ ταῦτα· [λαμβάνει·] οὐ δίδωσιν ὅρκον· οὐ λαμβάνει ὅρκον· λαμβάνει ὅρκον· δίδωσιν ὅρκον· ὅταν δὲ συνδυασθῶσι, γίνονται συζυγίαι ἓξ· ὧν αἱ μὲν τέσσαρες συνίστανται· αἱ δὲ δύο ἀσύστατοι· ἥ τε λέγουσα, δίδωσιν ὅρκον· οὐ δίδωσιν ὅρκον, καὶ λαμβάνει ὅρκον· οὐ λαμβάνει ὅρκον: 10 15 20



δίδωσι μὲν οὖν, οὕτως ἐπιχειρήσει ὁ μὴ ἐπάγων ὅρκον τῷ ἐναγομένῳ, "οὐκ ἐπάξω σοι ὅρκον κακῷ ὑπειλημμένῳ παρὰ πάντων· "ἐπιορκήσεις γὰρ ῥαδίως, καὶ ἀπολέσω τὰ πράγματά μου·" ὁ γὰρ ὀμνύων, οὐκ ἀποδίδωσι μετὰ ταῦτα· "ἐπεὶ δὲ μὴ ὀμόσαντά "σε, ἐλπίζω καταδικάσαι ἀπὸ δικαστηρίου, ἢ ἐλπίζω μετ' αὐτῶν "ἐμβιβασθῆναι· καὶ ὅτι κρεῖττον ἡγοῦμαι καταδικασθέντά με 25 30

51 ὑπεραπελογίσατο ἑαυτοῦ. σαν ῶν

52 οὐδεὶς.

Digitized by Google

" παρὰ τῶν δικαστῶν, ἀπολέσαι τὰ χρήματά μου, ἅ σοι δεδά-
" νεικα, ἢ οὕτω γελασθῆναί με παρὰ σοῦ ψευδορκήσαντος." οὕτω
μὲν οὖν καὶ τοσαῦτα τὰ ἐπιχειρήματα, ἀπὸ μόνου τοῦ, " οὐ
" δίδωσιν," εὕρηται· ἴδε[53] πῶς ἐπιχειρήσει αὖθις, καὶ ὁ οὐ λαμ-
5 βάνων ὅρκον· ἤγουν τὸν ἀντεπακτὸν, ὁ εὐσεβὴς δηλαδὴ ἄνθρωπος.
" οὐκ ὀμόσω ποτὲ, ὃν ἀντεπάγεις[54] μου ὅρκον· ἀλλὰ, σὺ ὄμο-
" σον· κρεῖττον γὰρ ἔχω τὸ ἀπολέσαί με τὰ πράγματά μου μὴ
" ὀμόσαντα, καὶ τὸ σοὶ εἶναι τὸ θεῖον ἐχθρόν τε καὶ τιμωρόν·
" ἔχω οὖν τὸν ὅρκον σου, ἀντὶ τῶν χρημάτων μου."

10 C. 15, 29. " Καὶ ὅτι εἰ ἦν φαῦλος, κατωμόσατο ἄν" ἔνστασιν
τινὰ λύει ὁ φιλόσοφος. ἐπεὶ γὰρ ὁ ἐναγόμενος ἀντεπάγει[55] τῷ
ἐνάγοντι ὅρκον, ὁ δὲ ἐνάγων οὐ λαμβάνει τὸν ὅρκον ὡς εὐσεβὴς,
τάχα ὑποπτεύει ὁ ἐναγόμενος, ὅτι περ οὐχ ὡς εὐσεβὴς ὁ ἐνάγων
εὐλαβεῖται τὸν ὅρκον, ἀλλὰ μᾶλλον ὡς κακός τε καὶ ἄδικος
15 φοβεῖται ὀμόσαι, εὖ εἰδὼς ὅτι ψεύδεται εἰς ἃ λέγει κατ' ἐμοῦ.
ἀπαντᾷ οὖν πρὸς τοῦτο ὁ εὐσεβὴς ἐνάγων, καὶ φησὶν, " ὦ οὗτος,
" εἰ ἤμην[56] ἄδικος καὶ πονηρὸς, καὶ κατωμοσάμην ἄν. ἤτοι οὐκ
" εἰς μόνα τὰ ρ̄ νομίσματα ὤμοσα, ἀλλ' εἰς ἑκατὸν λίτρας, ὤμοσα
" ἄν[57]. ἐπεὶ γὰρ ἄδικος ἤμην[58], ὡς λέγεις, καὶ ἔμελλον ὀμόσαι,
20 " καὶ εἰς πλείω ἂν ὤμοσα[59]· ὃ καὶ μᾶλλον κατομόσαι ἐστίν·
" κρεῖττον γὰρ ἦν ἐπὶ μείζοσι καὶ πολλοῖς φαῦλον εἶναι μὲν[60]
" καὶ ἐπίορκον, παρὸ[61] ἐν ὀλίγοις. ἔμελλον γὰρ ἀσεβῆσαι ἐπιορ-
" κήσας. κἂν οὖν εἶχον ἀντὶ τῆς εὐσεβείας, τὸν πολὺν πλοῦτον,
" ὃν ἔμελλον ἀπὸ σοῦ ἀναλαβεῖν κατωμοσάμενος, ὥστε δι' ἀρετὴν
25 " μᾶλλον καὶ εὐσέβειαν ἐγὼ προκρίνω τὸ μὴ, ἤτοι τὸ οὐ λαβεῖν
" με τὸν παρὰ σοῦ μοι ἀντεπαγόμενον ὅρκον."

" Καὶ τὸ τοῦ Ξενοφάνους[62]." καὶ τοῦτο ἔνστασιν τινὰ ἀνα-
κύπτουσαν λύει· εἶπε γὰρ ἂν ὁ ἐναγόμενος, " ὅτι σὺ προκαλεῖς
" ἐμὲ εἰς τὸ ὀμόσαι με, ἐγὼ[63] προκαλοῦμαι σὲ εἰς τὸ ὀμόσαι.
30 " σὺ δέδοικας ὀμόσαι. λοιπὸν ἄρα τὸ συνειδὸς σου, κεκαυτηρια-

53 ἴδε δε. 54 ἀντεπάγης Cod. 1869. 55 ἐπάγει. 56 καὶ φησὶν· ὅτι ὦ οὗτος· Cod. 1869. 57 ἤτοι οὐ περὶ μόνων τῶν ρ̄ νομισμάτων ὤμοσα, ἀλλ' εἰς διπλάσια, ὤμοσα ἄν. 58 ἄδικός εἰμι. 59 ῥαδιως. 60 με. 61 ἤπερ. 62 πλέον γάρ μοι τὸ κέρδος ἐπίσης ἐπιορκοῦντι ἔμελλεν ἔσεσθαι· ὥστε δι' ἀρετὴν μᾶλλον καὶ εὐσέβειαν ἐγὼ προκρίνω τὸ μὴ, ἤτοι τὸ μὴ δέξασθαι τὸν παρὰ σοῦ μοι ἐπαγόμενον ὅρκον, καὶ τὸ τοῦ Ξενοφάνους. 63 ὀμόσαι· κἀγῷ.

Digitized by Google

"μένον φέρεις. ἄρα ψεύδῃ ἐν οἷς ἐνάγεις κατ' ἐμοῦ, καὶ διὰ "τοῦτο εὐλαβῇ ὀμόσαι. ἐγὼ δὲ ὀμόσω[64], λοιπὸν ἀπὸ τούτου τοῦ "μὴ δεδιέναί με περὶ τὸν ὅρκον[65], φαίνομαι ἀληθεύων." πρὸς ταύτην τὴν ἔνστασιν τὸ τοῦ Ξενοφάνους προβάλλεται ὁ ἐνάγων καὶ λέγει, "οὐκ ἔστιν ἴσον, ἐὰν σὺ προκαλῇς ἐμὲ εἰς ὅρκον, καὶ ἐὰν ἐγὼ σέ. 5 "σὺ μὲν γὰρ ἔοικας ἰσχυρῷ παγκρατιαστῇ εἰς τὸ ὀμνύειν· πολ- "λάκις καὶ πολλάκις καὶ μυριάκις ὀμόσας· ἐγὼ δὲ ἔοικα ἀμαθεῖ "καὶ δειλῷ καὶ ἄρτι τὴν κονίστραν εἰσιόντι· διὸ καὶ δέδοικα."

C. 15, 29. "Ἀλλ' ὁμοία." μὴ οὕτως ἀνάγνωθι, "ὅτι οὐκ ἴση "ἡ πρόκλησις αὕτη εὐσεβεῖ πρὸς ἀσεβῆ, ἀλλ' ὁμοία," μὴ οὖν 10 ὧδε στίξῃς. ἀδιανόητος γάρ σοι ὁ λόγος ἀποβήσεται· ἀλλ' οὕτως εἰπέ· "ἀλλ' ὁμοία καὶ εἰ ἰσχυρὸς ἀσθενῆ πατάξαι ἢ πληγῆναι "προκαλέσαιτο[66]." οὐκ ἔστι, φησὶν, ἴση[67] κατὰ πάντα ἡ τοῦ ἀσεβοῦς πρὸς εὐσεβῆ, καὶ ἡ τοῦ εὐσεβοῦς πρὸς ἀσεβῆ πρόκλησις. ἀλλ' ὁμοία εἰ καὶ ἰσχυρὸς ἀθλητὴς προκαλεῖται εἰς μονομάχιον 15 τὸν ἀσθενῆ, ὥστε ἢ πατάξαι ἢ παταχθῆναι, ἢ πλῆξαι, ἢ πληγῆναι[68]. προκαλούμενος γὰρ, οὕτω λέγει. "ἐλθὲ μονομαχήσων με[69], "καὶ ἢ ἐγώ σε πατάξω, ἢ σὺ ἐμὲ πατάξεις[70]." τουτέστιν ἢ ἐκδράσω, ἢ πείσομαι. διὸ τὸ μὲν πατάξω ἐπὶ τοῦ δράσαι ἔθηκε, τὸ δὲ πληγῆναι ἐπὶ τοῦ παθεῖν. 20

C. 15, 30. "Εἰ δὲ λαμβάνει, ὅτι πιστεύει αὐτῷ. "ὁ λαμβάνων τὸν ἀντεπακτικὸν[71] ἀπὸ τοῦ ἐναγομένου, μὴ διδοὺς δὲ ἐκείνῳ[72] τὸν ἐπακτικὸν[73] ἐπιχειρήσει, "ὅτι οἶδα[74] ἐπίορκον, καὶ οὐκ ἂν "δώην σοι ὅρκον[75]· ἐγὼ δὲ ὀμόσω· θαρρῶ γὰρ ἐμαυτῷ."

Καὶ ἐντεῦθεν μεταβλητέον τὸ τοῦ Ξενοφάνους, καὶ ῥητέον, ὅτι 25 ἴσον ἐστὶ καὶ προσφυὲς, τὸ διδόναι μὲν τὸν ἀσεβῆ πρὸς τὸν εὐσεβῆ ὅρκον· ἐκεῖνον δὲ, τὸν εὐσεβῆ δηλαδὴ, λαμβάνειν· εἶπεν ἓν ἐπιχείρημα ὁ ἐνάγων, τὸν ἀντεπακτὸν[76] καταδεξάμενος, τὸ "ὅτι "σοὶ, ὦ ἐναγόμενε, οὐ πιστεύω τὸν ὅρκον, ἀλλ' ὡς ἑαυτῷ·" τίθησι καὶ δεύτερον ἐπιχείρημα "ὅτι ὀμόσω, καὶ καλῶς ποιήσω, καὶ οὐκ 30 "ἀποφύγω τὸν ὅρκον ὡς κακόν τι· μάταιος γὰρ ἂν εἴην ἐγὼ, εἰ τοὺς

64 ὀμώσω Cod. 1869. 65 τῷ ὅρκω Cod. 1869. 66 προσκαλέσαιτο. 67 ἴση. 68 πνιγῆναι Cod. 1869. 69 μοι. 70 ἢ σὺ ἐμὲ. 71 ἀντεπακτὸν Cod. 1869. 72 μὴ διδοὺς ἐκείνῳ. 73 ἐπακτὸν Cod. 1869. 74 οἶδα σε. 75 λάβοιμι παρὰ σοῦ ὅρκον. 76 ἀντεπακτικὸν.

Digitized by Google

" δικαστὰς ἀναγκάζω ὀμνύειν ἀπὸ τοῦ νόμου, ἵνα δίκαια κρίνωσιν.
" ἐγὼ δὲ τὸν ὅρκον παραιτοῦμαι." οἱ γὰρ δικασταὶ ὤμνυον[77] τὸ
παλαιόν· καὶ οἱ παρ' ἡμῖν, κειμένων τῶν ἁγίων Εὐαγγελίων, ἐδί-
καζον· ἀλλὰ καὶ οἱ συνήγοροι. " δεινὸν οὖν," φησι, " τὸ μὴ θέλειν
5 " αὐτὸν τὸν ἐνάγοντα ὀμόσειν ὑπὲρ ὧν τοὺς δικαστὰς καὶ τοὺς
" συνηγόρους ἀναγκάζει ὀμνύειν."

C. 15, 31. " Εἰ δὲ δίδωσιν," ὁ εὐσεβὴς ἐπιχειρεῖ λέγων, " οὐ
" λαμβάνω τὸν ἀντεπακτικὸν, ὦ ἐναγόμενε· ἀλλὰ δικασάτωσαν οἱ
" θεοὶ, καὶ ὄμοσον· καὶ γίνωσκε ὅτι εἰ ψεύσῃ, οἱ θεοὶ τιμωρήσουσί
10 " σε· ἐμὲ δὲ πλουτίσουσιν." Ἔνια οὖν τῶν ἀντιγράφων ἔχουσιν·
" αὐτῷ γὰρ δίδωσι κρίνειν," ἄλλα δὲ ἔχουσιν· " αὐτοῖς γὰρ, δί-
" δωσι κρίνειν." τὸ μὲν οὖν " αὐτοῖς" νόει ἀντὶ τοῦ τοῖς θεοῖς· τὸ
δὲ " αὐτῷ," νόησον οὕτω. λέγω ὁ ἐνάγων, " οὐκ ὀμόσω, ὦ ἐναγό-
" μενε, ποτὲ ἐγώ· ἀλλὰ σὺ ποίησον τὴν κρίσιν· δίκασον ἐν τῷ συν-
15 " ειδότι σου, καὶ ὄμοσον· καὶ ἔπομαί σοι. εἰ γὰρ κατὰ τὸν ἔσω
" ἄνθρωπον ἐξετάσεις, οὐκ ἂν ὀμόσῃς[78] πάντως· ἀλλὰ δώσῃς[79] μοι,
" ἅ μοι χρεωστεῖς[80]. εἰ δὲ ὀμόσεις, ἕξεις τὸ θεῖον τιμωρόν."

C. 15, 32. " Ἐπεὶ δὲ καθ' ἕκαστον δῆλον." Διδάξας τὰ ἁπλᾶ
τέσσαρα, νῦν συνδυάζει ταῦτα, καὶ ποιεῖ ἓξ συζυγίας· ὧν αἱ δύο
20 ὡς ἀντιφατοὶ ἀσύστατοι[81]. καὶ πρῶτον μὲν συνδυασμὸν συντί-
θησιν[82], ἀπολαμβάνειν καὶ μὴ διδόναι· δεύτερον, τὸ διδόναι καὶ
μὴ λαμβάνειν· τρίτον, τὸ λαμβάνειν καὶ διδόναι. λαμβάνει γὰρ
ὁ ἐνάγων τὸ συκοφαντικὸν, καὶ δίδωσι τὸν ἐπακτικόν· τέταρτον,
τὸ οὐδὲ λαμβάνειν οὐδὲ διδόναι. καὶ ἐσαφήνισα ταύτας τὰς
25 συζυγίας ἐν ἀρχῇ τῆς τοιαύτης θεωρίας· καὶ ἐν τῷ τετραγώνῳ
σχηματισμῷ. ἐκ τῶν εἰρημένων γὰρ ἁπλῶν ὀνομάτων, ἀνάγκη
συγκεῖσθαι τὰς τοιαύτας συζυγίας, ὡς καὶ τοὺς λόγους· ἤτοι τὰς
ἐπιχειρηματικὰς δικαιολογίας· οἵας ἐν τοῖς ἁπλοῖς ἐποίεις, ποίη-
σον ἐνταῦθα συνδυαζόντως.

30 C. 15, 32. " Ἐὰν δ' ᾖ γεγενημένος." ὥσπερ ἀνώτερον εἶπεν,
" ἔτι ἄλλως παρὰ ταῦτα εἰ ὀμώμοσται," τοῦτο νῦν διεξοδικῶς
κατασκευάζει· ἐὰν ᾖ γεγενημένος ποτὲ ὅρκος παρὰ τοῦ ἐνάγοντος·

77 ὤμνυον ὡς εἴρηται. 78 ὀμόσεις. 79 δώσεις. 80 ἅπερ ὀφείλεις.
81 ἀντιφατικαὶ ἀσύστατοι. 82 τίθησιν.

Digitized by Google

ἐφάνη δὲ ὁ ὅρκος ἐναντίος ἤτοι ψευδὴς, καὶ διὰ τοῦτο ὡς ἐπίορκος σήμερον ὁ ἐνάγων διαβάλλεται, καὶ διὰ τοῦτο, οὐδὲ παραδεκτέος εἰς τὸ ὀμόσαι τῷ ἐναγομένῳ νομίζεται, πῶς ἐπιχειρήσει ὑπὲρ ἑαυτοῦ, καὶ ὑπεραπολογήσεται τοῦ μὴ ἐπίορκος εἶναι. καίτοι εἴπῃ[83]. "εἰ καὶ ψευδὴς, ὡς λέγεις, ὁ ὅρκος μου ἐκεῖνος ἐφάνη, 5 "ἀλλ' ἐγὼ οὐκ ἐπιώρκησα· τὸ γὰρ ἐπιορκεῖν, ἀδικεῖν ἐστι· τὸ δὲ "ἀδικεῖν ἐστι τὸ ἑκουσίως καὶ εἰδότα τινὰ ἀδικεῖν· ἐγὼ δὲ εἰ καὶ "ὤμοσα τότε, ἀλλ' ἄκων[84] καὶ βιασθεὶς, ἢ παρὰ τυράννων, ἢ παρὰ "δικαστῶν παρανομῶν. τοῦτο δὲ, οὐδὲ ὀμόσαι ἐστίν. ἐγὼ δὲ εἰ "καὶ ὤμοσα τότε, ἀλλ' ἁπλούστερος τὴν ψυχὴν ὢν, ἠπατήθην ἢ 10 "παρὰ τῶν δικαστῶν, ἢ παρὰ ὠντινωνοῦν ἄλλων· ἐγὼ δὲ εἰ καὶ "ὤμοσα τότε, ἀλλ' οὐκ ᾔδειν τὴν δύναμιν τοῦ ὅρκου, ἢ τὸ πῶς[85] "δεῖ ὀμνύειν." καὶ συνάγαγε ὅτι ἐπιορκεῖν ἐστιν, οὐ τῷ, στόματι[86] μόνον λέγειν τὸν ὅρκον, ἀλλὰ καὶ εἰδότα, ἀλλὰ καὶ μὴ βιασθέντα· "ἐγὼ δὲ οὐκ ᾔδειν, ἀλλὰ καὶ ἐβιάσθην, ἀλλὰ καὶ ἠπα- 15 "τήθην· οὐκ ἄρα ἐπιώρκησα, οὐκ ἄρα ἠδίκησα[87]."

C. 15, 33. "Ἐὰν δὲ τῷ ἀντιδίκῳ ᾖ." ἐὰν δὲ ὁ ἐναγόμενος σήμερον ὤμοσε ποτὲ καὶ ἐψεύσατο, καταδρομὴν κατ' αὐτοῦ ποιήσει ὁ ἐνάγων· "ὅτι οὐ δέχομαι αὐτὸν σήμερον μέλλοντα ὀμόσαι. ὁ "γὰρ ἐπίορκος πάντα ἀναιρεῖ," δικαστήρια, πολιτείαν, νόμους· 20 "διὰ γὰρ τοῦτο καὶ οἱ δικασταὶ πρῶτον ὀμόσαντες," εἶτα δίκαζουσι, τοῖς νόμοις χρώμενοι καὶ ὅταν ὀμνύωσιν· ὁ νόμος γὰρ αὐτοῖς τοῦτο προσέταξε. καὶ ὅταν δικάζωσι, καὶ ἀπὸ τῶν νόμων ὁρμώμενοι οἱ δικασταὶ μετὰ τὴν περὶ τὰς ἀποδείξεις ἀτονίαν, ἀπολύουσιν εἰς ὅρκους τοὺς ἀμφισβητοῦντας· εἶτα πρὸς τοὺς δικαστὰς ὁ 25 ἐνάγων στραφεὶς, λέγει· "καὶ ὑμᾶς μὲν ἀξιοῦμεν πρῶτον ὀμνύειν· "εἶτα δικάζειν, καὶ τῷ ὅρκῳ ἐμμένοντες, δικαίως[88] κατὰ τοὺς "νόμους καὶ τοὺς ὅρκους ὑμῶν δικάζετε. ἡμεῖς δὲ οὐκ ἐμμενοῦμεν "οἱ ὑμῖν εἴκοντες· ἀλλὰ ψευδῶς ὀμόσομεν; καὶ τίς ἡμῖν ἔσται "συγγνώμη; ἀσύγγνωστος ἄρα καὶ ὁ ἀντίδικός μου ἐπίορκος 30 "πολλάκις ἐλεγχθείς."

C. 6, 24. [89]"Κορινθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον[90]." οἶδας

83 εἴποι. 84 ἀλλ' οὐκ. 85 ἢ πῶς. 86 οὐ τὸ, τῷ στοματι.
87 οὐκ ἄρα ἠπατήθην. οὐκ ἄρα ἐπιώρκησα. 88 δικαίους Cod. 1869.
89 Hæc Appendicis instar videntur addita. 90 ἴλιον Cod. 1869.

Digitized by Google

μὲν δ' δηλοῦται. μάταιος δὲ ἦν ὁ οὕτως αὐτὸ ἐξηγησάμενος. ὅτι οὐ μέμφεται τὸ Ἴλιον[90] τοῖς Κορινθίοις· οὐδὲ γὰρ συνεμάχησαν τοῖς Ἕλλησιν οἱ Κορίνθιοι κατὰ τῶν Τρώων· καὶ γὰρ τοῖς Ἀχαιοῖς Εὐχήνωρ Κορίνθιος, υἱὸς Πολυΐδου τοῦ μάντεως, ἐπεκούρησε· καὶ
5 φησὶν Ὅμηρος

ἦν δέ τις Εὐχήνωρ, Πολυΐδου μάντιος υἱὸς,
ἀφνειός τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων· Il. N. 663.

ὃ γοῦν ὁ Σιμωνίδης λέγει, τοῦτο ἐστίν· ὅτι Κορινθίοις οὐ μέμφεται τὸ Ἴλιον[91], ὡς τάχα πολεμήσασιν αὐτοῖς διὰ τοῦ Εὐχή-
10 νορος, ὡς εἰρήκαμεν· ἀλλὰ ἑτέρωθεν καὶ εὐχαριστεῖ αὐτοῖς μᾶλλον, ὡς συμμαχήσασι τῇ Ἰλίῳ διὰ Γλαύκου, τοῦ εἰς Βελλεροφόντην τὸν Κόρινθον τὸ γένος ἀναφέροντος· τοῦ Γλαύκου, τοῦ Σισύφου, ὃς ἀνεγνώρισε Διόμηδην. κάλλιστα δὲ τὴν θεωρίαν ταύτην ἐξαπλοῦ ὁ Λυρικὸς Πίνδαρος ἐν τῷ εἰς Ξενοφῶντα Κορίν-
15 θιον[92] σταδιοδρόμον ἐπινίκῳ· ὅτε λέγει·

τὰ δὲ καὶ πότ' ἐν ἀλκᾷ πρὸ Δαρδάνου τειχέων
ἐδόκασαν· ἐπ' ἀμφότερα μαχᾶν τέμνειν τέλος
τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέως
Ἑλένην[93] ἀνακομίζοντες· οἷδ' ἀποπάμπαν εἴργοντες·
20 ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόντα τρόμεον Δαναοὶ,
τοῖς μὲν, ἐξεύχετ' ἐν ἄστει Πειράνας[94] σφετέρου
πατρὸς ἀρχὰν, καὶ βαθὺν
κλάρον ἔμμεν καὶ μέγαρον·

οὕτω δὲ καὶ Σιμωνίδης ἐποίησε·
25 Κορινθίοις δ' οὐ μανίει, οὐδὲ Δαναοῖς

τὸ Ἴλιον[95] δηλαδή.

C. 7, 31. Οἱ Θεστιάδαι οὓς Μελέαγρος ἀνεῖλεν, οὗτοι εἰσὶν οἱ αὐτοῦ μητράδελφοι· οὕτως ὠνομασμένοι· Πλήξιππος[96]· Ἴφιτος· Εὐρύπυλος· Πολυφόντης· Φάνης. οὗτοι Θεστίου παῖδες·
30 ὧν ἀδελφὴ, Λήδα· Ἀλθαία· Ὑπερμνήστρα· Πολύξενος· καὶ ἄλλαι· αἱ δὲ Μελεάγρου ἀδελφαὶ αὗται· Φοίβη· Ἀντιόπη· Ἐρατώ· Μενεσθώ· Εὐρυδίκη· Ἱπποδάμεια· αἳ καὶ μετεβλήθησαν εἰς ὄρνιθας τὰς λεγομένας Μελεαγρίδας.

Ὁ λάταξ ὁ ἦχος τῶν κοτταβίων παρὰ τοῖς ἀττικισταῖς ὠνό-

90 ἴδιον Cod. 1869. 91 ἴδων Cod. 1869. 92 τὸν Κορίνθιον. 93 σὺν Ἀτρέως σὺν Ἑλένην. 94 Πειρήνη ὄρος παρὰ Κόρινθον. 95 Δαναοῖς ἴλιον τὸ. 96 μητράδελφοι· Πλήξιππος.

Digitized by Google

μασται· τὰ δὲ κοττάβια ἀγγεῖα ἐτύγχανον πλατέα, χάλκεα· ἢ κεράμεια· οἷς ἔχουσιν ἔνδον ὕδωρ ἐνέβαλλον οἱ βουλόμενοι σφαιρικοὺς λίθους· ὅσοι τὲ ἢ ἐρῶντες ἦσαν τινῶν, ἢ ἁπλῶς ποθοῦντές τινας, καὶ ἐν ἀλλοτρίᾳ διαγόντας· ὧν κοτταβίων ποικίλως περιαγομένων, ἐντὸς ἐκινοῦντο πολυειδῶς καὶ οἱ βόλοι· κἀντεῦθεν ποιός τις ἦχος ἐτελεῖτο, ὃς ἐκαλεῖτο λάταξ· οἶμαι ποιά τις φωνὴ τῆς ἐκείνων συγκροτήσεως καὶ συγκρούσεως· ἐδήλου δέ τινα περὶ τῶν ἀποδημούντων σημεῖα· ἐκαλοῦντο δὲ κότταβοι, οὐ μόνον τὰ ἀγγεῖα, ἀλλὰ καὶ τὰ ἐμβαλλόμενα βόλια· οἷα καὶ νῦν ἐν τοῖς ἱππικοῖς θέατροις δημοσιεύεται παρὰ τῷ ἀγγείῳ τῷ κλήρῳ τοῖν ἀντιθέτοιν μεροῖν· ἢ καὶ ἐν ξυλίνοις κλιμακοειδέσι λαβυρίνθοις παιδιᾶς χάριν παρά τισι τρυφῶσιν οἶκοι τελεῖται. ἐκλήθη δὲ κότταβος, ὥστε μοι δοκεῖ, παρὰ τὸν κόττον τὸν ἐν τοῖς κλήροις τυχηρῶς ἀποβαίνοντα.

Θήρωνος υἱὸς Αἰνεσιδήμου, ὁ τῆς Ἀκράγαντος κρατῶν, θυγατέρα αὐτοῦ ἐξέδοτο Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτειον νομίσμα, πρὸς γάμον Γέλωνι τῷ ἀδελφῷ Ἱέρωνος, τοῦ βασιλέως τῶν Αἰτναίων· λαβὼν καὶ αὐτὸς γυναῖκα τὴν θυγατέρα Πολυζήλου τοῦ ἀδελφοῦ Γέλωνος. ἀποθνήσκοντος δὲ Γέλωνος, διάδοχος καὶ τῆς στρατηγίας αὐτοῦ καὶ τῆς γυναικὸς ὁ ἀδελφὸς[97] αὐτοῦ Πολύζηλος ἐχρημάτισε, κατὰ τὰς τοῦ Γέλωνος προστάξεις· ὥστε τὸ Θήρωνος εἰς Γέλωνα κῆδος, εἰς Πολύζηλον μετατεθεῖσθαι. ἐπεὶ δὲ τοῦ Ἱέρωνος ἐγκοτοῦντος τῷ ἀδελφῷ Πολυζήλῳ, ὑπεραγανακτήσας θυγατρὸς ἅμα καὶ γαμβροῦ ὁ Θήρων, συνέρραξε μάχην Ἱέρωνι περὶ Γέλαν τὸν Σικελικὸν ποταμὸν, ἐν τῇ πόλει Γέλᾳ[98], πάλιν ἐγένοντο αἱ καταλλαγαὶ τούτων ὑποθήκαις τοῦ λυρικοῦ Σιμωνίδου, ὅτε καὶ γυναῖκα ἠγάγετο ἑαυτῷ ὁ Ἱέρων τὴν ἀδελφὴν Θήρωνος. Αἰνέσιδημος οὖν ὁ τῶν Ἀκραγαντίνων οἰκιστὴς τὴν Γέλαν[99] ὑπέταξεν· ἧς ἦσαν ἄποικοι οἱ Ἀκραγαντῖνοι ἀνέκαθεν[1]· ταῦτα ἀκριβέστερον ἂν γνοίης, ἐντυχὼν Πινδάρῳ τὸν Ὀλυμπιονίκην ἐπίνικον συγγεγραφότι ἐπὶ Θήρωνι τῷ υἱῷ Αἰνεσιδήμου.

C. 15, 13. Βουλόμενος δεῖξαι Σόλων ὁ Ἀθηναῖος, ὅτι ἄνωθεν

[97] ἡ ἀδελφὴ Cod. 1869. [98] γέλλα Codd. [99] γέλλαν Codd.
[1] ἀνέκασθεν Codd.

Digitized by Google

ἡ Σαλαμὶς ὑπὸ Ἀθηναίοις ἦν, ἔγραψεν εἰς τὴν δίκην καὶ στίχους ἀπὸ τῆς Βοιωτίας Ὁμήρου·

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δύο καὶ δέκα νῆας·
στῆσε δ' ἄγων ἵνα Ἀθηναίων ἵσταντο φάλαγγες

5 ταῦτα οὕτω παρασημειοῦται καὶ Πλούταρχος ἐν τῷ τοῦ Σόλωνος παραλλήλῳ. Καὶ Περίανδρος δὲ ὁ Κορίνθιος, οὗ καὶ αὐτοῦ πολὺν λόγον ποιεῖται οὗτος ὁ Χαιρωνεὺς ἐν τῷ τῶν ζ̄ σοφῶν Συμποσίῳ, σοφώτατος ἦν, χιλίων ἐλεγείων ποιητὴς Σόλωνι συνακμάσας.

"Νεκεσάριος" ὅρκος λέγεται ὁ τέλειος· ἤγουν ὁ ἐπακτὸς καὶ
10 ἀντεπακτός· δεύτερος ὅρκος ὁ "ἰουδικάλιος"[2] ὃς ἀπὸ τοῦ δικαστοῦ δίδοται· τρίτος ὁ "βουλουμπάριος"[3] ὁ θελήματι ἰδίῳ τῶν μερῶν ἀμφοῖν[4] συνιστάμενος καὶ βουλήματι· τέταρτος ὁ "ἰλίτεμ"[5], καὶ ὁ ποίνιμος ὁμοιομερής· ὁ γὰρ ἐπηρεαστικὸς ὅρκος ὁ "καλουμ-"νίας"[6] ὁ λεγόμενος παρ' Ἕλλησι συκοφαντικὸς, κυρίως ὅρκος
15 οὐκ ἔστιν.

ΑΡΧΗ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΒΙΒΛΙΟΥ.

ΕΙΠΕΝ ἐν τῷ πρώτῳ ὁ φιλόσοφος, ὅτι "αἱ πίστεις ἔντεχνόν "ἐστι[7] μόριον ῥητορικῆς μόνον, τὰ δ' ἄλλα προσθῆκαι, ἤγουν τὰ "προοίμια καὶ τὰ περὶ αὐτά· καὶ ὅτι τὰ ἐνθυμήματα σῶμα τῆς
20 "πίστεως· διαβολὴ γὰρ καὶ ἔλεος καὶ ὀργὴ καὶ τὰ τοιαῦτα "πάθη τῆς ψυχῆς, περὶ τοῦ πράγματός ἐστι," καὶ τὰ ἑξῆς. εἶπε δὲ καὶ περὶ νομοθεσίας ἐκεῖ· ὅτι "αἱ νομοθεσίαι ἐκ πολλοῦ "χρόνου σκεψαμένων γίνονται[8]."

Ὁ γὰρ Λυκοῦργος ἐν ἐννέα ὅλοις χρόνοις ἐσκέπτετο τοὺς
25 οἰκείους νόμους, ἐρήμοις μόναις ἐνδιαιτώμενος χώραις· ὡς καὶ Πλούταρχος παρασημειοῦται. καὶ Πλάτων ὁ μέγας ἐν Νόμοις παραδίδωσιν· οὕτω πρὸ Λυκούργου καὶ Μίνως τὰς νομοθεσίας συνετίθετο, παρὰ τοῦ πατρὸς Διὸς[9] διδασκόμενος. καὶ Ὅμηρος
30 περὶ τούτου φησίν·

ἐννέωρος βασίλευε Διὸς μεγάλου ἐριστής.

2 i. e. judicialis. 3 Leg. βουλουντάριος, i. e. voluntarius. 4 ἀμφεῖν Cod. 1869. 5 Leg. ἰλιγίτεμ. i. e. illegitimus. 6 i. e. calumniosus. καλαμνίας Cod. 1951. 7 εἰσὶ. 8 γίνεται. 9 διὰ Cod.

Digitized by Google

Εἶπε δὲ πάλιν ἐν τῷ πρώτῳ· ὅτι "ἔντεχνοι πίστεις εἰσὶν, "ὅπως γένοιτό τις ἐνθυμηματικός·'" καὶ ὅτι "τῶν διὰ λόγου "πορίζομένων πίστεων, εἰσὶ καὶ ἄλλαι πίστεις αἱ ἄτεχνοι·" τρία εἴδη ἐστὶν[10], "αἱ μὲν γάρ εἰσιν ἐν τῷ ἤθει τοῦ λέγοντος, αἱ δὲ "ἐν τῷ τὸν ἀκροατὴν διαθεῖναι πῶς, αἱ δὲ ἐν αὐτῷ τῷ λόγῳ·" καὶ πάλιν εἶπε· "πάντες δὲ τὰς πίστεις ποιοῦνται διὰ τοῦ δεικνύναι, "ἢ παραδείγματα λέγοντες ἢ ἐνθυμήματα· τὰ δὲ ἐνθυμήματα "ἐξ εἰκότων καὶ[11] σημείων." εἰσὶ δὲ καὶ κοινὰ ἐνθυμήματα ὧν εἰσιν οἱ τόποι κοινοί· οἷον ὁ ἀπὸ τοῦ μᾶλλον, ὁ ἀπὸ τοῦ ἧττον, καὶ τῶν τοιῶνδε· εἰσὶ δὲ καὶ ἴδια ἐνθυμήματα τὰ φυσικοῖς μόνοις, φέρε εἰπεῖν, προσήκοντα, καὶ ἄλλα ἴδια τὰ ἠθικοῖς.

Εἶπε καὶ ταῦτα ἐκεῖ· "Διαιρετέον τῶν ἐνθυμημάτων τά τε "εἴδη καὶ τοὺς τόπους, ἐξ ὧν ληπτέον. λέγω δὲ εἴδη μὲν τὰς "καθ' ἕκαστον γένος ἰδίας προτάσεις· τόπους δὲ τοὺς κοινοὺς "ὁμοίους ἁπάντων· πρῶτον δὲ λάβωμεν τὰ γένη τῆς ῥητορικῆς, "εἶτα χωρὶς, τὰ στοιχεῖα καὶ τὰς προτάσεις·" εἶπεν ὅτι, "τὰ "δὲ τεκμήρια καὶ τὰ εἰκότα καὶ τὰ σημεῖα, προτάσεις εἰσὶ "ῥητορικαὶ, καὶ ὁ ἐκ τούτων δὲ συλλογισμὸς, ἐνθύμημα λέ-"γεται."

Εἰ τοίνυν ἐν τῷ πρώτῳ οὐ τοσοῦτον ἐφρόντισε τῶν προοιμίων ταῖς ἐνθυμηματικαῖς πίστεσι τὸ ἐνδύναμον κυρώσας τῶν ἀποδείξεων, ἀλλ' οὖν ἐν τῷ παρόντι βιβλίῳ μέλει τῷ φιλοσόφῳ καὶ τούτου τοῦ μέρους· ὅπως ποιόν τινα θήσεις τὸν κριτὴν καὶ τὸν ἀκροατήν.

"Ἐκ τίνων μὲν οὖν δεῖ προτρέπειν καὶ ἀποτρέπειν·" περὶ γὰρ ὧν βουλεύονται πάντες οἱ συμβουλεύοντες, πέντε εἰσὶν, ὡς ἔμαθες ἐν τῷ πρώτῳ· ταῦτα δὲ αἱρούμεθα δι' εὐδαιμονίαν. καὶ ποῖαι δόξαι· δόξαι περὶ εὐδαιμονίας πολλαί· οἱ μὲν γάρ φασιν αὐτὴν "εὐπρα-"ξίαν μετ' ἀρετῆς, ἢ αὐτάρκειαν ζωῆς," καὶ τὰ προηριθμημένα· "μέρη δὲ αὐτῆς, εὐγένεια, πολυφιλία," καὶ τὰ προειρημένα· ἴδε δὲ καὶ δόξας περὶ ἀγαθοῦ· τί ἐστι τὸ ἀγαθὸν, κἀντεῦθεν ὁρμώμενος[12] ἀπὸ λημμάτων προτάσεις ποιήσεις τοῦ ἐνθυμήματος.

Ὁ περὶ πανηγυρικοῦ λέγων, περὶ ἀρετῆς, καὶ κακίας εἴπῃ[13]

10 εἰσὶν. 11 καὶ om. 12 ὁρμώμενος ὡς ἀπὸ. 13 εἴποι.

Digitized by Google

τὰ δέοντα, ἐξ ὧν καὶ ποιός τις κατὰ τὸ ἦθος φανεῖται· ἥπερ ἦν δευτέρα πίστις. οὗτος οὖν ἐρεῖ τὰς δόξας τὰς περὶ τοῦ καλοῦ καὶ τοῦ καλλίονος· ἀλλὰ καὶ ὁ περὶ τοῦ δικανικοῦ εἴποι τί ἐστι τὸ ἀδικεῖν, καὶ τίνες ἀδικοῦσι, καὶ οἵους, καὶ ὅσων χάριν· περὶ γὰρ
5 τούτων καὶ ἐκ τούτων τὰ ἐνθυμήματα λέγονται.

Περὶ γὰρ τῶν τριῶν εἰδῶν τῆς ῥητορικῆς τὰ ἐνθυμήματα λέγεται· καὶ ἐκ τούτων τῶν τριῶν δηλαδὴ δοξῶν, καὶ τῶν τοιῶνδε προτάσεων· καὶ γὰρ τὰς συμβουλὰς κρίνομεν, καὶ τὴν συμφέρουσαν ἐκλεγόμεθα· ἀλλὰ καὶ ἡ δίκη κρίνεται· διὰ τοῦτο καὶ ὁ Ἑρμο-
10 γένης εἴρηκεν, "ἐν προβλήμασι γὰρ ἢ κρίνομεν, ἢ βουλευόμεθα·" καὶ αὖθις· "περὶ ὧν ἡ βουλὴ ἢ τὸ δικαστήριον συνέστηκε." καὶ πάλιν ἐν ταῖς ἰδέαις φησίν· ὅτι "πολιτικὸν λέγομεν ἄνδρα καὶ "ῥήτορα λέγομεν, μόνον τὸν σύμβουλευτικὸν, ἢ δικανικόν· τὸν "δὲ παν̓ηγυρικὸν, λογογράφον."

15 C. 2, 27. "Δῆλον[15] ὡς δέοι κατασκευάζειν τῷ λόγῳ τοὺς "τοιούτους·" ἐν τῷ τέλει περὶ τῆς ὀργῆς· ἀποδείξει γάρ τις ἐχθρὸν τὸν κεκρυμμένον ἐχθρὸν ἀπὸ τῶν παραδοθέντων περὶ ἐχθροῦ τόπων· καὶ αὖθις ἀποδείξει φίλον τῇ πόλει, ἢ τῷδέ τινι ἢ τῷ δικαστῇ, τὸν μὴ ὑπολαμβανόμενον φίλον· ἀφ' ὧν τόπων ὁρμώ-
20 μενος, ποιήσεις τὸν Ἀλκιβιάδην μὴ ὄντα ἐχθρὸν, ἐχθρόν· τί γὰρ ὅτι δι' ὀργὴν, οὐ μὴν δι' ἔχθραν ἔλεγε κατὰ τοῦ Περικλέους, σπεύδων ἀντιλυπῆσαι αὐτὸν προλυπήσαντα; ἢ πάλιν τὸν μὴ ὄντα φίλον τοῦδε, ποιήσεις φίλον αὐτοῦ, διὰ τινὸς τῶν ἀποδοθέντων τόπων· "πῶς γάρ σου, ὦ Περίκλεις, ἐχθρὸς ἂν νομισθείη Ἀλκι-
25 "βιάδης, ὁ πάντας ἀεὶ τοὺς δημαγωγοὺς ἀγαπῶν, καὶ τοὺς ὑπὲρ "τῆς πόλεως." καὶ αὖ, φάσκοντος ὅτι ἐχθρός εἰμι τοῦ Περικλέους, διαλύσεις λέγων, "ὅτι οὐ πιστευτέος σύ· πῶς γὰρ ὃ ἀεὶ τοὺς "βουλευτὰς καὶ τοὺς δημαγωγοὺς καὶ ζηλῶν καὶ θαυμάζων τῆς "πόλεως." σὺ ἐκ τοῦ ἐναντίου πάλιν, εἰ λέγει φίλος εἶναι τοῦ Περι-
30 κλέους, διαλύσεις, ὡς οὐχί· "πῶς γὰρ ὁ ἔχων τοὺς ἐχθροὺς τοῦ "Περικλέους φίλους; ἐχθρὸς ἄρα σὺ ἀπὸ τοῦδε τοῦ τόπου." καὶ μεταβαλεῖς εἰ βούλει τὰ τῆς ἔχθρας εἰς ὀργὴν, καὶ τὰ τῆς

15 Δῆλον δ' ἂν ὡς.

Digitized by Google

ὀργῆς εἰς ἔχθραν· συναρπάζων τὸν ἀκροατὴν ἀπὸ τῆς οἷον ὁμοιότητος· ὁ μὲν γὰρ δι' ὀργὴν λυπούμενος, συγγνωστός· ὁ δὲ δι' ἔχθραν ματαίαν, οὐχί· ὅταν γὰρ ὦσι περὶ τοῦ αὐτοῦ καὶ ἑνὸς διάφοροι τόποι, τὸ αὐτὸ καὶ ἀνασκεύασεις δι' ἄλλου, καὶ κατασκευάσεις δι' ἑτέρου, ὡς ἐπὶ τῆς ὁδοῦ[16] ἔγνως· δείξεις γὰρ αὐτὴν καὶ ἀγαθὸν καὶ οὐκ ἀγαθόν· τὸ μὲν διὰ τοῦ "οὗ πάντα ἐφίεται·" τὸ δὲ, διὰ τοῦ[17], "κίνησιν ταύτην εἶναι καὶ λέγεσθαι."

"Ὡς γὰρ προσῆκον αὐτοῖς ἀγαθοῖς εἶναι," ζηλοῦσι γὰρ οἱ ζηλοῦντες τοὺς τὰ ἀγαθὰ ἔχοντας ἀγαθοὺς, ὅτι καὶ ἑαυτοῖς ἀγαθοῖς οὖσι προσῆκεν αὐτὰ ἔχειν· συντακτέον οὖν καὶ οὕτως, εἰ βούλει, διὰ τὸ σαφέστερον. ζηλοῦσι γὰρ, λείπει τοὺς τὰ ἀγαθὰ εὐτυχήσαντας ἔχειν, ὡς προσῆκον αὐτοῖς ἀγαθοῖς εἶναι· διὰ τοῦτο γὰρ ζηλοῦσν, ὡς ἀγαθοὶ καὶ αὐτοί· εἶτα εἰπὲ, ὅτι προσῆκε τοῖς ἀγαθῶς ἔχουσι τὰ τοιαῦτα τῶν ἀγαθῶν, ἤγουν τὰ ζηλωτά. ὥσπερ ἔχει[18] τοῦ Πιττακοῦ πρὸς Ἀμφιάραον. ὁ Πιττακὸς, ὡς ἔοικε, τραγῳδίαν ἐμελέτησεν εἰς Ἀμφιάραον ἐκεῖνον τὸν στρατηγικώτατον καὶ μαντικώτατον. οὗτος γὰρ ἔγνω ὡς ἐν τῷ Θηβαϊκῷ ἀναιρεθήσεται πολέμῳ, ὡς μάντις· διὰ τοῦτο μηνυόμενος παρὰ τοῦ Ἀδράστου ἐλθεῖν εἰς τὸν πόλεμον, οὐχ ὑπήκουσεν· ἕως τῇ αὐτοῦ γυναικὶ Ἐριφύλῃ[19] ἔστειλε[20] χρυσέους κόσμους καὶ χρήματα πρὸς Ἀμφιάραον. ὁ δὲ ταῦτα οὐκ ἐδέξατο· τοῦτο γοῦν[21] μελετῶν ὁ Πιττακὸς ἀπεφθέγξατο περὶ τοῦ χρυσοῦ.

C. 19, 14. Ὥσπερ καὶ Ἰσοκράτης ἔφη· "δεινὸν εἶναι εἰ ὁ "μὲν Εὐθύνους." ἐν τῇ τυραννίδι τῶν τριάκοντα ὡς ἐχθρὸς αὐτῶν διαβληθεὶς ὁ Νικίας, τοὺς οἰκέτας ἔξω τῆς γῆς ἐξέπεμψε, τὰ δὲ ἔπιπλα πρὸς Ἰσοκράτην ἐκόμισε· τρία δὲ τάλαντα ἀργυρίου Εὐθύνῳ παρέθετο τῷ ἀνεψιῷ· αὐτὸς δὲ εἰς ἀγρὸν διητᾶτο· ὕστερον[22] ὁ Εὐθύνους τὰ μὲν δύο ἀπέδοτο τάλαντα, τοῦ δὲ ἑνὸς ἔξαρνος ἐγένετο· συνηγορεῖ τοίνυν ὁ Ἰσοκράτης ὁ ῥήτωρ τῷ Νικίᾳ κατ' Εὐθύνου, (γράφεται καὶ Εὔθυμος ὄνομα κύριον) εἰπὼν, "οὐ δύνασαί "τι εὑρεῖν."

C. 21, 1. Ἡ γνώμη καθολικῶς ἐξήνεκται[23]· οἷον, πονηρὸν ὁ

16 ἑδὸν Cod. 1869. 17 τὸ. 18 ἔχει τὰ τοῦ. 19 Ἐριφύλη.
20 ἔπεμψε. 21 νῦν. 22 ὕστερον δὲ ὁ. 23 ἐξενήνεκται.

Digitized by Google

συκοφάντης, οὐ μὴν ὁ Αἰσχίνης ἀπόφανσις. οὕτω καὶ ὁ Ἀφθόνιος ὡρίσατο. τὰ συμπεράσματα γνῶμαι εἰσίν, ἀλλὰ καὶ ἡ μείζων πρότασις ἢ[24] ἐνθυμηματικῶς παρείληπται. διὰ τοῦτο καὶ "ἀρχὴν" εἶπε "ταύτην, ἀφαιρεθέντος τοῦ συλλογισμοῦ·" κυρίως γὰρ συλλογισμὸς τότε, ὅταν καὶ ἡ μείζων ληφθῇ, καὶ ὅταν μέσος ᾖ· ὧδε δὲ ἐπὶ τῶν ἐνθυμημάτων οὐκ ἔστιν.

οὐ ποιεῖ σοφοὺς περιττῶς καὶ κομψούς. — οὐ θέλει τοὺς παῖδας ἀργοὺς τρέφειν καὶ φθονουμένους ὑπὸ τοῦ δήμου. — ὁ ἀρτίφρων πατήρ.

ἐνθυμήματα τοῦ μέσου.

οὐ πάντα εὐδαιμονεῖ. — ἔχει τινὰ δυστυχήματα ὅδε

[25] ἐνθυμημα μετὰ τοῦ μέσου

οὐκ ἐλεύθερος — ἢ χρημάτων δοῦλος, ἢ τύχης. — ὅδε

[25] ἐνθύμημα μετὰ τοῦ μέσου

τῶν γνωμῶν

αἱ μὲν μετ' ἐπιλόγου, ὡς αἱ ἀποδείξεως δεόμεναι. — αἱ δὲ ἄνευ ἐπιλόγου, ὡς αἱ μὴ παράδοξοι

αἱ μὲν ἐνθυμηματικαὶ, αἱ καὶ τὸ αἴτιον ἔχουσαι — αἱ δὲ ἐνθυμήματος εἰσὶ μέρος. λείπει γὰρ ἐν αὐταῖς τὸ αἴτιον.

αἱ μὲν προεγνωσμέναι. — αἱ δὲ ἅμα τῷ λέγεσθαι γιγνωσκόμεναι.

C. 21, 5. Τὸ, "ἀνδρὶ δ' ὑγιαίνειν ἄριστον," Σιμωνίδου ἐστὶν ἀπὸ τῶν Σκολιῶν αὐτοῦ ἐπῶν. οἳ δ' Ἐπιχάρμου. Σκολιὸν δὲ ἐλέγετο τὸ ᾆσμα, διὰ τὴν περίοδον τὴν μεταξὺ τῶν κλινῶν, ἐν αἷς ἀνέκειντο οἱ[26] φίλῳ εὐωχούμενοι· ἄλλος ὧδε, καὶ ἕτερος ὧδε. οὕτως ὁ Πλάτων ἐν τῷ Πρωταγόρᾳ.

C. 21, 11. Τὸ "ξυνὸς Ἐνυάλιος" εἴποι τις πρός τινα ἡττη-

24 Om. 25 ἐνθυμήματα. 26 οἱ παρὰ.

Digitized by Google

θέντα ἐν τῇ μάχῃ, καὶ σήμερον δειλαινόμενον ἐξελθεῖν εἰς πόλεμον μετὰ ἐλαττόνων.

C. 21, 12. "Ἀττικὸς πάροικος" ἡ παροιμία ἐπὶ τῶν κακουργούντων. "παρ' ὄχλῳ μουσικωτέρους λέγειν" φησὶν ὁ παρ' Εὐριπίδῃ[28] Ἱππόλυτος πρὸς τὸν πατέρα Θησέα. 5

Ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγους·
εἰς ἥλικας δὲ κόλιγους σοφώτερος·
ἔχει δέ μοι καὶ τόδ'· οἱ γὰρ ἐν σοφοῖς
φαῦλοι, παρ' ὄχλῳ μουσικώτεροι λέγειν.

C. 22, 12. Ὁ Κύκνος υἱὸς ἦν Ποσειδῶνος, καὶ Χερρονήσου 10 ἐβασίλευε, κυκνόθρεπτος γεγονώς, διὸ καὶ κύκνος ἐκλήθη παρὰ τῶν ἁλιέων·

αἰθυόθρεπτος πορκέων λιναγρέτης·

βασιλεύων δὲ ἦν σὺν τῷ υἱῷ Τένῃ τῆς Τενέδου. ἄμφω οὖν τὸν πατέρα καὶ τὸν υἱὸν ἀπέκτεινεν Ἀχιλλεύς. 15

C. 23, 3. Ἡ Ἀλφεσίβοια, ἡ γυνὴ ἦν τοῦ Ἀλκμαίωνος, ἡ ἀδελφὴ ἴσως· λυπουμένη οὖν ἐρωτᾷ τὸν Ἀλκμαίωνα, πῶς ἡ πόλις κατέκρινε τὴν Ἐριφύλην δικαίως ἀποκτανθῆναι· κατέκρινε δὲ καὶ σὲ θανεῖν ὡς ἀποκτείναντα ταύτην. λύει οὖν ὁ Ἀλκμαίων· ὡς οὐχ ὑπ' ἐμοῦ ἐχρῆν τὴν μητέρα μου θανεῖν, ἀλλὰ παρ' ἑτέρου. 20

C. 23, 5. "Καὶ σὸς μὲν οἰκτρός·" οἶμαι ταῦτα πρὸς τὴν Ἀλθαίαν λέγειν τὸν Οἰνέα, λυπουμένην δι' ἀδελφὸν αὐτῆς ἀναιρεθέντα[29] παρὰ Μελεάγρου, καὶ διὰ τὸν πατέρα αὐτῆς λυπούμενον· φησὶ γοῦν, εἰ λυπεῖται ὁ πατήρ σου διὰ τὸν υἱὸν αὐτοῦ, οὐ δεῖ κἀμὲ πάνυ λυπεῖσθαι, ὡς ἀπολέσαντα τὸν υἱόν σου Μελεάγρον; 25

"Ἔτι εἰ μήτε μᾶλλον μήτε ἧττον," ἀλλ' ὁμοίως δηλαδή.

C. 23, 8. "Τὸ δαιμόνιον ἄρα θεὸς, ἢ θεοῦ ἔργον" οἷον ὁ Σωκράτης κατηγορούμενος, ὅτι οὐκ οἴεται εἶναι θεοὺς, ἀλλὰ καινὰ καταγγέλλει δαιμόνια· ἐπεχείρησεν ἀπὸ ὅρου, δεικνύων ἐντεῦθεν ὅτι ἔστι θεός. 30

C. 23, 12. Ὁ πατὴρ Νικοκλέους ἦν ὁ Εὐαγόρας. ἐπιτάφιον οὖν τῷ Εὐαγόρᾳ ποιήσας ὁ Ἰσοκράτης, πέπομφε τῷ Νικοκλεῖ. ὑμνεῖ δ' ἐν τούτῳ τῷ λόγῳ τὸν ἄνδρα, πρὸς ὃν καὶ Κόνων ἀρχηγὸς[30] Ἀθηναίων κατέφυγε, τῶν Λακεδαιμονίων τυραννησάντων[31], οὓς[32]

28 Εὐριπίδου Cod. 1869. 29 φονευθέντα. 30 Κώνων στρατηγὸς.
31 θαλαττοκρατησάντων. 32 οἷς.

Digitized by Google

Εὐαγόρας καταστρεψάμενος[33], κατήγαγε πάλιν εἰς τὴν πατρίδα τὸν Κόνωνα.

C. 23, 15. "Τὸ ἕλος καὶ τὸ ἅλας·" παροιμία ἐπὶ τοῖς[34] δυσὶν ἐναντίοις περιπεσόντων· αἱ ἁλυκαί εἰσιν ἀναγκαῖαι καὶ χρήσι-
5 μοι, κἄν τε ὀρυκτῶν[35] ἁλῶν εἰσὶν, ἄν τε[36] θαλαττίων. ἐπίπρασκεν οὖν τις ἁλυκὴν, πλησίον δὲ ταύτης εἶχε καὶ τόπον ἑλώδη, ἄχρηστον πάντως· βιάζεται γοῦν τὸν ἀγοράζοντα τοὺς ἅλας, τὸν εὔχρηστον δηλαδὴ τόπον ἀγοράσαι, καὶ τὸ ἕλος τὸν[37] ἄχρηστον· μονώτατα γὰρ ἄν τις οὐ πρίαιτο τὸν ἑλώδη τόπον· τὸ μὲν οὖν ἓν
10 λέγεται ἔσω, τὸ δὲ ἕτερον ἔξω· τὸ δημοκοπούμενον παροιμῶδες, ὃ καὶ βλαίσσωσις λέγεται.

C. 23, 18. Εἴτε γὰρ τὸν Ξέρξην βασιλέα ὑμῶν ἡγεῖσθε, εἴτε τὴν αἴτησιν αὐτοῦ πληρώσετε, τὸ δοῦναι αὐτῷ γῆν καὶ ὕδωρ, τὸ αὐτὸ καὶ ἓν ὑμῖν ἀποτέλεσμα, τὸ δουλεύειν αὐτῷ· ληπτέον δὲ
15 ὁποῖον χρήσιμον. εἰ γὰρ βούλει δεῖξαι μὴ καλὸν εἶναι τὸ[38] δοῦναι γῆν καὶ ὕδωρ, λέγε ἅπερ εἴπομεν· εἰ δὲ τοὐναντίον, ὅτι σύμβολον τοῦτο φιλίας μᾶλλον ἐστίν. ἐζήτει δὲ ταῦτα ἐκεῖνος, ἢ τῆς χώρας ἁπάσης καὶ τῆς ζωῆς αὐτῶν κυριεύειν μηχανώμενος, ἐκ τῆς ἐκείνων θελήσεως, ἢ καὶ τῶν σωμάτων αὐτῶν· ἅπασι γὰρ ἡ γένεσις ἐκ
20 γῆς καὶ ὕδατος[39]· διὸ καὶ ὁ μὲν τῶν ποιητῶν εἶπεν·

ὕδωρ καὶ γαῖα γίνοισθε·

ὁ δὲ

γαῖαν ὕδει φύρειν·

καὶ πάλιν· εἰ τὴν εἰρήνην βούλει κωλύσαι, εἰπὲ ὃ εἴρηται κατὰ
25 Φιλίππου· εἰ δὲ μὴ, ὅτι τὸ ζητεῖν τὸν Φίλιππον εἰρήνην, σημεῖον μᾶλλον ἀγάπης.

C. 23, 20. "Τὸ οὗ ἕνεκα εἰ μὴ γένοιτο·" ὡς ὁ Αἴας ἔλαβέ ποτε παρὰ τοῦ Ἕκτορος τὸ ξίφος, ὃδὲ παρὰ τοῦ Αἴαντος τὸν ζωστῆρα· καὶ εἰς κακὸν ἀμφοῖν ταῦτα τὰ δῶρα γεγόνεισαν[40]· διὰ
30 τοῦτο ἔφη·

ἐχθρῶν γὰρ ἄδωρα δῶρα.

C. 23, 21. Ἄλλος τόπος κοινὸς καὶ τοῖς δικανικοῖς καὶ τοῖς συμβουλευτικοῖς· σκοπεῖν τὰ δι' ὧν προτρέπονται οὗτοι εἰς τὸ ἐρ-

33 πολεμῶν. 34 τῶν. 35 ὀρεκτῶν Cod. 1869. 36 κἄν τε.
37 τὸ. 38 Om. 39 Om. 40 ἐγεγόνεισαν.

Digitized by Google

γάσασθαι, καὶ τὰ δι' ὧν κωλύονται τόδε ποιῆσαι· οἷον εἰ ῥάδιον, εἰ δίκαιον τόδε τι, προτρεπόμεθά σε αὐτὸ ποιῆσαι· καὶ χάριν τινὸς, οἷον φυλακῆς, πόλεως· ἢ ἐλάττων ἡ ζημία παρὰ τὸ πρᾶγμα τὸ πραχθὲν, ὡς ἐπὶ τῆς ἀντιστάσεως ἔχει, τὸ κόψαι τὸν στρατηγὸν τὸ τεῖχος, ἵν' ἐξέλθοιεν οἱ στρατιῶται καὶ ἄκοντες, καὶ συμμίξωσι τοῖς πολιορκοῦσι, καὶ νίκην ἐργάσωνται. Ἐκ μὲν τῶν ἀποτρεπόντων ἀπολογοῦνται, ἐκ δὲ τῶν προτρεπόντων κατηγοροῦσι· κατηγορῶ γάρ τινος, λέγων διατί τόδε τι οὐκ ἐποίησας, καί τοι ῥάδιον καὶ συμφέρον. πάλιν ἀπολογοῦνται[41] ὑπέρ τινος, λέγων, δικαίως οὐκ ἐποίησεν ὅδε τόδε· ἀδύνατον γὰρ ἦν καὶ ἀσύμφορον.

C. 23, 29. Ἀφροδίτη ἐξ ἀφροσύνης κέκληται ἐν τῷ δράματι τῶν Τρωάδων, ὑπὲρ ἑαυτῆς δημηγορησάσης τῆς Ἑλένης πρὸς Μενέλαον· ἀπολογεῖται[42] Ἑκάβη πρὸς αὐτὴν καὶ δείκνυσιν αὐτὴν ψευδομένην. ἀλλὰ καὶ ἐν τοῖς τῶν θεῶν ἐπαίνοις, ὡς ὁ Ζεὺς ὀνομάζεται, ὡς ζωῆς ἡμῖν[43] αἴτιος· τὴν δὲ αἰτιατικὴν Δία λέγομεν, διὰ τὸ προνοητικὸν αὐτοῦ πρὸς ἡμᾶς καὶ φυλακτικὸν, διὰ τὴν διὰ πρόθεσιν· δι' αὐτοῦ γὰρ συντηρούμεθα[44].

C. 24, 2. Τὰ παρὰ τὴν λέξιν σοφίσματα ἑξαχῶς συμβαίνει. αὐτὸς δὲ ἓν μέρος τούτων τίθησι, τὸ μὴ συλλογισάμενον συμπερασματικῶς εἰπεῖν τὸ τελευταῖον· ὡς ὁ Παρμενίδης, τὸ παρὰ τὸ ὂν, οὐκ ὂν, τὸ οὐκ ὂν, οὐδὲν, ἓν ἄρα τὸ ὄν. τελευταῖον δὲ εἶπε καὶ οὐ συμπέρασμα· ὅτι κυρίως συμπέρασμα τότε ἐστὶν, ὅτε καὶ προτάσεις· φαινομένως δὲ ἐνθύμημα ἐστὶ καὶ τὸ ἐν τοῖς ἐνθυμήμασι τὴν μείζονα πρότασιν καὶ παραλελειμμένην, ἣν καὶ ἀντικεῖσθαι φησὶ τῇ ἀληθεῖ, "ἀντικειμένως" τουτέστι ψευδῶς εἰπεῖν. ψευδοῦς γὰρ ὄντος τοῦ, ὅτι πᾶς ὁ νύκτωρ πλανώμενος, κλέπτης· ἡ πρότασις[45] καὶ μείζων καὶ[46] παρελείφθη· ἡ ἀντικειμένη ἀληθὴς ἡ οὐ πᾶς. "καὶ τὸ τοῖς ἐνθυμήμασι συνεστραμμένως[47]." συνεστραμμένον τὴν μείζονα πρότασιν λέγει[48], ὡς παραληφθεῖσαν μὲν, συστρέφουσαν δὲ καὶ ἐνάγουσαν τοὺς δικαστὰς πρὸς εὕρεσιν ἑαυτῆς. διὸ καὶ ἐν τῇ ἀποδεικτικῇ εἶπε συμπείθουσα· σὺν τῇ καθόλου γὰρ τῇ παραλελειμμένῃ ἐκείνῃ, ὅλον τὸν συλλογισμὸν οἷον ἀπαρτί-

41 ἀπολογοῦμαι. 42 ἀπολογεῖται ἡ. 43 Om. 44 τοῦτο γὰρ παρεμφαίνει ἡ αἰτιατική. 45 πρότασις ἡ. 46 Om. 47 ἤτοι συνεστραμμένην. 48 τοῦτο γὰρ λέγει.

Digitized by Google

σαντες ἐν ἑαυτοῖς οἱ δικασταὶ, ἢ παρεῶσιν ἢ πείθονται. διὸ καὶ εἶπε πάλιν, ὅτι ἡ μείζων αὕτη καὶ παραλειφθεῖσα ψευδὴς οὖσα, χώρα ἐστὶν ἐνθυμήματος· οὐ μὴν ἐνθύμημα, ἀλλὰ τόπον οἷον ἐνθυμήματος ἀποπληροῖ. τὸ δὲ "καὶ ἔοικε δὲ τὸ τοιοῦτον παρὰ τὸ
5 "σχῆμα εἶναι τῆς λέξεως," τοιοῦτόν ἐστιν. ὅτι ἐσχημάτισται κατὰ τὴν λέξιν ὁμοίως τῷ ἀληθεῖ, οὐ μὴν ἀληθῶς οὕτως ἔχει· ὥσπερ εἴτις εἴπη[49] τὸ θῆλυ οὐδέτερον, τὸ ἄρρεν οὐδέτερον, τὸ ἄρρεν ἄρα θῆλυ.

"Ὅτι τοὺς μὲν ἔσωσε" κεφάλαιον ὧδε εἶπε τὰ προβλήματα,
10 δεόμενα τῆς τῶν οἰκείων ἑκάστῳ προτάσεων δείξεως· τὸ δὲ ἐξ ἄλλων ἀπεδείχθη, ἀντὶ τοῦ ἀποδειχθῆναι, ὡς ἐχρῆν, εἴρηται.

"Τὸν ἐν τῷ οὐρανῷ" ἤτοι τὸν κύναστρον ἢ τὸν τράγον ἐγκωμιάζων, τὸν Πᾶνα τῶν θεῶν τὸν τραγοσκελῆ καὶ γενειήτην, καὶ κερασφόρον, εἰς τὸ ἐγκώμιον φέρει τοῦ χιμάρου. τὸ δὲ τοῦ Πινδάρου
15 ἆσμα, οἱ μὲν εἰς τὸν Πᾶνα ἐκδεδώκασι, κυνοειδῆ θεὸν ὄντα, ὡς ἔφησαν· "παντοδαπὸν" δὲ εἶπον, ὡς συμμιγέντων πάντων τῶν θεῶν τῇ Ῥέᾳ ἢ τῇ Ἥρᾳ, καὶ γεννηθέντος οὕτω τερατώδους[50] τοῦ Πανός. ἐγὼ δὲ τὸν κύναστρον λέγω ὡς κύνα ἄλλον, ἢ τῆς Ἀρτέμιδος, ἢ καὶ ἄλλως· καὶ ἀνάγνωθι τὰ φαινόμενα τοῦ Ἀράτου, καὶ
20 εὑρήσεις περὶ τοῦ κυνός. τινὰ δὲ τῶν βιβλίων "κοινὸν μίγμα καλέ-"ουσιν" ἔχουσι· τότε γὰρ, εἰ οὕτω γράφεται, τὸν Πᾶνα νόησον· ἢ τὸ μηδένα εἶναι κύνα, τὸ πρὸς φιλοσοφίαν κυνικὸν καὶ αὐστηρὸν καὶ φυλακτικὸν τῶν ὀρθῶν δογμάτων δηλοῖ· ἢ τοῦ ζώου φιλητικόν· κύω γὰρ τὸ φιλῶ λέγεται· φιλεῖ γὰρ τοὺς οἰκείους, καθυλακτεῖ
25 δὲ τῶν ἀλλοτρίων.

"Οἱ ἀγαθοὶ οὐκ ἀξιοχρήματοι λέγονται, ἀλλ' ἀξιόλογοι."

C. 24, 3. Ἄλλος τὸ διῃρημένον: Καὶ οὗτος ὁ τόπος τῶν παρὰ τὴν λέξιν ἐστι σοφισμάτων. ἃ γὰρ ἐδίδαξεν ἐν τοῖς σοφιστικοῖς ἐλέγχοις, ταῦτα ἅ[51] ἐστιν, ὁμωνυμία, ἀμελειότης, σύνθεσις, διαί-
30 ρεσις, προσῳδία, σχῆμα λέξεως.

Καὶ ἐπεὶ τὸ δὶς τοσοῦτον ὅσον εἶδες: Τὰ μὲν εἰρημένα παρὰ τὴν σύνθεσιν ἦσαν σοφίσματα, τὸ παρὸν δὲ τὴν διαίρεσιν. εἰ γὰρ τὰ εἴκοσι κεράτια τῆς ἐντεριώνης βλαβερὸν φάρμακον τῷ προσιε-

49 εἴποι. 50 οὕτω τοῦ. 51 Om.

Digitized by Google

μένῳ, οὐδὲ τὸ ἥμισυ τούτων, ἤγουν τὰ δέκα, ἀβλαβὲς, ὑγιεινόν. πῶς γὰρ, ἐπεὶ τὰ εἴκοσιν ἐδόθησαν βλαβερά; εἰ γὰρ τὰ δέκα τούτων ὑγιεινὸν, λοιπὸν οὐχὶ τὰ εἴκοσιν ἐδόθησαν βλαβερόν. ἀλλαμὴν ἐδόθησαν. εἰ γὰρ τὰ δύο νομίσματα καλὸν τί, ἐξ ἀνάγκης καὶ τὸ ἓν τούτων τοιοῦτον. ἄτοπον γὰρ εἰ τὰ δύο ἀγαθὰ ἓν κακὸν ἐστί. τοῦτο πολλὰ πράγματα παρέσχε τοῖς διδασκάλοις ἡμῶν καὶ ἐξηγηταῖς. ἐγὼ δὲ ὡς ἔνι[52] τὸ παρὸν, ὡς οἶμαι, σαφηνίζω. ἀλλὰ πρῶτον ἄξιον προκαταστῆσαι τὸ νόημα τοῦ προτέρου σοφίσματος τοῦ, "καὶ ἐπεὶ δὶς τοσοῦτον νοσῶδες, μηδὲ τὸ ἓν φάναι "ὑγιεινὸν εἶναι." ἀντίστροφον ἐστὶ τόδε. ἐκεῖ μὲν γὰρ ἐπὶ δύο ἐδόθη ὁ λόγος βλαβερῶν, καὶ ἐξ ἀνάγκης καὶ τοῦ ἡμίσεος τοιούτου. ὧδε δὲ, ὡς ἐπὶ δύο ἀγαθῶν, καὶ ἐξ ἀνάγκης καὶ τοῦ ἡμίσεος τούτων τοιούτου, ἤγουν ἀγαθοῦ. εἰ γὰρ τὰ δύο ἀγαθὰ, καὶ τὸ ἓν τούτων ἀγαθόν. οὐ γὰρ τὰ δύο λοιπὸν ἀγαθὰ δέδονται, ἀλλαμὴν δέδονται. συντακτέον[53] οὖν οὕτως. ἄτοπον γάρ ἐστι, καὶ ἀτόπαστον, καὶ οὐδενὶ ὑποληπτὸν, τὸ ἓν κακὸν εἰ τὰ δύο εἰσὶν ἀγαθά. ὑποδιαστολὴν οὖν τίθει εἰς τὸ δύο, καὶ ἑτέραν εἰς τὸ ἀγαθὰ, καὶ ἑτέραν εἰς τὸ ἓν, καὶ ἑτέραν εἰς τὸ κακόν. τοῦ ἐσχάτου, δηλαδὴ τοῦ ἔστι, τῷ ἄτοπον γὰρ, συνταττομένου. ἐμιμήσατο οὖν ὡς ἔοικεν ὁ δαιμόνιος τὸ παρὰ τὴν διαίρεσιν τοῦτο σόφισμα, καὶ τοῖς πολλοῖς τούτοις διαιρετικοῖς σχήμασι ταῖς λεγομέναις ὑποδιαστολαῖς.

Τὸ δὲ "τριήρης ἐν Πειραιεῖ" σόφισμα, παρὰ τὴν σύνθεσιν ἐστίν. ἡ δὲ λύσις τούτου παρὰ τὴν διαίρεσιν γίνεται. ὁμοίως καὶ τὸ, "τὸ ἔπος οἶδεν ὁ καὶ τὰ στοιχεῖα." τὸ δὲ "ἐπεὶ τὸ δὶς τοσοῦτον "νοσῶδες" καὶ τὰ ἑξῆς, παρὰ τὴν διαίρεσιν μὲν, ὡς σόφισμα, ἡ δὲ λύσις τούτου λοιπὸν παρὰ σύνθεσιν. εἰ γὰρ τὰ $\bar{\kappa}$ κεράτια τὸ φάρμακον νοσοποιὸν, τὸ ἥμισυ τούτων, ἤγουν τὰ δέκα, ὑγιεινόν. ἀλλαμὴν τὰ εἴκοσι ἐδόθησαν νοσοποιὸν, οὐκ ἄρα τὰ δέκα ὑγιεινόν. ὁρᾷς πῶς ὁ ταῦτα λέγων σοφίζεται, διαιρῶν τὰ $\bar{\kappa}$ εἰς $\bar{\iota}$ καὶ $\bar{\iota}$. καὶ τὴν μὲν μίαν δεκάδα τῆς εἰκοσάδος ἀγαθὸν, τὴν δὲ ἑτέραν βλαβερὸν[54] θέμενος· ὃ ἄτοπον, ὥς φησι· τὰ γὰρ εἴκοσι νοσερὸν ἐδόθησαν. ἀλλ' οὐ δεῖ διαιρεῖν, ὦ οὗτος, τὰ $\bar{\kappa}$. ἀλλὰ μενέτωσαν

52 ἔχει. 53 συντακτέον ἄρα. 54 φαῦλον.

Digitized by Google

τὰ κ ἀδιαίρετα ὡς μέρος ἕν. εἶτα τίθει ἕτερα δέκα κεράτια, ὑγιεινὸν, ὡς ὁμοῦ τά τε βλαβερὰ τά τε ὑγιεινὰ τριάκοντα ἀριθμεῖσθαι. σὺ δὲ εἴκοσι τὰ πάντα ποιεῖς, ἀλλ' οὐ τοῦτο. ἔστω οὖν ἡ σύνθεσις τῶν εἴκοσι σῶα καὶ ἀδιαίρετος· τεθείσθω δὲ καὶ ἥμισυ τούτων, ἕτερα δέκα. καὶ μὴ ἡ ἐν αὐτοῖς δεκάς· ἡ γὰρ εἰκοσὰς, σῶα τηρείσθω ὡς εἶπον. ὧδε δὲ δεικτέον, "οὐ γάρ ἐστιν ἓν κακὸν, "δύο ἀγαθά·" καὶ τοῦτο τὸ ῥητὸν ταραχὴν πεποίηκε τοῖς ἐξηγηταῖς· ἀλλ' οὕτω καὶ τοῦτο ὡς οἶμαι κατορθωθήσεται. τὰ δύο, φησὶν, ἀγαθὰ, οὐκ ἔστιν ἓν κακὸν, καὶ τοῦτο παρὰ τὴν διαίρεσιν, ὡς εἴρηται, τὸ σόφισμα. καὶ ἐὰν μὴ[55] εἶχε τὸν ἓν συναπτικὸν σύνδεσμον, οὐκ εἶχεν ὄχλησιν τὸ ῥητὸν, ἵνα ᾖ οὕτως. οὐ γάρ ἐστι[56] κακὸν, εἰ δύο ἀγαθά. εἰ γὰρ τὸ διπλάσιον ἀγαθὸν, οὐκ ἄρα κακὸν τὸ αὐτοῦ ἥμισυ[57], ἤγουν τὸ ἓν τῶν δύο· τὰ γὰρ δύο δέδοται ἀγαθά. καὶ ἐπελυσάμεθα ἀνώτερον. ἰδοὺ τὸ σόφισμα διὰ τῆς συνθέσεως, σόφισμα μένον ἀπὸ τῆς διαιρέσεως. νῦν δὲ ἐπεὶ οὐκ ἔχει τὸν σύνδεσμον, δυσκολίαν φέρει τὸ ῥητόν. οὐ γάρ ἐστι κακὸν, δύο ἀγαθά. φημὶ οὖν ὡς οὐκ ἔστι τὰ δύο ἀγαθὰ διαιρούμενα πάντως εἰς ἓν καὶ ἓν, ἓν κακὸν προσυπάκουε, καὶ ἓν ἀγαθόν· οὐ δεῖ γὰρ τὴν δυάδα τὸ ἀγαθὸν, διαιρῆσαι εἰς ἓν κακὸν, καὶ εἰς ἓν ἀγαθὸν[58], ὃ εἰ καὶ σεσιώπηται, ἀλλ' οὖν τῷ προσέχοντι εἴρηται. τὰ γὰρ δύο δέδοται ἀγαθὸν, ἢ γοῦν τὸ ἓν καὶ τὸ ἓν τῆς δυάδος ἀγαθὸν, ὡς καὶ δέδοται. καὶ λοιπὸν ψεύδειν[59] λέγων τὸ ἥμισυ κακὸν, ἢ τὸ ἓν καὶ τὸ ἓν τῆς δυάδος κακὰ[60], καὶ λοιπὸν[61] καὶ πάλιν ψεύδη. τὰ γὰρ δύο δέδοται ἀγαθόν. κἂν τοίνυν τὸ ἓν τῆς δυάδος φυλαττέσθω ἀγαθὸν, τὸ δὲ ἕτερον ἔστω κακὸν, καὶ πάλιν ψεύδη. τὰ γὰρ δύο δέδοται ἀγαθόν. τοῦτο γοῦν τὸ μέρος τῆς διαιρέσεως ἐνταῦθα παρέλαβεν εἰπὼν ὁ φιλόσοφος, "οὐ γάρ ἐστιν ἓν κακὸν, δύο ἀγαθὰ," ὥστε λυτέον καὶ τοῦτο, ὡς ἄνω παρ' ἐμοῦ λέλυται. τὰ δύο φυλαττέσθωσαν κεράτια σῶα καὶ ἀνελλιπῆ· εἶτα ἑτέρωθεν ἰδία λάμβανε ἕν· ἵν' ᾖ, εἰ[62] τὰ δύο ὑγιεινὸν, τὸ ἕτερον[63] ἐκεῖνο νοσῶδες· εἰ δὲ τὰ δύο νοσῶδες, τὸ ἕτερον ἓν[64] ἐκεῖνο ὑγιεινόν. παρὰ τὴν διαί-

55 εἰ μὲν. 56 ἐστὶ ἓν. 57 τὸ ἥμισυ αὐτοῦ. 58 οὐ δεῖ γὰρ— ἀγαθὸν, om. 59 ψεύδῃ corr. al. m. 60 κακὸν. 61 Om. 62 Om. 63 τὸ δὲ ἕτερον ἓν. 64 Om.

Digitized by Google

ρεσιν οὖν τὸ ἁμάρτημα· λέλυται δὲ ἀπὸ τῆς συνθέσεως, ὃ[65] ἔδει δεῖξαι.

" Καὶ ὅτι εἰ μὴ Θησεὺς ἠδίκησεν." Ὄπισθεν εἴρηται τοῦτο[66], εἰς τὸν τέταρτον τόπον. ἡρπάγη γὰρ πρὸ τοῦ Ἀλεξάνδρου ἡ Ἑλένη ὑπὸ Θησέως, Ἕλληνος σώφρονος καὶ μεγάλου υἱοῦ Αἰγέως τῷ φαινομένῳ, τῇ δ' ἀληθείᾳ Ποσειδῶνος· οὔπω μὲν ἀκμάζουσα, εἶδει δὲ τῶν ἄλλων ἀκμάζουσα. εἰς Ἄφιδναν δὲ πόλιν τῆς Ἀττικῆς ταύτην ἐκόμισε, παραθέμενος τὴν κόρην Αἴθρᾳ, τῆς Πιτθέως μὲν θυγατρὸς[67], μητρὶ[68] δὲ ἑαυτοῦ. ὅτε καὶ οἱ Διόσκουροι λαφυραγωγοῦσι τὰς Ἀθήνας, μὴ τυχόντες[69] Θησέως· αἰχμαλωτίζουσι δὲ καὶ Αἴθραν τὴν αὐτοῦ μητέρα.

" Καὶ εἰ μὴ Τυνδαρίδαι, οὐδ' Ἀλέξανδρος." Τυνδάρεως, καὶ Ἀφαρεὺς, καὶ Λεύκιππος, ἀδελφοί. ὁ δὲ Λεύκιππος εἶχε θυγατέρας δύο, Φοίβην καὶ Ἱλάειραν, ἃς οἱ Διόσκουροι ἔτι παρθένους οὔσας ἐξήρπασαν. εἰ γοῦν μὴ οἱ Τυνδαρίδαι πρῶτοι περὶ τὰς ἐξαδέλφας αὐτῶν ἐμάνησαν, οὐδ' ἂν Ἀλέξανδρος περὶ τὴν αὐτῶν ἀδελφήν. οὕτως ἐν τῷ γάμμα[70] τὸ λεξικὸν τὸ Ὁμηρικὸν[71] λέγει[72]· εἰ καὶ ὁ Λυκόφρων ἄλλως λέγει περί τε τούτων, ἀλλὰ καὶ περὶ τῶν τοῦ Ἀφάρεως υἱῶν, Ἴδου καὶ Λυγκέως. περὶ δὲ τῆς Λευκοθέας τῆς ἐν τῷ κϛ τόπῳ μάνθανε· ὅτι[73] ἡ Ἰνὼ Κάδμου θυγάτηρ ἦν, ἡ καὶ Λευκοθέα, ἣ καὶ Νηρηΐς γέγονε. περὶ ἧς καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ·

ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα·
νῦν δ' ἁλὸς ἐν πελάγεσι θεῶν, ἐξέμμορε τιμῆς.

καὶ Πίνδαρος ἐν τῷ ἐπινίκῳ Θήρωνος Ἀκραγαντίνου.

C. 24, 3. Πάλιν τὸ Πολυκράτους εἰς Θρασύβουλον, ὅτι τριάκοντα τυράννους κατέλυσεν, ὅμοιον εἴτις εἴπῃ[74], ὅτι ὁ ὦμος ἑκατὸν μεδίμνους ἐβάστασεν· οὐ γὰρ ἅμα, ἀλλὰ διηρημένως, ἀνὰ δ̄ ἢ ἀνὰ γ̄· τὸ δὲ σόφισμα γέγονε παρὰ τὴν σύνθεσιν· οὗτοι γὰρ διὰ τὸν ἐπ' ἀλλήλοις πόθον ὁμονοήσαντες, ἀπέκτειναν τὸν τύραννον Ἵππαρχον.

65 ὅπερ. 66 Om. 67 τῇ—θυγατρὶ. 68 Om. 69 τυχόντες τοῦ. 70 τὸ γράμμα. 71 τοῦ Ὁμήρου. 72 Om. 73 ὅτε Cod. 1869. 74 εἴποι.

Digitized by Google

ταῖς πόλεσι συμφέρει ἐρῶντες.

Ἁρμόδιος καὶ Ἀριστογείτων

μονότροπος

μεγαλόψυχος Πάρις

κλέπτης πονηρὸς π Διονύσιος.

ἐμήνισεν ὑβρίσθη μὴ κληθεὶς Ἀχιλλεύς

μοιχὸς καλλωπιστὴς ὅδε

κλέπτης νύκτωρ πλανᾶται ὅδε πτωχὸς ἐν τοῖς ἱεροῖς ᾄδει ὅδε

φυγὰς ἢ βούλεται οἰκεῖ ὅδε δοξαστὸν ἐστὶν μὴ ὂν

τραγέλαφος

παρὰ τὸ εἰκὸς ἤτοι τὸ μὴ εἰκὸς γίνεται.

ἐπιστητὸν ἐπιστητὸν ὡς ἄγνωστον τὸ ἄγνωστον

C. 24, 10. Εἰκός ἐστι πολλάκις, καὶ τὸ μὴ εἰκὸς γίνεσθαι· οἷον, τὸ μισεῖν τοὺς κακῶς πεπονθότας τὸν κακῶς ποιήσαντα εἰκός· ἀλλὰ πολλάκις ὁ κακῶς παθὼν ἀγαπᾷ τὸν κακῶς ποιήσαντα· "ἀγαπᾶτε γάρ," φησι τὸ λόγιον, "τοὺς κακῶς ποιήσαντας ἡμᾶς·" πολλάκις οὖν, ὑπὸ τοῦ ἐναρέτου δηλαδὴ, καὶ τὸ μὴ εἰκὸς γίνεσθαι, γίνεται· τὸ δὲ μὴ εἰκὸς παρὰ τὸ εἰκός· τὸ παρὰ τὸ εἰκὸς ἄρα, εἰκός· ἀλλὰ πῇ[76], καὶ ποτὲ, οὐ μὴν ἁπλῶς· εἰ γὰρ τὰ πλεονάκις οὕτω, τοῦτο ἐστὶν εἰκὸς μᾶλλον· οἷον εἴτις εἴπῃ[77], εἰκὸς τὸν εὖ παθόντα μισεῖν τὸν εὖ ποιήσαντα, εἰπὲ, οὐκ εἰκὸς τοῦτο ὁ λέ-

75 ὑμᾶς. 76 Om. 77 εἴποι.

Digitized by Google

γεις σὺ, ἀλλὰ μᾶλλον ὃ λέγω ἐγὼ, ἐκεῖνο ἐστὶν εἰκὸς, τὸ τὸν εὖ παθόντα φιλεῖν τὸν εὖ ποιήσαντα· διότι καὶ τῷ χρόνῳ τῷ μακρῷ, οὕτως ὃ λέγω γίνεται· ἀλλὰ καὶ ἡ φύσις αὐτοῦ τοῦ πράγματος, αὐτὸ ὃ φημι ἀπαιτεῖ.

"Ἐπειδὴ τρία ἐστίν·" ἓν μὲν ἐδιδάχθημεν κεφάλαιον τὸ περὶ γνωμῶν, ἐνθυμημάτων, παραδειγμάτων, καὶ ἁπλῶς εἰπεῖν, περὶ ὧν ἐμάθομεν ἐν ταῖς ἰδέαις τοῦ[18] Ἑρμογένους ῥητορικῆς ἐννοιῶν· ἃς ἐννοίας ὧδε ὁ Ἀριστοτέλης περὶ τὴν διάνοιαν κέκληκε· τὰ δὲ λοιπὰ δύο, ἐν τῷ τρίτῳ βιβλίῳ διδαχθησόμεθα, ἅ ἐστι περὶ λέξεως· τοῦτο[19] δεύτερον κεφάλαιον, καὶ τρίτον τὸ περὶ τάξεως, ὃ[20] ἔοικε τῇ παρὰ Ἑρμογένει μεθόδῳ.

ΕΚ[21] ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ.

"ΚΑΙ ἐκ πόσων, ὅτι ἐκ τριῶν·" περὶ ὧν εἴρηκε καὶ ἐν τῇ ἀρχῇ τοῦ δευτέρου βιβλίου· τρία γὰρ ταῦτα καὶ ἐκεῖ λέγει· τό τε ποιὸν τινὰ φαίνεσθαι τὸν λέγοντα ῥήτορα, ἤγουν σπουδαῖον, εὐλαβῆ, εὔνουν τῇ πόλει· ἀλλὰ καὶ τὸ αὐτοὺς τοὺς δικαστὰς, καὶ τοὺς ἀκροατὰς, ποιοὺς εἶναι· ἤγουν ἢ πρὸς ἔλεον παρακεκινημένους ὑπὸ τῶν προοιμίων, ἢ πρὸς ὀργὴν, καὶ τὰ τοιάδε πάθη· καὶ τρίτον, τὸ καλῶς ἀποδεικνύειν τὰ περὶ ὧν λέγει πράγματα, καὶ πιθανῶς· ἃ καὶ ἐν τῷ παρόντι παρασημειοῦται τρίτῳ βιβλίῳ· εἴδη μὲν ἐνθυμημάτων, τὸ δεικτικὸν, τὸ λεκτικόν· τόποι δὲ ἐνθυμημάτων, οἵτε $\overline{\kappa\eta}$ καὶ οἱ δέκα.

C. 1, 3. Ἡ ὑπόκρισις μέγιστόν ἐστιν, ἔν τε ποίησει καὶ ἐν πεζοῖς λόγοις· ὡς ὁ Χρυσόστομος τὰ κατὰ τὸν Ἀβραὰμ μελετήσας, ἐμιμήσατο τὲ τοῦτον ἄριστα, καὶ τὴν Σάρραν, καὶ Ἰσαὰκ, καὶ τοὺς δούλους, καὶ τοὺς Ἰσμαηλίτας· ὡς ἐκ τῶν περὶ Αἰσχίνην καὶ Δημοσθένη δεδήλωται. ἐτραγῴδησε μὲν γὰρ παρὰ Φιλίππον ἰὼν Αἰσχίνης, καὶ καλῶς ὑπεκρίθη· καὶ νενίκηκε καὶ ἐστεφάνωται· ὁ δὲ Δημοσθένης μὴ ἔχων εἰς τὴν ὑπόκρισιν, ἡττήθη· κἀντεῦθεν αὐτοῖς ἡ διαμάχη συνέπεσεν.

18 τῆς. 19 τοῦτο γάρ ἐστι δευτέρον. 20 ὅπερ. 21 ἀπὸ τοῦ.

Cod. 1869.

Digitized by Google

Ἔστιν οὖν ὑπόκρισις, τὸ ἑκάστῳ πάθει κατάλληλον τὴν ἐξαγγελίαν διὰ τῆς ποῖας φωνῆς ποιεῖσθαι. εἰ μὲν γὰρ τύραννον ἢ Πολυμήστορα μιμοῖτο, δεῖ μεγάλῃ χρῆσθαι φωνῇ· εἰ δὲ γυναῖκα, οἷον, Ἑκάβην, ἢ Πολυξένην, μικρᾷ, καὶ οἷον ὑπὸ τοῦ πάθους
5 διακοπτομένῃ· ἀλλὰ καὶ τοῖς τόνοις χρηστέον ἁρμοζόντως· διὰ τοῦτο καὶ οἱ τὰ ἅγια Εὐαγγέλια ἀναγινώσκειν μανθάνοντες, μυοῦνται πρῶτον τοὺς τόνους· ὀξεῖαν, καὶ συρματικὴν, καὶ βαρεῖαν καὶ τελείαν ἐκπαιδευόμενοι. ἔστι μὲν οὖν ἁρμονία, φθόγγος ἐξ ὀξέος καὶ βαρέος· ῥυθμοῦ δὲ ἴδιον, τὸ ταχὺ καὶ βραδύ. τὰ μὲν
10 οὖν ἆθλα οἱ σκηνικοὶ ἐλάμβανον, καλῶς ὑποκρινόμενοι· οὐ μὴν οἱ ποιηταί· ὥσπερ καὶ σήμερον οἱ ᾄδοντες τὰς περισσὰς ταύτας ᾠδὰς ἐν ταῖς παρ' ἡμῖν ἑορταῖς, λαμβάνουσι τὰς τιμάς· οὐ μὴν οἱ στιχουργήσαντες ταύτας, ἀλλ' οἱ μελήσαντες[22].

Ὅτι δὲ ἡ τῶν λέξεων ἐπιτήρησις οὔτ' ἀναγκαῖον· καὶ ὅτι ὕστε-
15 ρον οἷά τις λώβη τῷ λόγῳ ἐπεισεφάνη[23]· καὶ ὅτι δεινὸς ῥήτωρ ὁ τὰ ἀληθῆ λέγων ἐστὶ μᾶλλον παρὸ ὁ διὰ λέξεων ἐξαπατῶν, ὁ Σωκρατῆς δηλοῖ ἐν τῇ πρὸς Ἀθηναίους ἀπολογίᾳ, περὶ τῶν κατηγορησάντων αὐτοῦ, λέγων· "μάλιστα δὲ αὐτῶν ἓν ἐθαύμασα τῶν "πολλῶν ὧν ἐψεύσαντο, τοῦτο, ἐν ᾧ ἔλεγον, ὡς χρὴ ὑμᾶς εὐλα-
20 "βεῖσθαι, μὴ ὑπ' ἐμοῦ ἐξαπατηθῆτε, ὡς δεινοῦ ὄντος λέγειν. τὸ "γὰρ μὴ αἰσχυνθῆναι ὅτι αὐτίκα ὑπ' ἐμοῦ ἐξελεγχθήσονται "ἔργῳ, ἐπειδὰν μηδ' ὁπωστιοῦν φαίνωμαι δεινὸς λέγειν, τοῦτό μοι "ἔδοξεν αὐτῶν ἀναισχυντότατον εἶναι· εἰ μὴ ἄρα καλοῦσιν αὐτοὶ "δεινὸν λέγειν τὸν τἀληθῆ λέγοντα. εἰ μὲν γὰρ τοῦτο λέγουσιν,
25 "ὁμολογοίην ἂν ἔγωγε, οὐ κατὰ τούτους εἶναι ῥήτωρ. οὗτοι μὲν "γὰρ οὐδὲν ἀληθὲς εἰρήκασιν, ὑμεῖς δέ μου ἀκούσεσθε πᾶσαν "τὴν ἀλήθειαν· οὐ μέντοι μὰ Δί', ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιε-"πημένους λόγους, ὥσπερ οἱ τούτων ῥήμασί τε καὶ ὀνόμασιν, οὐδὲ "κεκοσμημένους· ἀλλ' ἀκούσεσθε εἰκῆ λεγόμενα τοῖς ἐπιτυχοῦσιν
30 "ὀνόμασι· πιστεύω γὰρ δίκαια εἶναι ἃ λέγω."—Καὶ μετ' ὀλίγα. "Τοῦτο ὑμῶν, ὦ ἄνδρες, δέομαι, ἐὰν διὰ τῶν αὐτῶν λόγων ἀκούητέ "μου ἀπολογουμένου, δι' ὧν περ εἴωθα λέγειν, καὶ ἐν ἀγορᾷ ἐπὶ "τῶν τραπεζῶν, ἵνα ὑμῶν οἱ πολλοὶ ἀκηκόασι." Καὶ ἄλλοθι.

[22] μελίσαντες Cod. 1869. [23] ἐπεισεφθάρη Cod. 1869.

Digitized by Google

"μήτε θαυμάζειν μήτε θορυβεῖν τούτου ἕνεκα" Καὶ πάλιν μετὰ μικρόν· "δικαστοῦ μὲν γὰρ ἀρετὴ προσέχειν, εἰ δίκαια λέγω ἢ "μὴ, ῥήτορος δὲ τἀληθῆ λέγειν."

C. 1, 7. "Ἐκείνη μὲν οὖν ὅταν ἔλθῃ." ἡ τοιάδε λέξις καὶ ποιητικὴ[24] ἐν τῷ πεζῷ, ταυτὸν δύναται τῇ ὑποκριτικῇ· ἀμφότερα γὰρ παρὰ τοῖς μοχθηροῖς ἀκροαταῖς εὐδοκιμοῦσιν· ἢ οὕτως· ἡ ἔντεχνος ὑποκριτικὴ, ὅταν ἔλθῃ εἰς γνῶσιν ἡμῶν[25] ἢ ἄλλης νόσου.

C. 2, 10. Τὸν Σικελὸν τύραννον Διονύσιον οἱ μὲν ἐκολάκευον ἄγαν, λέγοντες αὐτὸν σοφὸν καὶ τραγικὸν ἄριστον καὶ ἀνδρεῖον. οἱ δὲ κακῶς ἔλεγον αὐτὸν, ὡς[26] τύραννον· οὓς καὶ ἀπέκτεινε καὶ ἐπίπρασκεν. ἐκεῖνοι μὲν οὖν ὡς ἀληθεῖς τάχα καὶ ἐνάρετοι ἔσκωπτον τοὺς Διονυσιοκόλακας· οἱ δὲ ἐπαινοῦντες ἑαυτοὺς ἔλεγον, ὅτι ἡμεῖς μᾶλλον παρ' ὑμᾶς[27] ἐσμὲν τεχνῖται, τέχνῃ τιθασσεύοντες τὸν τοιοῦτον θῆρα· ὑμεῖς δὲ μωροὶ, μὴ εἰδότες οἰκονομεῖν τοὺς καιρούς.

Ἀδικεῖν ἐστι τὸ ἑκόντα τινὰ κατὰ προαίρεσιν ποιῆσαι τόδε τὸ κακὸν, ἁμαρτεῖν δὲ τὸ ἀκουσίως· ὡς εἴ τις κατὰ κυνὸς ῥίψας[28] λίθον, ἐκείνου μὲν ἀποτύχῃ[29], βάλῃ[30] δὲ ἄνθρωπον. ἐὰν οὖν τινα ἀδικήσαντα μέλλῃς τάχα τιμᾷν, εἴποις ἂν ὅτι ἥμαρτεν οὗτος, καὶ δεῖ τάχα συγγνώμην λαβεῖν. καὶ ἐάν τινα ἁμαρτήσαντα μέλλῃς βλάψαι, εἴποις ὡς ὁ παρὼν ἠδίκησε. πολλάκις κλέπτει τίς· καὶ λέγω ὅτι ὁ παρὼν ἔλαβεν· ὃ τάχα οὐ τοσαύτη ὕβρις. ἐὰν δὲ εἴπω ὅτι ὁ παρὼν ἐπόρθησεν, ὕβρις τοῦτο.

Διὰ τὸν Ἀχιλλέα λέγει τὸ, "κώπης ἀνάσσων" ἦλθεν.

C. 2, 11. "Ἔστι δὲ καὶ ἐν ταῖς συλλαβαῖς." ὥσπερ ὁ Ἑρμογένης κατὰ πολλοὺς τοὺς τρόπους τὸ κακόζηλον λέγει γίνεσθαι, ἢ διὰ τὸ αἰσχρὸν, ἢ διὰ τὸ εὐτελὲς, ἢ τὸ ἀνακόλουθον, καὶ τὰ λοιπὰ, καθ' ὅσα τὸ προγύμνασμα ἡ ἀνασκευὴ γίνεται· οὕτω καὶ ὁ Ἀριστοτέλης ὧδε περὶ μεταφορᾶς διδάσκων καλῆς τε καὶ φαύλης, λέγει, ὅτι οὐ μόνον ἐν ὀνόμασι καὶ ῥήμασι γίνεται φαυλότης ταύτης, ἀλλὰ καὶ ἀπὸ συλλαβῆς τραχείας καὶ σκληρᾶς καὶ

24 ποιητικὴ καὶ ἐν. 25 Est vacuum spatium in Cod. 1951.
26 ὡς om. 27 ἢ ὑμεῖς. 28 ἀφεὶς. 29 ἀποτύχοι. 30 βάλοι.

Digitized by Google

ἀνηδύντου· οἷον τὸ ἐν τοῖς ἐλεγείοις τῆς χαλκῆς στήλης τοῦ τυράννου Διονυσίου εὕρηται· τοῦ γὰρ προσαγορεύει ἡ $\overline{\text{προ}}$ συλλαβὴ, φαύλην ποιεῖ τὴν μεταφορὰν διὰ τὴν τραχύτητα τῆς φωνῆς, ἣν ἐποίησεν ἡ ἐπαλληλία τῶν συμφώνων τοῦ $\overline{\pi}$ καὶ τοῦ $\overline{\rho}$· μεταφορὰ δέ ἐστι τὸ προσαγορεύει· ἐπὶ γὰρ τοῦ ἀσπαζομένου καὶ χαιρετίζοντος τινὰς τοῦτο λέγεται. ἀνθρωπὸς δὲ ὁ προσφθεγγόμενος, ἡ δὲ χαλκῆ στήλη ἄψυχος· ἀλλὰ καὶ κραυγὴ Καλλιόπης ἡ ποίησις, μεταφορικόν ἐστιν· ἡ γὰρ κραυγὴ, ζώου ἐστὶ κραυγή· ἡ δὲ Καλλιόπη μουσικῆς ποιὰ δύναμις· μυθικῶς δὲ ἡ οὐκ ἀληθῶς ὡς θεὰ σωματοποιεῖται· ἀσώματον δὲ ἡ θεός· κἂν Εἴδοθείη αὕτη[32] θεός· καὶ ἡ $\overline{\text{κραυ}}$ συλλαβὴ, οὐκ ἔστιν ἡδεῖα ἀλλὰ τραχεῖα. Ὅτι ἄμφω φωναὶ καὶ ἡ $\overline{\text{προς}}$ καὶ ἡ $\overline{\text{κραυ}}$, ἃς νῦν φωνὰς, ἀνώτερον δὲ συλλαβὰς κέκληκε· φαύλη δὲ ἡ μεταφορὰ αὕτη διὰ τὸ ἄσημον καὶ δύσηχον τῆς φωνῆς. Ἐν τῇ στήλῃ γοῦν οἶμαι τοῦ Διονυσίου ἐγράφησαν ἐλεγεῖα τοιόνδε ἔχοντα νοῦν· ὅτι, ὦ ξένε, ὦ ὁδίτα, προσαγορεύω σε ἐγὼ ὁ χαλκοῦς Διονύσιος· ἐρωτᾷς δέ με τίς εἰμι, ὦ ξένε; Ἐγὼ ὁ βασιλεὺς Σικελῶν, τιμήσας καὶ τοὺς λόγους καὶ τὸν ποιητήν. ἀπέστελλε γὰρ οὗτος κατὰ τὸν νενομισμένον καιρὸν ἐν Ὀλυμπίᾳ δράματα αὐτοῦ τραγικὰ, καὶ σκηνὴν ἀξιόλογον· καὶ ἀνεγινώσκοντο· ὅθεν καί ποτε ὑποβρύχιος γέγονεν ἡ λέμβος ἡ τὴν σκηνὴν φοροῦσα, καὶ ἀπέσκωψαν τινὲς εἰς τὸ πράγος, εἰπόντες, ὡς ἐπεὶ ἀναξία ἦν καὶ ἀπροσφυὴς ἡ δραματουργία τοῦ τυράννου, διὰ τοῦτο ἅμα αὐτοῖς καὶ τοῖς χοροῖς καὶ τοῖς σκεύεσι καὶ ἡ τραγῳδία ἀπώλετο. φορτικοὶ δέ εἰσιν οἱ γράφοντες διὰ τῶν $\overline{\iota}$ $\overline{\iota}$ τὸ ἰδίας, καὶ μὴ νοοῦντες καλῶς τὸν φιλόσοφον[33]· ἄσημος λέξις ἐστὶ καὶ ἡ $\overline{\text{προ}}$, καὶ ἡ $\overline{\text{τρη}}$, καὶ ἡ $\overline{\text{τρα}}$ ἐν τῷ προσέβη τρηχεῖ ἀτραπόν· καὶ τὸ, ἔπλαγξεν, ἔγναμψεν, ἔμαρψε.

C. 2, 12. "Μεταφέρειν δὲ δεῖ·" καὶ φησὶ "τὰ ἀνώνυμα ὠνο-"μασμένως·" ὅπερ ἐπὶ τοῦ ὀνοματοποιεῖν ἐν κατηγορίαις εἶπεν, ἵνα ἀπὸ τοῦ συγγενοῦς εὑρίσκωμεν καὶ ὀνοματοποιῶμεν τὰ ἀνώνυμα· ἀπὸ γὰρ τοῦ πηδαλίου γνωρίμου ὄντος, τὸ πηδαλιωτὸν ὀνοματοποίησον[34], καὶ ἀπὸ τῆς κεφαλῆς τὸ κεφαλωτόν· οὕτω δὴ καὶ ἀπὸ τῆς

32 αὐτῇ. 33 τὸ δαιμόνιον Cod. 1869. 34 ὠνοματοποίησε.

Digitized by Google

δήλης προσθέσεως μετάφερε τὴν κόλλησιν ἐπὶ τῆς σικυιάσεως· πρόσθεσις γάρ τις καὶ ἡ κόλλησις.

C. 2, 13. Τὸ κάλλος τῆς λέξεως καὶ τὸ αἶσχος, ἢ ἐν τοῖς ψόφοις φησὶν εἶναι, ἢ ἐν τῷ σημαινομένῳ· τὸ φλοῖσβος γὰρ καὶ τὸ ῥοῖζος, ὃ ἐπὶ πυρὸς λέγεται ἠχοῦντος, καὶ τὸ δοῦπος, ἐν μὲν τοῖς ψόφοις καὶ ταῖς ἐκφωνήσεσιν, αἰσχρά· σκληρὰ γὰρ καὶ τὴν ἀκοὴν ἀποκναίοντα· ἀλλ' ὅμως πάνυ σημαντικά εἰσι τῶν πραγμάτων ἃ δηλοῦσι. ματαίως δὲ ἔλεγεν ὁ Βρύσων, ὡς οὐκ ἔστιν αἰσχρολογεῖν. ἀντὶ γὰρ τῆσδε τῆς λέξεως, εἰ εἴπω ἑτέραν λέξιν τὸ αὐτὸ δηλοῦσαν, οὐκ αἰσχρολογῶ· καλῶς δὲ ἐν τοῖς περὶ μεταφορᾶς λόγοις συνέταξε καὶ τὸ αἶσχος[36] καὶ τὸ κάλλος τῆς λέξεως ὁ φιλόσοφος· σὺ μὲν γάρ, ὦ Βρύσων, εἰ εἴπῃς[37] γελῶσαν θάλασσαν καὶ γαληνιῶσαν, ταυτὸν δύνασθαι τὰς λέξεις εἴπῃς[38]· ἀλλὰ τὸ μὲν γαληνιῶσαν, οἰκειότερον ἐπὶ τῆς θαλάσσης, τὸ δὲ γελῶσαν, πορρώτερον ἔχει τὸ μεταφορικὸν, καὶ οὐχὶ πρὸ ὀμμάτων καὶ ἔγγιστα καὶ φανερόν· ἄμφω μὲν γὰρ αἱ λέξεις τὸ ἡδὺ καὶ τὸ γλυκὺ, τὸ αὐτό σοι δοκοῦσι σημαίνειν· ἀλλ' οὐκ ἔστι τὸ αὐτό· τὸ μὲν γὰρ καλὸν εἰ δοκεῖ, τὸ δὲ κάλλιον· τὸ δὲ καλὸν ὡς πρὸς τὸ κάλλιον, οὐ καλὸν ἀλλ' αἰσχρόν πως· τὸ γὰρ γλυκὺ ἔχει τὴν αἰσχρότητα, οἷον ἐν τῷ ψόφῳ· καὶ τὸ πρᾶον οὕτω καὶ τὸ ἥμερον· τὸ πρα-τραχὺ, καὶ οἷον κατὰ τόδε αἰσχρόν· τὸ ὀπύειν καὶ τὸ συμφθείρεσθαι αἰσχρὰ καὶ ἄμφω· ἀλλὰ τὸ μὲν καλὸν κατὰ τὴν ἐκφώνησιν· οὐ γὰρ ἔχει συγκρούσεις συμφώνων ἢ φωνηέντων, ἵνα ἢ χασμῳδία ἢ σκληρότης φανῇ· τὸ δὲ αἰσχρὸν καὶ κατὰ τὴν ἐκφώνησιν καὶ κατὰ τὸ σημαινόμενον, ὥστε τὸ ἔχον τὸ αἰσχρὸν κατὰ δύο, αἰσχρότερον τοῦ κατὰ ἕν τι. ἀπὸ τῶν καλῶν αὕτη ἡ μεταφορὰ μετενήνεκται[39]. ὡς τὸ ῥόδον ἡδὺ, καὶ τὸ κάλλος ἄρα καλόν. τῇ δυνάμει δὲ

ὡς λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας,

οὕτω καὶ ὁ βασιλεὺς ἐχάρη τόνδε τὸν Πέρσην κατασχὼν, καὶ τῇ βίᾳ τῶν χειρῶν ἄγχων. ἔστι δὲ καὶ τὸ

ἀποβὰς εἰς Μυσίαν

ἀπρεπές· ἀνώτερον εἴρηται τοῦτο περὶ τοῦ Ἀχιλλέως· ἀπρεπὲς

36 καὶ τὸ αἶσχος om. 37 εἴποις. 38 ἀρεῖς. 39 μετενήνεγκται.

Digitized by Google

δέ ἐστι διὰ τὸ τὴν ἀπόβασιν γίνεσθαι τότε, ὅταν τις ἀπὸ τῆς νεὼς πρῶτον[40] ἐκβὰς πατήσῃ τηνικαῦτα εἰς τὸν αἰγιαλόν· ἡ δὲ Μυσία πορρωτάτη[41] τῆς θαλάσσης ἐστίν.

C. 1, 9. "Ἀλλ' ὥσπερ ἐκ τῶν τετραμέτρων εἰς τὸ ἰαμβεῖον μετέβησαν." τοῦτο ἀνώτερον εἴρηται, ὅτι οἱ ἀρχαιότεροι ποιηταὶ τροχαϊκοῖς ἐχρῶντο, ἃ λέγεται τετράμετρα, διὰ τὸ μέχρις ὀκτὼ ποδῶν βαίνειν, κατὰ διποδίαν μετρούμενα· ὧν τετραμέτρων ἀρετή ἐστι τὸ εἶναι τροχαϊκὸν τετράμετρον καταληκτικόν, οἷον ἐστὶ παρὰ τῷ Ἑρμογένει παραμυθηθὲν, τὸ "οὗτος ἀστράτευτος ἑάλω, καὶ κέχρηται συμφορᾷ·" "οὗτος ἀστρα," διποδία τροχαϊκὴ ὡς ἓν μέτρον εἰλημμένη· "τευτος ἑάλω," ἑτέρα καὶ τοῦτο διποδία, ὡς ἓν καὶ αὐτὴ μέτρον, ἀπὸ τοῦ τροχαίου, καὶ ἀντὶ δακτύλου, ἤγουν ἀναπαίστου· οὗτος γὰρ καὶ ἀντιδάκτυλος λέγεται· "καὶ κέχρηται·" ἑτέρα καὶ τοῦ τοδιποδία, ἀπὸ τροχαίου καὶ σπονδείου· ἰδοὺ τὸ πᾶν τρίμετρον ἐστὶ τὸ "οὗτος ἀστράτευτος ἑάλω καὶ "κέχρηται·" τὸ δὲ "συμφορᾷ," ἑτέρα διποδία τάχα λειπομένη μιᾶς συλλαβῆς, ἀπὸ τροχαίου συνισταμένη καὶ μιᾶς συλλαβῆς τροχαίου, τῆς $\overline{\rho\alpha}$ δηλαδὴ συλλαβῆς. διὰ τοῦτο καὶ καταληκτικὸν λέγεται τὸ ὅλον τετράμετρον τροχαϊκόν. εἰ δὲ εἶχε καὶ τὴν ἑτέραν συλλαβὴν, ἐλέγετο ἂν τροχαϊκὸν τετράμετρον ἀκατάληκτον· ἀλλ' ἀρετὴ τοῦ τελείου τροχαίου αὕτη ἐστὶ, τὸ εἶναι τροχαϊκὸν τετράμετρον καταληκτικόν· ὥσπερ καὶ τοῦ ἰάμβου ἀρετὴ, τὸ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον· ὡς τὸ,

ὦ παντὸς ἔργου καὶ θεηγοροῦ λόγου.

τρίμετρα γάρ εἰσι τὰ ἰαμβικά· οἷς καὶ οἱ νέοι ποιηταὶ χρῶνται, ὥς φασιν οἱ τὰ ἑξάμετρα ποιοῦντες. ἑξάμετρον τὸ ἡρωικόν ἐστι· τοῦτο κατὰ διποδίαν μετρεῖται· ἀρετὴ δὲ καὶ τούτου, τὸ μὴ εἰς τέλειον ἡρωικὸν καταλήγειν, ἀλλὰ ἡρωικὸν ἑξάμετρον καταληκτικόν· ὡς πάντα σχεδὸν τὰ ἔπη τοῦ Ὁμήρου ἔχουσι. τὸ ἡρωικὸν ἑξάμετρον ἀκατάληκτον γίνεσθαι, σπάνιόν ἐστιν· ὡς τὸ,

καὶ πῦξ ἀγαθὸν Πολυδεύκεα.

C. 3, 1. Τὸ "κατευορκήσαντες" τινὲς, οὕτω λέγουσι, τοὺς κατά τινος εὐορκήσαντας, ἤτοι ἀληθεύσαντας.

40 πρῶτος. 41 πορρωτάτω. 42 κατὰ διποδίαν μετρούμενα om.

Digitized by Google

C. 3, 2. Ἐν τῷ κατὰ τοῦδέ τινος εἰπεῖν "ἄθυρμα τῇ ποιή-
"σει," οἷον Θερσίτης.

C. 3, 3. "Ἀντίμιμον" εἶπε, διότι τοῦ θυμικοῦ τὸ ἦθος καὶ ἡ τοῦ σώματος ἐμφαίνει διάθεσις· εἰ γάρ τις ἀνδρεῖος ἐστὶν, ἀντιμιμεῖται καὶ ἡ ψυχὴ τὸ ἦθος τούτου. 5

C. 4, 3. Οἱ Σάμιοι ὡς ἔοικεν ὑπόφοροι ὄντες[42] τῶν Ἀθηναίων ἐλυποῦντο· εἰ καὶ πολλάκις εὐεργεσίας ἐκεῖθεν ἐλάμβανον.

C. 5, 4. "Τύχοι γὰρ ἄν τις ἐν τοῖς ἀρτιασμοῖς·" ἀρτιασμὸς καὶ τὸ ἀρτιάζειν ἐστὶ τὸ δραξάμενον ἀστραγάλων ἢ τινῶν ἄλλων, ἐξετάζειν τὸν συμπαίζοντα, πότερον ἀρτίους, ἢ περιττοὺς κατέχει· 10 οὕτω καὶ Πλάτων ἐν τῷ διαλόγῳ τοῦ Λύσιδος λέγει.

C. 5, 7. "Καὶ τὸ Ἀντιμάχου χρήσιμον·" τοῦτο εἰπὲ καὶ οὕτως κατ' ἐμέ· τὸ ἐξ ὧν μὴ ἔχει λέγειν τοιοῦτον ἐστὶν, ἤτοι ἀφαιρεματικῶς· ἢ ἐξ ἀναιρέσεως καὶ ἐκ τῶν στερήσεων λέγειν· οἷον εἴ τις εἴπῃ[43] ἄλυρον[44] τὸ μέλος τῆς σάλπιγγος, καὶ τὸ τοῦ κώδωνος ἄχορδον· 15 ἐκ τοῦ ἐναντίου δὲ πάλιν εἴποι τις ἀπὸ τῆς στερήσεως τὴν λύραν ἔχειν μέλος ἀσάλπιγκτον, καὶ ἀκώδωνον. πῶς δὲ τοῦτο εἴπῃς[45] ἐπὶ τοῦ Τευμησσοῦ· οἷον τὸ ὀλίγος στερητικός ἐστι, καὶ ἐξ ὧν οὐκ ἔχει· οὐ γὰρ πολύς ἐστι. στέρησις οὖν τις δοκεῖ τοῦ πολλοῦ τὸ ὀλίγος. 20

C. 7. 2. Γράφεται καὶ "πότνια σύ·" τὸ γὰρ πότνια μέγα καὶ θαυμαστὸν καὶ θεῖον ὄνομα· τὸ δὲ "σὺ," ἐφύβριστον καὶ εὐτελὲς ἄγαν. διὰ τοῦτο καὶ ἐν τοῖς ἱεροῖς λόγοις ὁ Χριστὸς λέγει· "ὁ εἰπὼν τῷ ἀδελφῷ αὐτοῦ ῥακὰ, ἔνοχος ἔσται τῇ γεέννῃ" τὸ γὰρ ὄνομα τοῦτο τὸ[46] ῥακὰ, κατ' ἐνίους τῶν ἐξηγητῶν, τὸ σὺ 25 δηλοῖ προσφώνημα· μὴ καταδεχομένου ἂν[47] τῷ οἰκείῳ ὀνόματι καλέσαι τὸν ἀδελφόν.

C. 7, 10. "Ἐὰν οὖν τὰ μαλακὰ σκληρῶς·" ἔνστασιν τινὰ λύει· εἶπε γὰρ ἀνώτερον, ὅτι τὰ ὑβριστικὰ κατὰ τινος ῥήματα ἀπάγγελλε κἂν ἱλαρῶς· εἶτα εἶπεν ἴσως ἄν τις, καὶ λοιπὸν ἄρα 30 γε καὶ τὰ μαλακὰ καὶ προσηνῆ ῥήματα ἀπαγγελῶ ἐναντίως· ἤγουν τραχείᾳ καὶ ὀργίλῳ[48] τῇ ἐκφωνήσει· λύει οὖν τὸν λόγον ὁ

[42] τὰς ἀθην. Cod. 1869. [43] εἴποι. [44] ἄλυτον Cod. 1869. [45] εἴποις.
[46] τῷ Cod. 1869. [47] κἂν. [48] ὀργίλῃ.

Digitized by Google

φιλόσοφος· οὐχί φησι· μελάγχολος γὰρ καὶ ἀνακόλουθος ὀφθήσῃ· παρακαλεῖ οὖν τὸν ἄνθρωπον μὴ εἶναι τραχὺν, κἂν καὶ τὰ ὀνόματα ᾖ τραχέα· εἰ δὲ τὰ ὀνόματα ᾖ προσηνῆ, πολλῷ μᾶλλον καὶ προσηνῶς ταῦτα ἐκφωνήσῃ[48].

5 C. 8, 4. Τρία εἴδη ὀρχήσεων· σίκινις ἡ ἱερὰ, ᾗ χρῶνται ἐν τοῖς θειοῖς ναοῖς οἱ χειρονομοῦντες ἐρρωμένοι· πυρρίχη ἡ ἐνόπλιος, ᾗ χρῶνται οἱ στρατιῶται κατὰ ξιφῶν καὶ μετὰ ξιφῶν κυβιστῶντες, καὶ οἱ ἐν ταῖς γαμηλίοις[49] παιδιαῖς παίζοντες μετὰ σπάθης· τρίτη ὁ κόρδαξ, ᾧ οἱ ἀγοραῖοι ὀρχησταὶ κέχρηνται. ὁ τροχαῖος 10 οὖν κορδακικώτερος τοῦ ἰάμβου ἐστὶν, ἤγουν εὐκινητότερος, ὡς ἀρχόμενος ἀπὸ μακρᾶς.

"Λείπεται δὴ παιάν" ὃ εἰσὶν οἱ παιᾶνες ἀπὸ τοῦ ποσοῦ τῆς μακρᾶς παρωνομασμένοι· πρῶτος ὁ ἔχων τὴν πρώτην μακρὰν, καὶ τὰς λοιπὰς τρεῖς βραχείας· δεύτερος ὁ ἔχων τὴν δευτέραν μακρὰν, 15 τὴν δὲ πρώτην καὶ τὰς τελευταίας δύο βραχείας· τρίτος ὁ ἔχων τὴν τρίτην μακρὰν, τὰς δὲ πρὸ αὐτῆς δύο καὶ τὴν τελευταίαν βραχείας· τέταρτος, ὁ ἔχων τὴν τετάρτην μακρὰν, τὰς δὲ πρὸ αὐτῆς τρεῖς βραχείας· ὡς Στησίχορος· Ὀνήσιμος· Φιλόδημος· Ἐπιγένης· ἔστι δὲ τρίτος ὁ παιάν· πρῶτος γὰρ ὁ ἡρῶος· δεύτερος, 20 ὁ τροχαῖος· ὧν ἐχόμενος, ἤτοι ἐφεξῆς κείμενος, ὁ παιάν· ὃς πεντάχρονος ἐστὶν, ἐν ἡμιολίῳ λόγῳ θεωρούμενος· ὡς τρία γὰρ πρὸς δύο ἐστίν· ὡς αἱ γ̄ βραχεῖαι τοῦ πρώτου παιᾶνος πρὸς τὴν πρώτην τὴν μακράν· ἢ χρόνων ἐστὶν, ἐκείνων δὲ τῶν δύο, ὁ μὲν ἡρῶος ἐστὶν ἓν[50], ἤγουν ἴσον πρὸς ἴσον· αἱ γὰρ δύο βραχεῖαι συλλαβαὶ 25 τὸν αὐτὸν λόγον ἔχουσιν, ὃν καὶ ἡ πρώτη, ἡ δύο χρόνων οὖσα· τετράχρονος γὰρ ὁ ἡρῶος· δύο πρὸς δύο, ἴσον πρὸς ἴσον. ὃ ἐδήλωσε διὰ τοῦ εἰπεῖν "ἓν πρὸς ἕν." ὁ δὲ τροχαῖος ἐστὶν ἐν λόγῳ διπλασίῳ α΄· δύο γὰρ χρόνοι πρὸς ἕνα χρόνον· ἔχεται δὲ τῶν λόγων τούτων ὁ ἡμιόλιος· ἤγουν ὁ παιὰν ἔχει παρ' ἑαυτῷ καὶ τοὺς δύο τού- 30 τους λόγους ῡῡῡ ἤγουν τὴν ἰσότητα, ἣν ἀνώτερον[51] εἶπεν "ἓν "πρὸς ἕν." ἥτις ἐστὶ τοῦ ἡρώου. δύο γὰρ πρὸς δύο· ἀλλὰ καὶ τὸν διπλάσιον, ἣν ἀνώτερον εἶπε δύο πρὸς ἕν· ὅς ἐστι τοῦ τροχαίου· ἡ

48 ἐκφωνήσεις. 49 γαμηλίαις. 50 ἓν πρὸς ἓν. 51 ἀνωτέρω.

Digitized by Google

μὲν γὰρ μακρὰ καὶ αἱ τρεῖς βραχεῖαι παιάν· ἡ δὲ μακρὰ καὶ αἱ δύο βραχεῖαι ἡρῶος· ἡ δὲ μακρὰ καὶ ἡ βραχεῖα ὁ τροχαῖος· αἱ δὲ τρεῖς βραχεῖαι μόναι χορεῖος· τοσαῦτα μέτρα ὁ παιὰν περιέχει· "δαλεγενὲς·" πρῶτος παιάν· "ἥ τε Λυκί" πρῶτος παιάν· "αν καί." σπονδεῖος· "χρυσεοκό." παιάν. "μα ἕκατε," παιάν. 5 "παῖ Διός." δάκτυλος. ἑξάπους ὁ στίχος· εἷς τε τὴν Ἄρτεμιν, ἣ καὶ τὴν Λυκίαν ἔχει ὁ ὕμνος, εἷς τε τὸν Ἀπόλλω· "μετὰ δὲ γᾶν." τέταρτος παιάν· "ὕδατα τ' ὠ·" ὃ παιάν· "κεανὸν ἠ." τέταρτος παιάν· "φάνισε νύξ." καὶ τοῦτο ὁμοίως.

C. 9, 1. "Εἰρομένη λέξις ἡ τῷ συνδέσμῳ μία." σύνδεσμος λέ- 10 γεται, ὡς καὶ ὄπισθεν ἔμαθες, καὶ ἡ ἀπόδοσις· ἥτις εἰ μὴ αὐτόθεν ῥηθείη, ἀλλὰ μακρόθεν. καὶ ἀναβολὴ λέγεται, καὶ παρὰ τοῖς διθυράμβοις δῆλον τὸ ὄνομα. τότε γὰρ τελειοῦται ἡ Ἑλληνίζουσα φράσις, ὅταν ἡ ἀπόδοσις τεθῇ· ὡς τὸ "Ἡροδότου Θουρίου." μέχρι τούτου ὁ λόγος[52] ἔτι ἀτελής· εἰ δὲ προστεθείη καὶ τὸ, "ἡδ' 15 "ἱστορίης ἀπόδειξις," γέγονέ τε τῷ λόγῳ συνδέσμῳ[53] καὶ ἐνοείδεια. τοιοῦτον καὶ τὸ, "ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην πάντα πράτ- "των," καὶ τὰ ἑξῆς· ἡ γὰρ πρότασις καὶ ἡ ἀπόδοσις ὡς ἕν τε γίνεται. λέγονται δὲ, τὰ τοιαῦτα, ἀναβολαί· ἢ δίοτι ἀναβάλλεται καὶ ὁ λέγων, ἀλλὰ καὶ ὁ ἀκροατής· ὁ μὲν καὶ ἔτι τὴν ἀπόδοσιν[54], 20 ὁ δὲ τὴν τοῦ λείποντος ἄκουσιν.

Στροφὴ καὶ ἀντίστροφος καὶ ἐπῳδὸς παρὰ τοῖς λυρικοῖς[55] λέγεται· ὀφείλει οὖν ἡ ἀντίστροφος, ἢ ἐλάττων εἶναι τῆς στροφῆς, ἢ συντομωτέρα· οὕτω καὶ ὁ Ἑρμογένης, περὶ κώλων λέγων εἴρηκε. "μετὰ δὲ γᾶν ὕδατα τ' ὠ·" ἐν ἀρχῇ γὰρ ἦν "ἔρεβε[56] χάος·" καὶ 25 ὡς ὁ θεολόγος Μωσῆς φησιν· "ὅτι ἐγένετο ὁ οὐρανὸς καὶ ἡ γῆ "μετὰ τῶν ὑδάτων, καὶ σκότος ἦν ἐπάνω τῆς ἀβύσσου·" ὃ δηλοῖ ὁ Ὀρφεὺς οἶμαι ἐνταῦθα νύκτα.

C. 9, 2. "Ἔστι δὲ ἡ εἰρημένη λέξις," φησὶν, "ἀηδὴς διὰ τὸ ἄπειρον"· δίοτι οὐκ ἔχει τὸ πέρας αὐτῆς τηνικαῦτα, ἤτοι τὴν 30 ἀπόδοσιν.

52 ἄλογος Cod. 1869. 53 σύνδεσμος. 54 ἀκρόασιν. 55 Om. 56 ἔρεβος.

Digitized by Google

C. 9, 5. Ἀφελὴς λέγεται περίοδος, ἡ μονόκωλος. ὡς ἡ παρὰ τῷ Δημοσθένει· "εἶτα οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτ' ἂν εἰ "δύναιτ'[57] ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες οὐ τολμήσετε." ἡ δέ ἐστι περίοδος ἐν κώλῳ· οἷον ἡ δίκωλος, ἡ τρίκωλος, ἡ τετράκωλος· καὶ περαιτέρω ἑτέρα οὐκ ἔστιν· ἥτις ὀφείλει εἶναι τετελειωμένη, τῇ τε προτάσει δηλαδὴ καὶ τῇ ἀποδόσει. καὶ διηρημένη, φησὶν, κατὰ τε τὴν πρότασιν, κατά τε τὴν ἀπόδοσιν· καὶ εὐανάπνευστος διὰ τὸ σύντομον ἀμφοῖν· οὐδὲ γὰρ σχοινοτενής ἐστιν. οὐκ ὀφείλει δὲ διαιρεῖσθαι διὰ τῆς σῆς ἐν τῷ ἄσθματι στενοχωρίας, ἀλλὰ τῷ πράγματι καὶ τῇ ἀληθείᾳ αὐτῇ· ὁποία ἡ σύντομος περίοδος.

ἡ δὲ μακρὰ ἀναβολὴ τῷ ποιητῇ κακίστη·

αὕτη ἡ ἀντιπαρῴδησις τοῦ Ἡσιοδείου στίχου ἐστὶ τὸ σκῶμμα[58] τοῦ Χίου· ἁρμόττει δὲ τὸ τοιοῦτον σκῶμμα[59] καὶ εἰς τὴν μακροκωλίαν λέγειν· ἡ δὲ μακροκωλία τῷ ποιήσαντι κακίστη.

"Ἐθαύμασα πολλάκις" φησὶν ἐν τῷ προοιμίῳ ὁ Ἰσοκράτης τοῦ πανηγυρικοῦ, "τῶν τὰς πανηγύρεις συναγαγόντων, καὶ τοὺς γυμνι- "κοὺς ἀγῶνας καταστησάντων· ὅτι τὰς μὲν τῶν σωμάτων εὐεξίας, "οὕτω μεγάλων δωρεῶν ἠξιώσαν· τοῖς δὲ ὑπὲρ τῶν κοινῶν ἰδία "πονήσασι, τούτοις οὐδεμίαν τιμὴν ἀπένειμαν, ἢ[60] τοῖς προγόνοις "ἡμῶν ἐκείνοις." Καὶ γὰρ ἐναντίον ἡ ὑπομονὴ ἡ ἐν οἴκῳ, ἡ ἀκολούθησις ἡ εἰς πόλεμον, καὶ τὸ ἱκανόν * * ὀλίγον γὰρ τῷ πλείονι τῆς περιουσίας. πάλιν ἦν ὅμοιον καὶ τοῦτο· "ὥστε καὶ τοὺς "χρημάτων δεομένους ὤνησαν" ἤγουν τοὺς πτωχοὺς ἀκολουθήσαντας εἰς τὸν πόλεμον, καὶ τοὺς μὴ ἀναγκασθέντας ἀκολουθῆσαι, ὤνησαν, ἐάσαντι[61] αὐτοὺς οἴκοι ἀπολαύειν τῶν χρημάτων· "οἱ μὲν, "οὖν ἐκτήσαντο· οἱ δὲ, ἀπήλαυσαν" κτῆσις δὲ ἐναντίον τῇ ἀπολαύσει· εἴπερ ἡ μὲν τοῖς πένησι προσεγένετο, τοῖς δὲ πλουσίοις ἡ ἀπόλαυσις· καὶ ταῦτα δὲ ἀπὸ τοῦ πανηγυρικοῦ Ἰσοκράτους. ἐν τῷ αὐτῷ λογῳ φησὶν ὁ Ἰσοκράτης. "ὁρῶσα περὶ μὲν τὰς ἄλλας "πράξεις ἡ πόλις ἡμῶν οὕτω ταραχώδεις οὔσας τὰς τύχας,

57 δυνατ' Cod. 1869. 58 σκῶμα. 59 σκῶμα. 60 ἤγουν. 61 ἐάσαντες.

Digitized by Google

"ὥστε πολλάκις ἐν αὐταῖς καὶ τοὺς φρονίμους ἀτυχεῖν, καὶ τοὺς
"ἀνοήτους κατορθοῦν·" καὶ τὰ ἑξῆς· ἐνταῦθα τὸ ἐναντίον ἐδόθη
τῷ ἐναντίῳ· καὶ τὸ ἐναντίον τῷ ἐναντίῳ· τὸ τοὺς φρονίμους γὰρ
ἀτυχεῖν[62], ἐναντία τὰ δύο, καὶ τὸ τοὺς ἄφρονας κατορθοῦν, ἐναντία
τὰ δύο· τὰ δὲ προλαβόντα παραδείγματα οὐχὶ τοιαῦτα· ἀλλὰ 5
δυσὶν ἐναντίοις τὸ αὐτὸ καὶ ἓν ἐπέζευκται. ἀμφοτέρους γὰρ ὤνη-
σαν, καὶ τοὺς πένητας καὶ τοὺς πλουσίους· ἀπὸ τοῦ αὐτοῦ λόγου
καὶ τὸ, "τῆς ἠπείρου, ἀλλὰ καὶ τῆς θαλάσσης παρὰ πάντων Ἑλ-
"λήνων ἔλαβον τὴν ἀρχὴν οἱ ἡμῶν[63] πρόγονοι," δυσὶν ἐναντίοις
κώλοις, ἕν τι ἀποδέδοται ἡ ἀρχή· ἐναντίον γὰρ ἤπειρος καὶ θά- 10
λασσα· καὶ τὸ, εὐθὺς, καὶ τὸ, οὐκ εὐθὺς, ἤγουν τὸ οὐ πολὺ ὕστε-
ρον. καὶ πάλιν "ὁ Ξέρξης ἔκδοξος ἐγένετο, πεζεύσας διὰ τῆς
"ὑγρᾶς, καὶ πλεύσας διὰ τῆς ξηρᾶς·" δυσὶν ἐναντίοις κώλοις, τὸ
αὐτὸ καὶ ἓν ἀπεδόθη, ἀπὸ τοῦ αὐτοῦ καὶ τοῦτο λόγου· "φύσει
"γὰρ ὄντες πολῖται οἱ ἡμέτεροι πρόγονοι, νόμῳ τοῦ ὑπὲρ τῶν 15
"Ἑλλήνων πολέμου, ἔξω τῶν ὁρίων τῆς πόλεως ἐστρατοπέδευον,
"σφαττόμενοι καὶ προκινδυνεύοντες," καὶ τοῦτο ἀπὸ τοῦ αὐτοῦ
λόγου· τὰ δύο κῶλα[64] ἐναντία, τὸ πολίτας εἶναι καὶ ἔχοντας ἐξ-
ουσίαν, καὶ τὸ ἐξορίζεσθαι παρ' ἑαυτῶν. φησὶ γὰρ ἀνώτερον ὁ
Ἰσοκράτης, "ἔτι δὲ κοινῆς τῆς πατρίδος οὔσης, τοὺς μὲν τυραν- 20
"νεῖν, τοὺς δὲ μετοικεῖν," εἶτα τὸ προειρημένον ἐπέθηκεν. ἐναντίον
δὲ φύσις καὶ νόμος· ἀπόδοσις δὲ ἄλλη καὶ ἄλλη, ὡς οἶμαι· οἱ μὲν
γὰρ ἀποικοῦντες καὶ ἐξορίζοντες ἑαυτοὺς, ἦσαν θαυμαστοὶ καὶ
γενναῖοι, οἱ δὲ ἀπομενοῦντες[65], ἢ καὶ τυραννοῦντες, κακοί. οἱ μὲν
γὰρ κακῶς αὐτῶν ἀπώλοντο. ἀπὸ ἄλλου χωρίου τοῦτο. ἐναντίοις 25
κώλοις μία ἀπόδοσις, ἡ δυστυχία, καὶ ἰδίᾳ μὲν τοῖς βαρβάροις:
καὶ γάρ φησιν "αἰσχρὸν μὲν, ἰδίᾳ τοῖς βαρβάροις, οἰκέταις ἀξι-
"οῦν χρῆσθαι· δημοσίᾳ δὲ τοσούτους τῶν συμμάχων περιορᾶν
"αὐτοῖς δουλεύοντας." ἀπὸ τοῦ Πανηγυρικοῦ καὶ τοῦτο λόγου.
ἄτοπον φησὶν ἡμᾶς[66] ἔχειν οἰκέτας βαρβάρους, παρορᾶν δὲ πολ- 30
λοὺς τῶν συμμάχων ἡμῖν Ἑλλήνων, δούλους εἶναι τῶν βαρβάρων.
ἄξιον οὖν πολεμεῖν ἡμᾶς τοῖς Πέρσαις, τοῖς δουλαγωγοῦσι τοὺς

63 ὑμῶν. 64 κώλου, τὰ δύο. 65 ἐναπομένοντες. 66 ἡμᾶς μὲν.

Digitized by Google

Ἕλληνας· ἐναντία οὖν ἐνταῦθα τὸ ἰδίᾳ[67] τὸ κοινῇ, τὸ βαρβάρους τὸ Ἕλληνας.

Ὥσπερ ὁ Λασθένης ῥήτωρ ἦν, ἀλλὰ καὶ προδότης Ὀλυνθίων εἰς Φίλιππον, καὶ ὅτι μύλαι Θηβῶν· οὕτω φέρε εἰπεῖν καὶ ὁ Πειθόλαος, καὶ ὁ Λυκόφρων τινῶν Ἑλληνίδων πόλεων ὑποφόρων ταῖς Ἀθήναις[68]. ὄντες οὖν ἐν ταύταις ταῖς πόλεσιν ἐπώλουν τοὺς ἐγχωρίους διὰ προδοσίας τοῖς ἐχθροῖς τῶν πόλεων. εἶτα οἱ πολέμιοι τοὺς πολίτας ὡς φίλοι ἀπατῶντες, ἐχειροῦντο καὶ ἠχμαλώτιζον. ἀπέστελλον οὖν τοὺς ἁλόντας οἱ πολέμιοι πρὸς τὴν μητρόπολιν τὰς Ἀθήνας, ἵνα ἀγορασθεῖεν[69]. πάλιν οὖν ἐρχόμενοι εἰς Ἀθήνας οἱ προδόται ἐκεῖνοι, τὰ λῃΐα ἠγόραζον, ἐκείνους δηλαδὴ[70] τοὺς αἰχμαλώτους. ἵνα καὶ πάλιν πλείω παρ' ἐκείνων κερδήσωσι. τίς οὖν ἐν δικαστηρίῳ παρὰ Ἀθηναίοις ὁρῶν τὰ δρώμενα, εἶπεν, ὅτι οἱ ῥήτορες οὗτοι καὶ πωλοῦσιν ἡμᾶς οἴκοι καθήμενοι, καὶ εἰς ἡμᾶς[71] νῦν ἐλθόντες, πάλιν ἀγοράζουσιν ἡμᾶς· καὶ ὅτι ἔοικε συλλογισμῷ. ὥσπερ γὰρ ὁ ἔλεγχος τὸ ἀντικείμενον συνάγει τῷ συμπεράσματι, οὕτω καὶ ὁ παρὼν συλλογισμὸς ὥσπερ ἐν τρίτῳ σχήματι: οὗτοι πωλοῦσιν ὑμᾶς[72], οὗτοι ἀγοράζουσιν ὑμᾶς[73]. ἅμα οὖν οἱ πωλοῦντες ὑμᾶς[74] ἀγοράζουσιν ὑμᾶς[75]· καὶ οἱ ἀγοράζοντες[76] ὑμᾶς[77], ἅμα καὶ πωλοῦσιν ὑμᾶς[78].

C. 9, 9. Πάρισον ἐστὶν ἐὰν ἴσα τὰ κῶλα, οἷον τὸ Δημοσθενικόν· "τὸ λαβεῖν οὖν τὰ διδόμενα," ἐννεασύλλαβον· "ὁμολογῶν ἔννομον εἶναι," καὶ τοῦτο ἐννεασύλλαβον. "τὸ χάριν τούτων ἀποδοῦναι," καὶ τοῦτο ὡσαύτως· εἶτα κομμάτιον, "παρανόμων γράφῃ[79]." παρόμοιον δὲ, ἐὰν ἔχῃ ὁμοιότητα κατὰ τὰς ἀρχὰς, ἢ ὁμοιοτέλευτα ᾖ. κατ' ἀρχὰς μὲν, οἷον, "προσήκει προθύμως." καὶ τὸ παρὰ Πλάτωνι

67 καὶ τὸ. 68 τοῖς Ἀθηναίοις. 69 πόλιν τῶν Ἀθηναίων ἵν' αὐτοὺς ἐξωνήσωνται. 70 δηλαδὴ om. Cod. 1869. 71 ὑμᾶς. 72 ἡμᾶς. 73 ἡμᾶς. 74 ἡμᾶς. 75 ἡμᾶς.

76 ἀγοράζουσιν ὑμᾶς· πωλοῦσιν.



οὗτοι.

77 ἡμᾶς. 78 ἡμᾶς. 79 γράφῃ (sic.)

Digitized by Google

ἀπὸ τοῦ Συμποσίου· "Παυσανίου παυσαμένου." πρὸ μὲν γὰρ τοῦ Παυσανίου ἔλεγεν ὁ Φαῖδρος, μετὰ δὲ Παυσανίαν, Ἀριστόδημος ἐπιλέγει· ὁ δὲ λόγος τούτοις περὶ ἔρωτος ἦν.

Εἶπεν ὁ Ἀριστοτέλης, "ἐὰν ὅμοια τὰ ἔσχατα," ἐπειδὴ δὲ καὶ ἡ ἀρχὴ ἔσχατον λέγεται καὶ τὸ τέλος, ὅρα[80] σημειοῦται πάλιν περὶ ἀμφοῖν.

"Καὶ ἀρχὴ μὲν τὰ ὀνόματα·" ἢ ταῦτα τῇ ψοφήσει, ὡς τὸ ἀργὸν, καὶ τὸ ἀγρόν. ἢ ταυτὰ καὶ πάντη, ὡς τὸ "Χριστὸς γεν-"νᾶται, δοξάσατε· Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε· Χριστὸς "ἐπὶ γῆς, ὑψώθητε." ἰδοὺ, Χριστὸς, Χριστὸς, Χριστός· ἃ ὁ Ἑρμογένης καὶ ἐπαναφορὰς λέγει. ἐν δὲ τῷ τέλει αἱ ἔσχαται συλλαβαὶ εἰσὶν ὅμοιαι, ὡς τὸ δοξάσατε, ἀπαντήσατε· καὶ τὸ, "τῇ τε πόλει βοηθεῖν οἴεται δεῖν, καὶ δίκην ὑπὲρ αὐτοῦ λαβεῖν, "τοῦτο κἀγὼ πειράσομαι ποιεῖν·" καὶ τὸ "τετοκέναι, γεγονέναι·" "φροντίσιν, ἐλπίσιν." ἢ ἡ πτῶσις τοῦ αὐτοῦ, ὡς τὸ "χαλκοῦς" καὶ τὸ "χαλκοῦ," τὸ γὰρ χαλκοῦ πτῶσις[81].

80 Om.

81 πτῶσις ἐστὶ τοῦ χαλκοῦς.

Digitized by Google

ΕΚΛΟΓΑΙ ΔΙΑΦΟΡΟΙ.

Inter varia excerpta physici plerumque generis quæ huc congessi e codicibus Paris. his parecbolis Joannis Lydi de mensibus locum dedi, quia Codex in quo insunt, nunquam, ut opinor, adhibitus fuit, et lectiones quasdam notabiles visus est exhibere. Minor est epitome, ut bene Hasius monuit (Præf. ad Jo. Lyd. p. xli.), nec a Vaticano Cod. multum dissimilis.

Ἰωάννου Λυδοῦ.

Ὅτι κἂν τἄλλα τις ᾖ δικαιότατος, πρός γε τὸ βασιλείαν λαβεῖν, οὐκ ἂν ὀκνήσειεν ἀδικεῖν.

Ὅτι Ἔρυλον τὸν περὶ Ἰταλίαν ὃν κατασχὼν Εὔανδρος ὁ τῆς μαντικῆς καὶ Καρμέντης υἱὸς, ἔχε τὴν χώραν, τρίψυχον γενέσθαι ὁ μῦθος αἰνίττεται φιλοσοφώτατος· τριπλᾶς γὰρ ἔχειν τὴν ψυχὴν δυνάμεις ὁ ἐν Φαίδωνι Σωκράτης παραδίδωσιν· ἡνίοχον μὲν τὸν νοῦν, ἵππους δὲ τὰς τῆς ψυχῆς δυνάμεις. ταύτῃ καὶ χαλινῶσαι τὴν ψυχὴν θεσπίζει τὰ λόγια.

Χρὴ δὲ χαλινῶσαι ψυχὴν βροτὸν ὄντα νοητὸν,
ὄφρα μὴ ἐγκύρσῃ χθονὶ δυσμόρῳ, ἀλλὰ σαωθῇ.

τῆς γὰρ τῶν ὅλων φύσεως ἐξ ἐναντίων δυνάμεων τυγχανούσης, ἀνάγκη καὶ τῇ διὰ πάντων κεχωρηκυίᾳ ψυχῇ τὰς ἐναντίας ἐφαρμόζειν ἀρχάς. τὸ μὲν γὰρ αὐτῆς λογικὸν, ἐκ τῆς μονάδος, τουτέστι τοῦ νοῦ· τὸ δὲ θυμικὸν καὶ ἐπιθυμητικὸν, ἐκ τῆς δυάδος· οἷον τῆς ὕλης ἐστί· κἂν εἰ τὸ λόγιον ὅλην τὴν ψυχὴν τριάδα θείαν παραδίδωσι· φησὶ γὰρ ὁ αὐτὸς

ψυχαῖον ψινθῆρα δυσὶ κεράσας[1] ὁμονοίαις,
νῷ καὶ νεύματι θείῳ, ἐφ' οἷς τρίτον ἁγνὸν ἔρωτα,
συνδετικὸν πάντων ἐπιβήτορα σεμνὸν ἔθηκεν.

Ὅτι Εὔριπος[2] ὠνομάσθη ἡ μέσος τοῦ ἱπποδρόμου κρηπὶς, ἐκ τοῦ θαλαττίου Εὐρίπου, καὶ τῆς ἑπτάκις αὐτοῦ διαυλοδρομίας· οὕτω γὰρ ἐπ' εκείνου φασὶ συμβαίνειν. καὶ πυραμὶς δέ ἐστιν ἐν μέσῳ τῷ σταδίῳ. Ἡ δὲ πυραμὶς ἡλίου, ἐπεὶ ἄσκιος ὁ τοιοῦτος βωμός.

[1] κερώσας Cod. [2] εὔριπος Cod.

Digitized by Google

πάντων γὰρ τῶν οὐρανιῶν φωσφόρων σωμάτων σκιὰν ἀποτελούντων, αὐτὸς μόνος ἔξω ταύτης ἐστὶ, καὶ ἄνωθεν μὲν τῆς πυραμίδος ἐπὶ τοῦ Εὐρίπου, βωμοὶ τρεῖς, Κρόνου, Διὸς, Ἄρεως· κάτωθεν δὲ Ἀφροδίτης, Ἑρμοῦ καὶ σελήνης· οὐ πλέον δὲ τῶν ἑπτὰ κύκλων, ἤτοι σταδίων περὶ τὴν πυραμίδα, ἣν νῦν ὀβελὸν καλοῦσι, διεπληκτίζοντο 5 οἱ ἀγωνισταί· διὰ τὸ τοσούτους εἶναι τοὺς τῶν πλανήτων πόλους [1], οὓς Χαλδαῖοι στερεώματα καλοῦσιν, ἄνευ τοῦ σεληνιακοῦ, διὰ τὸ μέχρις αὐτοῦ διήκειν τὸ τοῦ παντὸς ὑλικοῦ σκύβαλον. τέσσαρα δὲ καὶ εἴκοσι βραβεῖας τὸν πάντα συνετέλουν ἀγῶνα διὰ τὸν ἐν πυραμίδι λόγον· δυοκαίδεκα δὲ γωνίας ἡ πυραμὶς ἐπιδέχεται, 10 τουτέστι στερεὰς τέσσαρας· ὧν ἑκάστη ἐκ τριῶν. δὶς δὲ τὸν δώδεκα ἀριθμὸν εἰς δύο τέμνοντες τὸν τῆς ἡμέρας καιρὸν, ἔτι καὶ νῦν τελοῦσι· καὶ ἄλλως δέ πως ἡ πυραμὶς, ἁρμοδία ἐστὶ τοῖς ἀγωνιζομένοις. Νεμέσεως γὰρ εἶναι νομίζεται.

Ὅτι ἡ ὥρα τῆς Ῥώμης, ὅτε Ῥώμυλος ταύτην ἤρξατο κτίζειν, 15 ἐστὶν ὥρα δευτέρα πρὸ τρίτης, ὡς Ταρρούτιος ὁ μαθηματικὸς κατεστήριξε. Διὸς μὲν ἰχθῦσι, Κρόνου δὲ καὶ Ἀφροδίτης καὶ Ἄρεως καὶ Ἑρμοῦ σκορπίῳ, ἡλίου δὲ ταύρῳ, καὶ σελήνης ζυγῷ.

Ὅτι Ῥωμύλου δέκα μηνῶν τὸν ἐνιαυτὸν τάξαντος, διὰ τὸ τέλειον εἶναι τὸν δέκα, ὁ Πομπίλιος [2] Νουμᾶς, ἐφ' οὗ Πυθαγόρας ἦν, δυο- 20 καίδεκα μησὶ τοῦτον ἀριθμεῖσθαι διώρισε κατὰ τὸν ἐν Φαίδρῳ Σωκράτην, ὅς φησι, τὰς τῶν ὅλων τάξεις τῇ δωδεκάδι περιειλῆφθαι. Ἐπὶ τὸ πᾶν γὰρ ὁ θεὸς τῷ ἀριθμῷ τούτῳ κατεχρήσατο, διαζωγραφῶν αὐτὸ, ὡς φησὶν ὁ Πλάτων· οἰκεῖον γὰρ τὸ σχῆμα τοῦτο τῇ τοῦ παντὸς ἰδέᾳ· καὶ γὰρ κυκλικὸν, ἐπεὶ καὶ θαυμαστή 25 ἐστιν ἡ τῆς δωδεκάδος φύσις· διά τε τἄλλα, καὶ ἐπειδὴ συνέστηκεν ἐκ τοῦ στοιχειωδεστάτου καὶ πρεσβυτάτου τῶν ἐν οὐσίαις εἰδῶν παραλαμβανομένων, ὥς φασιν οἱ ἀπὸ τῶν μαθημάτων, ὀρθογωνίου τριγώνου· αἱ γὰρ τοῦδε πλευραὶ, ἐκ τριῶν οὖσαι καὶ τεττάρων καὶ πέντε, συμπληροῦσιν ἀριθμὸν τὸν δώδεκα τοῦ ζωοφόρου 30 κύκλου τὸ παράδειγμα· καὶ ἐκδιπλασιασθείσης δὲ ἑξάδος τῆς γονιμωτάτης ἐστὶν ἀρχὴ τελειότητος, ἐκ τῶν ἰδίων συμπληρουμένη μερῶν.

Ὅτι οἱ μὲν ἀρχαῖοι ξύλοις καὶ φλοιοῖς καὶ φιλυρίνοις πίναξι, πρὸς γραφὴν ἐκέχρηντο· χρόνῳ δὲ ὕστερον ὁ Πτολεμαῖος, συμβου-

[1] πύλους Cod. [2] πομπίλινος Cod.

Digitized by Google

λεύοντος αὐτῷ Ἀριστάρχου τοῦ γραμματικοῦ τὴν Ῥωμαίων ἀσπάσασθαι προστασίαν, πρῶτος χάρτην ἀποστείλας τὴν Ῥώμην ἐξένισεν. ἀντευδοκιμεῖται δὲ ὅμως πρὸς τοῦ Περγαμηνοῦ Ἀττάλου, Κράτητος τοῦ γραμματικοῦ ἡγησαμένου τῆς σπουδῆς, πρὸς ἔριν
5 Ἀριστάρχου τοῦ ἀντιτέχνου αὐτοῦ. Δέρματα γὰρ τὰ ἐκ προβάτων ἀποξέσας εἰς λεπτὸν, ἔστειλε τοῖς Ῥωμαίοις τὰ λεγόμενα παρ' αὐτοῖς μέμβρανα. εἰς μνήμην δὲ τοῦ ἀποστείλαντος, ἔτι καὶ νῦν Ῥωμαῖοι τὰ μέμβρανα περγαμηνὰ καλοῦσιν.

Ὅτι ἡ φυσικὴ ἡμέρα, ἀπὸ τῶν ἡλίου ἀνατολῶν ἕως δυσμῶν
10 ἀπολαμβάνεται, ἀλλ' οὐ παρὰ πᾶσιν οὕτως. Βαβυλώνιοι μὲν γὰρ ἀπὸ ἀνατολῶν ἡλίου ἕως αὐτῶν λαμβάνουσιν· νυκτὸς οὐδόλως μνήμην ποιούμενοι, οἷα μὴ καθ' ὑπόστασιν, ἀλλὰ μᾶλλον κατὰ συμβεβηκὸς γινομένης. Αἰγύπτιοι δὲ ἀπὸ ἑσπέρας τὴν ἐπιφοιτῶσαν συναριθμοῦντες ἡμέραν, ἕως αὖθις ἑσπέρας· διὰ τὸ πρὸ τῆς
15 τοῦδε τοῦ παντὸς διακοσμήσεως, σκότον ὑποτίθεσθαι τοὺς κοσμογράφους· νύκτα τὲ πάντων μητέρα νομίζειν· ὅθεν οἱ μυθικοὶ, ἀπὸ Λητοῦς τεχθῆναι Ἄρτεμιν ποιοῦσι καὶ Ἀπόλλωνα· καὶ πρώτην Ἄρτεμιν. εἴη δ' ἂν Λητὼ, ἡ νύξ· καὶ γὰρ λήθη κατ' αὐτὴν καὶ ὕπνος ἐπιγίνεται· τὴν οἱονεὶ ἀερότεμιν σελήνην. οἵ γε μὴν Οὔμβροι ἔθνος
20 Ἰταλικὸν, ἀπὸ μεσημβρίας τὴν ἡμέραν ἔλαβον, ὥσπερ καὶ οἱ ἀστρολόγοι ἐπὶ ταῖς γενέσεσιν.

Ὅτι οἱ περὶ Ζωροάστρην καὶ Ὑστάσπην Χαλδαῖοι καὶ Αἰγύπτιοι, ἀπ' ἀριθμοῦ τῶν πλανήτων ἐν ἑβδομάδι τὰς ἡμέρας ἀνέλαβον· καὶ τὴν μὲν πρώτην ἡμέραν μίαν, ὡς καὶ οἱ Πυθαγόρειοι
25 καλοῦσιν, ἐκ τῆς μονάδος, ὅτι μόνη καὶ ἀκοινώνητος ταῖς ἄλλαις. πρώτη γὰρ ἡ τῶν μετ' αὐτὴν πρωτεύουσα· ἡ δὲ μονὰς ἀμερὴς καὶ ἀμετάβολος καὶ αὐτοκίνητος· καὶ ὡσαύτως ὑπάρχουσα, δικαίως ἂν αὐτοῦ τὴν δύναμιν ἐπέχοι τοῦ νοῦ· ὅπερ ἐστὶν ἀγαθόν τε καὶ περιττὸν, ἴσον τε καὶ πεπερασμένον καὶ φῶς καὶ εὐθὺ καὶ μόνιμον,
30 ἄρρεν τε καὶ δεξιόν. Νοῦς γάρ ἐστι, φησὶν ὁ μυστικὸς λόγος, οὐσιώδης, ὁ ἅπαξ ἐπέκεινα μένων ἐν τῇ ἑαυτοῦ οὐσίᾳ, καὶ πρὸς ἑαυτὸν συνεστραμμένος, ἑστώς τε καὶ μένων. Ἀναφέρεται δὲ ἡ μονὰς εἰς Ἀπόλλωνα, τουτέστιν εἰς τὸν ἕνα ἥλιον, ὃς Ἀπόλλων λέγεται, διὰ τὸ ἄπωθεν εἶναι τῶν πολλῶν. Καὶ Ῥωμαῖοι δὲ αὐτὸν
35 σόλεμ ἤτοι μόνον λέγουσι· καὶ Πυθαγόρας τὴν μονάδα ὑπεριονίδα

Digitized by Google

καλεῖ, διὰ τὸ πάντων ὑπερεῖναι τῇ οὐσίᾳ, ὡς καὶ ὁ νοητὸς ἥλιος ὑπὲρ τὰ ὄντα ἔχων τὸ εἶναι, Ὑπεριονίδης κέκληται· ἀλλὰ μὴν καὶ ἀκάμας· κάματος γὰρ ἐν τοῖς συνθέτοις· ἡ δὲ μονὰς ἁπλῆ καὶ ἄρρην, ὅτι δὴ γονιμωτάτη, καὶ τῶν μετ' αὐτὴν αἰτία. διαφέρει δὲ μονὰς ἑνὸς, ὡς ἀρχέτυπον εἰκόνος, καὶ παραδείγματος μίμημα· ὁ δὲ ἥλιος θερμαίνει τε ἅμα καὶ ἠρέμα ξηραίνει τὰ σώματα. Τὴν δὲ δευτέραν ἡμέραν τῇ σελήνῃ ἀνέγραψαν ὑγιαινούσῃ ἅμα καὶ μετρίως θερμαινούσῃ, τουτέστι τῇ τῆς ὕλης ἐφόρῳ, ὅθεν καὶ Ἄρτεμις, ἀπ' ἀρτίου καὶ ὑλικοῦ· τὸ γὰρ ἄρτιον μέσον ὂν, διασπᾶται, διαιρούμενον τοῦ ἑνός· μόνος δὲ ἀδιαίρετος καὶ περιττός. ὁ μὲν γὰρ ἄρρην ἀριθμὸς τετράγωνος· αὐγὴ δὲ φῶς ἐξ ἰσότητος πλευρῶν συνεστώς· ὁ δὲ θῆλυς ἑτερομήκης· νύκτα δὲ σκότον ἔχων διὰ τὴν ἀνισότητα. ὁ δὲ ἑτερομήκης τὴν μὲν ἐλάττονα πλευρὰν, ἐλάττονα ἔχει ἑνί· τὴν δὲ μείζω περιττοτέραν ἑνί· ὥστε ὁ δύο ἀριθμὸς, οὐ καθαρός· πρῶτον μὲν ὅτι κενός ἐστι καὶ οὐ ναστός· τὸ δὲ μὴ πλῆρες, οὐ καθαρόν· ἀρχὴ δὲ ἀπειρίας καὶ ἀνισότητος· ἀπειρίας μὲν διὰ τὴν ὕλην· ἀνισότητος δὲ τοὺς ἑτερομήκεις. ὅθεν οἱ παλαιοὶ ὡς ὕλην καὶ ἑτερότητα τὴν δυάδα παραλαμβάνουσι, καὶ τόλμαν δὲ αὐτὴν καὶ ὁρμὴν, καὶ δόξαν καλοῦσιν.

Ὅτι τὸ ἀληθὲς καὶ ψευδὲς ἐν δόξῃ ἐστί. πανσόβητος γὰρ ἡ ὕλη καὶ ἄστατος καὶ πολυμετάβολος, κακοπαθής τε καὶ πόνων ὑπομονητική· κατὰ φύσιν τὸ μέγιστον καὶ διεστὼς ἔχουσα. ὁ γὰρ ἄξων μέσος διὰ παντὸς ἥκων τοῦ οὐρανοῦ, πρῶτος τὴν εἰς δύο τομὴν καὶ ἀπὸ τοῦ ἑνὸς ἀπόστασιν ὑποφαίνει· αἴτιος δὲ τῆς πάσης τοῦ αἰσθητοῦ κινήσεως, καὶ πάντη τῶν νοητῶν κεχωρισμένος. ταῦθ' οὕτως ἔχοντα ὁ Νοῦμας εὑρὼν, Ῥωμαίοις τὸν δυϊκὸν ἀριθμὸν ἀπηγόρευσεν ἐν ταῖς ἑορταῖς. οὐδὲ γὰρ ἀριθμοῦσιν οἱ Ῥωμαῖοι ὥσπερ πρὸ τεσσάρων καὶ τριῶν, οὕτω καὶ πρὸ δύο λέγοντες, ὡς καὶ Ἀθηναῖοι τὸ πρὶν τὴν δευτέραν ἐξῃρουν τοῦ Βοηδρομιῶνος, ὡς Πλούταρχος ἐν Συμποσίῳ φησί.

Τὴν δὲ τρίτην ἡμέραν ἀνέθεντο πυροέντι, Ἄρης δ' ἂν εἴη οὗτος παρ' Ἕλλησι, τουτέστι τῷ ἀερίῳ καὶ γονίμῳ πυρὶ, ὅπερ ἐξάγει τὴν τοῦ παντὸς αἰσθητοῦ φύσιν καὶ ἀργεῖν οὐκ ἐᾷ· ξηραῖνον ἅμα καὶ ῥοιζηδὸν θερμαῖνον. Ἥρας δὲ παῖδα, φασὶ τὸν Ἄρεα, τουτέστιν ἐκ τοῦ ἀερώδους τὸ διειδὲς καὶ λεπτομερὲς πῦρ. ὅθεν οἱ μυθικοὶ

Digitized by Google

ζευγνύουσι τὴν Ἀφροδίτην, ποτὲ μὲν Ἡφαίστῳ τῷ χθονίῳ πυρὶ, ποτὲ δὲ Ἄρει τῷ ἀερίῳ· διὰ γὰρ τούτων τὸ πᾶν αἰσθητὸν ζωογονεῖται. μεγίστη δὲ ἡ τῆς τριάδος καὶ κατ' αἴσθησιν δύναμις· ὁ γὰρ κατ' αὐτὴν ἀριθμὸς τοῖς γενητοῖς ἐπιδέδωκε, γένεσιν, αὔξη-
5 σιν, τροφὴν, καὶ οὐχ ἁπλῶς εἴρηται,

τριχθὰ δὲ πάντα δέδασται,

τριῶν ὄντων καὶ αὐτῶν τῶν οὐρανίων σωμάτων, τοῦ τε αἰθερώδους, ἀστρώδους τε, καὶ λιθώδους. καὶ τῶν περιττῶν ἀριθμῶν ἀρχὴ ἡ τριὰς· καὶ τρεῖς πρῶται κατ' Ὀρφεα ἐξεβλάστησαν ἀρχαὶ, νὺξ
10 καὶ γῆ καὶ οὐρανός· θεῶν δὲ τῶν ἐν γενέσει, τρία γένη, οὐράνιον, ἐπίγειον, καὶ τὸ μεταξὺ τούτων· τρία δὲ ψυχῆς τὰ κυριώτατα, λογικὸν, θυμικὸν, καὶ ἐπιθυμητικόν· τρία δὲ καὶ νοῦ εἴδη Ἀριστοτέλης παραδίδωσι, τὸ ὑλικὸν, τὸ καθ' ἕξιν, τὸ θύραθεν· ἐξ ὧν καὶ τρεῖς ἰδέαι, φύσις, ἄσκησις μάθησις. καὶ αὐτῆς δὲ τῆς πάντα
15 κινούσης μουσικῆς κατὰ τὸν Θεόφραστον, τομαὶ τρεῖς, λύπη, ἡδόνη, ἐνθουσιασμός· ἀλλὰ μὴν καὶ σώματος τρεῖς αἱ κινήσεις, φορὰ, νόμος, πρόβασις· τρεῖς δὲ καὶ σφαιρῶν αἱ συστάσεις, κέντρον, διάμετρον, περιφερές· τρεῖς δὲ καὶ κινήσεις τῶν ἀστέρων, προποδισμὸς, ὑποποδισμὸς καὶ ἀκρωνυχία· τρεῖς δὲ σωμάτων
20 διαφοραί· τὰ μὲν γὰρ ὑλικὰ, τὰ δὲ ἀέρια, τὰ δὲ ἐμπύρια, ὡς ὁ Χαλδαῖος παραδίδωσι· τρία δὲ καὶ ἑκάστου κινήματα σχήματος, πλάτος, βάθος, μῆκος· τρεῖς δὲ καὶ οἱ τὸ ζωδιακὸν πλάτος ὁρίζοντες κύκλοι, θερινὸς τροπικὸς, χειμερινὸς τροπικὸς, ἰσημερινός· τρία δὲ καὶ τὰ ὑπέργεια κέντρα, ἀνατολὴ, δύσις, μεσουρά-
25 νημα· καὶ ὁ σύμπας κόσμος ἐκ τριῶν δυνάμεων συστῆναι λέγεται, ἀριθμητικῆς, γεωμετρικῆς, ἁρμονικῆς· ἡ γὰρ νοητὴ, ὑπερβέβληκε τὴν παροῦσαν ἐξέτασιν· ἴσμεν γὰρ ὅτι ἡ τρίας τὴν τῶν θείων πρόοδον ἐκίνησε, καὶ στάσιν αὐτοῖς τὴν αἰώνιον ἀπειργάσατο ἐν τῷ αὐτῷ εἴδει, ὥς φησι Κεκίλιος ὁ Πυθαγόρειος ῥήμασι τούτοις· "ἡ
30 "τρίας πρώτη συνέστησεν ἀρχὴν, μεσότητα καὶ τελευτήν· ἡ γὰρ "περιττὴ καὶ περαίνουσα ἰσότης, δημιουργός ἐστι κατὰ τὴν τετρά-"γωνον φύσιν· τὸ γὰρ θεῖον τρισὶ τούτοις χαρακτηρίζεται, τῷ "ἐφετῷ, τῷ ἱκανῷ, τῷ τελείῳ." ἔτι μὴν καὶ ὁ ἐν Φαίδρῳ Σωκράτης· ἀλλὰ μὴν καὶ ὁ ἐν πολιτείᾳ παραδίδωσιν, ὅτι τὸν νοητὸν τρίτην
35 τινα φύσιν ἐν τῷ θείῳ τίθεται· ἔστι γὰρ αὐτοῦ τὸ μὲν ἀκρότατον

Digitized by Google

οὐσία, τὸ δὲ μέσον ζωή, τὸ δὲ ἔσχατον νοῦς. ἀλλ' ἴσως ἐρεῖ τις ποῖα κοινωνία τοῖς αἰσθητοῖς πρὸς τὴν νοητὴν τριάδα; ἰστέον τοίνυν ὅτι τρεῖς τριάδας ὁ Τίμαιος παραδίδωσι, καὶ μάρτυς ὁ Πρόκλος ἐν ὑποτυπώσει τῆς Πλάτωνος σοφίας, φάσκων ὅτι ἡ τῶν νοητῶν ἀκρότης, τριὰς οὖσα νοητὴ, καὶ μονάς ἐστιν· ἑνὰς γὰρ 5 τυγχάνειν δύναται ἐν ἑαυτῇ τὴν πασῶν δυνάμεων αἰτίαν ἔχουσα καὶ οὐσίαν, ὡς φησὶν ὁ Παρμενίδης· πάντα γὰρ τὰ νοητὰ ἐν τῇ τριάδι περιέχεται, καὶ πᾶς ὁ θεῖος ἀριθμὸς ἐν τῇ τάξει ταύτῃ προελήλυθεν, ὡς καὶ αὐτὸς ὁ Χαλδαῖος ἐν τοῖς λογίοις·

τῆς δὲ γὰρ ἐντριάδος κόλποις ἔσπαρται ἅπαντα, 10

καὶ πάλιν

τῆς δὲ γὰρ ἐκτριάδος πᾶν πνεῦμα πατὴρ ἐκέρασε·

διὰ τοῦτο οἱ Πυθαγόρειοι, τριάδα μὲν ἐν ἀριθμοῖς, ἐν δὲ σχήμασι τὸ ὀρθογώνιον τρίγωνον ὑποτίθενται στοιχεῖον τῆς τῶν ὅλων γενέσεως. ἓν μὲν οὖν μέτρον ἐστὶ, καθ' ὃ συνέστη ὁ ἀσώματος καὶ 15 νοητὸς κόσμος· δεύτερον δὲ μέτρον, καθ' ὃ ἐπάγη ὁ αἰσθητὸς οὐρανὸς, πέμπτην λαχὼν καὶ θειοτέραν οὐσίαν, ἄτρεπτον καὶ ἀμετάβολον· τρίτον δὲ καθ' ὃ ἐδημιουργήθη τὰ ὑπὸ σελήνην, ἐκ τῶν τεσσάρων δυνάμεων, γένεσιν καὶ φθορὰν ἐπιδεχόμενα.

Τὴν δὲ τετάρτην ἡμέραν στίλβοντι ἑνὶ τῶν πλανήτων, καθ' 20 Αἰγυπτίους οὕτω καλουμένῳ, ἀνέθεντο, ὃς ἐξίσου ποτὲ μὲν ὑγραίνει, ποτὲ δὲ ξηραίνει, πνευματούμενος ὑπὸ τῆς περὶ τὸν ἥλιον ὀξυκινησίας. Ἑρμοῦ δὲ τοῦτο Ἕλληνες, εἶναι βούλονται. αὐτῷ τοίνυν τὴν τετράδα οἱ φιλοσοφοῦντες ἀνέθεντο, ὡς ἐφόρῳ τῶν μιγάδων ψυχῶν· τὰ γὰρ τῆς ψυχῆς στηρίγματα, τέσσαρά ἐστι, 25 νοῦς, ἐπιστήμη, δόξα, αἴσθησις· "ψυχὰ γὰρ ἀνθρώπου," φησιν ὁ Πυθαγόρας, "ἐστὶ τετράγωνον καὶ εὐθύγωνον." Ἀρχύτας δὲ τῆς ψυχῆς τὸν ὅρον, οὐκ ἐν τετραγώνῳ, ἀλλ' ἐν κύκλῳ ἀποδίδωσι· "διὰ "τοῦτο ψυχὰ τὸ αὐτὸ κινοῦν· ἀνάγκα δὲ τὸ πρῶτον κινοῦν· κύκλος "δὲ τοῦτο ἢ σφαῖρα." καὶ οὕτω μὲν ἐπὶ τοῦ νοητοῦ. οὐδὲν δὲ ἧττον 30 κἀπὶ τοῦ αἰσθητοῦ ἐστι συνιδεῖν ἐν ταῖς τῶν ζώων γενέσεσι. πρῶτον μὲν γάρ ἐστι σπέρματος καταβολή· δεύτερον δὲ, ἡ εἰς τὰ γένη διαμονή· τρίτον, αὔξησις· καὶ τέταρτον, τελείωσις. ἀλλὰ μὴν καὶ τέσσαρές τε ἡλίου τροπαὶ, καθ' ἃς τὰ ὄντα συντηρεῖται· τέσσαρες δὲ καὶ αὐτῆς τῆς σελήνης αἱ πρῶται φάσεις· ὥσπερ ῥίζαι 35

Digitized by Google

καὶ ἀρχαὶ, σύνοδος, πανσέληνος, διχοτόμοι δύο ἑκάστης φάσεως, ἀλλοιούσης τὴν ἐνέργειαν. ἀπὸ μὲν γὰρ συνόδου ἕως διχοτόμου ὑγραίνει· ἀπὸ δὲ ταύτης ἕως πανσελήνου, θερμαίνει· ἀπὸ δὲ ταύτης ἕως τῆς δευτέρας διχοτόμου, ξηραίνει· ἐκ δὲ ταύτης ἕως ἐπὶ
5 σύνοδον, ψύχει· ὁ δὲ τέτταρα καὶ τετράγωνός ἐστι· μόνος γὰρ ἰσάκις ἴσος ἰσομερὴς ἐκ τῶν αὐτῶν καὶ συνθέσει καὶ δυνάμει πέφυκε γεννᾶσθαι· ὃ μηδενὶ τῶν ἄλλων συμβέβηκεν· ὅθεν καὶ ἀποτελεσματικὸς καλεῖται· εἰ γὰρ ἀπὸ μονάδος ἄχρι τετράδος συντεθεῖεν, ὁ δέκα ἀποτελεῖται.

10 Τὴν δὲ πέμπτην Φαέθοντι τῷ πάντων πλανήτων εὐκρατοτάτῳ· Δία δὲ αὐτὸν Ἕλληνες ζωογόνον θεολογοῦσιν. ὅθεν καὶ ἐν Κρήτῃ τεχθῆναι μυθικῶς αὐτὸν βούλονται, ἐν ᾗ θανάσιμον οὐδὲν φύεται· ἀλλ' οὐδὲ λύκος ἢ γλαὺξ εὑρίσκεται, ὥς φησιν Ἀντίγονος. καὶ οὐράνιος δὲ καλεῖται κατὰ τὴν ἐν πεντάδι κυκλοφορικὴν[1] οὐσίαν·
15 ἐξ ἧς φασὶν ἀποτελεσθῆναι τὸν οὐρανὸν κατὰ τὸν Ἀριστοτέλην. Ἡ γὰρ πεντὰς παραλαβοῦσα τὴν τετράδα, ὕλης λόγον ἔχουσαν τρόπον τινὰ καὶ ὑποκειμένου τοῖς ἐξ αὐτῆς φυομένοις, ηὔξησέ τε αὐτὴν καὶ προήγαγεν ἐπὶ τὴν ἀπὸ τῆς αὐξήσεως αἰώνιον ἀνακύκλησιν. μεθόριον γὰρ τῆς δεκάδος καὶ ὡσὰν εἴδωλόν ἐστι τῆς
20 κοινῆς τελειότητος ἡ πεντάς· καὶ πλανώμενοι πλὴν ἡλίου καὶ σελήνης πέντε, καὶ κύκλοι ἐν σφαίρᾳ πέντε· καὶ ζῶναι πέντε· τῆς δ' αἰσθήσεως λέγεται δημιουργὸς παρὰ φιλοσόφοις ὁ Ζεύς· καὶ εἰκὸς ἦν ἐν αὐτῷ τὴν πεντάδα κατὰ φύσιν ὥσπερ ἀνατεθῆναι· συγγενὴς γὰρ ἡ πεντὰς τῇ αἰσθήσει, ἥτις πενταχῶς τέμνεται.
25 καὶ τούτου χάριν ὁ Πυθαγόρας εἱμαρμένῃ τὸν πέντε ἀριθμὸν ἀνακεῖσθαι φησὶν, ἐπεὶ τῶν αἰσθητῶν κατάρχειν τὴν εἱμαρμένην λόγος· ταύτῃ τὰς ἀποκαθισταμένας ψυχὰς ὑπερβαίνειν τὴν εἱμαρμένην φησὶ τὸ λόγιον·

οὐ γὰρ ὑφ' εἱμάρτην ἀγέλην πίπτουσι θεουργοί.

30 Τὴν δὲ ἕκτην ἀναφέρουσι φωσφόρῳ, θερμαίνοντι ἅμα καὶ γονίμως ὑγραίνοντι. οὗτος δ' ἂν εἴη ὁ Ἀφροδίτης, ὁ καὶ ἕσπερος, ὡς Ἕλλησι δοκεῖ. Ἀφροδίτην δὲ ἄν τις εἴπῃ τὴν τοῦ πάντος αἰσθητοῦ φύσιν, τουτέστι τὴν πρωτογενῆ ὕλην, ἣν καὶ Ἀστερίαν καὶ Οὐρανίαν καλεῖ τὰ λόγια. ὁ γὰρ ἓξ ἀριθμὸς γεννητικώτατός

[1] In marg. κυκλοφορητικὴν.

ἐστιν, ὡς ἀρτιοπέριττος· μετέχων δὲ τῆς δραστικῆς οὐσίας κατὰ τὸν περιττὸν, καὶ τῆς ὑλικῆς κατὰ τὸν ἄρτιον· ὅθεν καὶ οἱ ἀρχαῖοι, γάμον καὶ ἁρμονίαν αὐτὸν ἐκάλεσαν. τῶν γὰρ ἀπὸ μονάδος μόνος τέλειος ἐστὶ, καὶ ἁπλῶς εἰπεῖν, ἄρρην τε καὶ θῆλυς εἶναι πέφυκεν, ὡς καὶ αὐτὴ Ἀφροδίτη, τήν τε τοῦ ἄρρενος καὶ τοῦ θήλεος 5 ἔχουσα φύσιν· καὶ διὰ τοῦτο παρὰ τοῖς θεολόγοις, ἀρρενόθηλυς καλούμενος.

Τὴν δὲ ἑβδόμην, Αἰγύπτιοι μὲν καὶ Χαλδαῖοι προσφωνοῦσι φαίνονται, οὕτω κατ' αὐτοὺς προσαγορευομένῳ Ἀστέρι, τῶν πάντων ἀνωτάτω ψύχον τι ἄκρως καὶ προσεχῶς ξηραίνονται. Κρόνον 10 δ' αὐτὸν Ἕλλησιν ἔθος καλεῖν, κατὰ μὲν θεολογίαν, οἷα διακορῆ νοῦν· κατὰ δὲ ἐτυμολογίαν, οἶονεὶ[2] πλήρη καὶ μεστὸν ἐτῶν, ἀντὶ τοῦ μακραίωνα. Οἵ γε μὴν Πυθαγόρειοι τῷ ἡγεμόνι τοῦ παντὸς τὴν ἑβδόμην ἀνατίθενται· τουτέστι τῷ ἑνί· καὶ μαρτὺς Ὀρφεὺς λέγων οὕτως·

ἑβδόμη ἣν ἐφίλησεν ἄναξ ἑκάεργος Ἀπόλλων. 15

Ορθῶς οὖν ἀμήτορα τὸν ἑπτὰ ἀριθμὸν ὁ Φιλόλαος προσηγόρευσε· μόνος γὰρ οὐδὲ γεννᾶν οὐδὲ γεννᾶσθαι πέφυκε· τὸ δὲ τοιοῦτον, ἀκίνητον· ἐν κινήσει γὰρ ἡ γένεσις. οἱ δὲ μαθηματικοὶ πρὸς τὸ μυθικώτερον ῥέποντες, τῷ Κρόνῳ τὴν ἑβδόμην ἡμέραν προσφωνοῦσιν· οἱονεὶ τῷ πατρὶ τῶν ἐμφανῶν θεῶν· ἐπειδὴ γὰρ τῶν πλανωμένων πάντων 20 ὑψηλότερος ὁ τοῦ παρ' αὐτοῖς Κρόνου λέγεται ἀστὴρ, αὐτῷ δῆθεν τὴν ἑβδόμην ἡμέραν ἀνέθεντο, ὡς ἀνωτάτω πάντων· ἡ τοίνυν ἑβδεμὰς συνέστηκεν ἐξ ἑνὸς καὶ δυοῖν· καὶ τεττάρων ἐχόντων δύο λόγους ἁρμονικωτάτους, τόν τε διπλάσιον καὶ τὸν τετραπλάσιον· καὶ τὰ ἑπτάμηνα δὲ τελειογονεῖσθαι πέφυκεν· ἡ γὰρ τοῦ ἀριθμοῦ 25 ψυχογονικὴ δύναμις τὰ ἑπτάμηνα τέλεια ἀποφαίνει· διότι τελείας περιόδου σφαιρικῆς, ἀριθμῷ τελείῳ καὶ κοσμικῷ τῷ ψυχοκρατητικῷ τε καὶ ψυχογονικῷ περιέχεται. καὶ γὰρ τὴν ψυχὴν ὁ Τίμαιος, ἐξ ἑπτὰ ἀριθμῶν συνέστησε, καὶ φωνήεντα δὲ ἑπτά· ἅπερ ἐξ ἑαυτῶν φωνοῦντα, τοῖς μὲν ἡμιφώνοις συναπτόμενα ἀναπληροῖ 30 τὸ ἐνδέον· τοῖς δὲ ἀφώνοις, τρέπει καὶ μεταβάλλει τὰς φύσεις αὐτῶν, ἵνα γένηται τὰ ἄρρητα ῥητά.

Ὅτι τὸν Φεβρουάριον, ἐπίτηδες φασὶ τοὺς Τούσκους, ἐλαττῶσαι, ἐπειδὴ ταῖς τῶν καταχθονίων ἑορταῖς φαίνεται πρὸς

2 οἶνει Cod.

Digitized by Google

τοὔνομα παραχωρηθεὶς, καὶ οὐ θεμιτὸν ἦν ἴσα τοῖς οὐρανίοις αὐτὸν τιμᾶσθαι.

Ὅτι παρ' Ἰταλοῖς ὁ δυϊκὸς ἀριθμὸς ἀποφράζεται· σεκοῦνδον δὲ αὐτὸν, οἱονεὶ εὐτυχῆ πατρίως καλοῦσι κατὰ εὐφημισμὸν[3], ὡς Εὐμενίδας καὶ Ἀδράστειαν, καὶ Πάρκας κατ' αὐτοὺς τὰς μηδενὸς φειδομένας μοίρας.

Ὅτι ἐνιαυτὸς ὠνομάσθη, παρὰ τὸ ἐν ἑαυτῷ κινεῖσθαι αὐτόν· κύκλος γάρ ἐστιν, ἐφ' ἑαυτὸν εἱλούμενος, ὅθεν καὶ Αἰγύπτιοι καθ' ἱερὸν λόγον, δράκοντα οὐρηβόρον ταῖς πυραμίσιν ἐγγλύφουσιν· ἄβυσσον γὰρ ὑποτίθενται καὶ δράκοντα ἐν αὐτῇ· ἐξ οὗ τοὺς αἰσθητοὺς θεοὺς, καὶ αὐτὸ δὲ τὸ πᾶν αἰσθητὸν γενέσθαι βούλονται. ἔτι μὴν ἔθος αὐτοῖς καὶ κύκλον ἐπ' εὐθείας χιούμενον τοῖς ἱεροῖς ἐγγράφειν, διὰ τὸ τὸν ἐνιαυτὸν ἀρχὴν ἑαυτῷ γίνεσθαι καὶ πέρας.

Ὅτι βίσεξτον λέγεται διὰ τὸ δὶς πρὸ ἓξ καλανδῶν Μαρτίων ἀριθμεῖν παρὰ τετραετίαν Ῥωμαίους, κἂν τούτῳ τὸν ζωογονικὸν ἀριθμὸν ἐπιτηροῦντας· Ἀφροδίτης δὲ οὗτος· ἔφορος δὲ Ῥωμαίων ἡ Ἀφροδίτη.

Ὅτι ἡ σελήνη προσεχῶς ἐπιβέβηκε τῶν γενητῶν παντὶ, καὶ πάντα κυβερνᾶται τὰ τῆδε ἐναργῶς ὑπ' αὐτῆς, ὡς τὰ λόγια φασὶ,

νύμφαι πηγαῖαι καὶ ἐνύδρια πνεύματα πάντα,
καὶ χθόνιοι κόλποι, καὶ ἠέριοι, καὶ ὕπαυγοι,
μηναῖοι, πάσης ἐπιβήτορες ἠδ' ἐπιβῆται
ὕλης οὐρανίας τε καὶ Ἀστερίας καὶ ἀβύσσων.

τοῦ γὰρ μεταβολικοῦ σώματος κατὰ τὴν σφετέραν τοῦ βάρους ἀναλογίαν τῇ γῇ περιχυθέντος, ἀναγκαῖον ἦν τὸ μέλλον πλησιάζειν αὐτῇ, πάσης μετέχειν δυνάμεως. διὸ περιαρμοσάμενος ὁ θεὸς τὴν σεληνιακὴν σφαῖραν πάσης μετέχουσαν δυνάμεως τῶν δραστηρίων σφαιρῶν, πλησίον τοῦ παντὸς αἰσθητοῦ παρεστήσατο. ὅθεν καὶ τετρακέφαλον τὴν Ἑκάτην ὁ μυστικὸς παραδίδωσι λόγος διὰ τὰ τέσσαρα στοιχεῖα· καὶ ἡ μὲν πυρίπνους τοῦ ἵππου κεφαλὴ, δῆλον ὡς εἰς τὴν τοῦ πυρὸς σφαῖραν ἀναφέρεται· ἡ δὲ τοῦ ταύρου μυκωμένη δαιμόνιόν τινα μυκηθμὸν, εἰς τὴν τοῦ ἀέρος· ἡ

[3] εὐφημησμὸν Cod.

Digitized by Google

δὲ τοῦ ὕδρου πικρὰ καὶ ἄστατος φύσις, εἰς τὴν τοῦ ὕδατος· ἡ δὲ τοῦ κυνὸς κολαστικὴ καὶ τιμωρὸς, εἰς τὴν γῆν· ὅθεν καὶ κέρβερον αὐτὴν, οἱονεὶ κρεωβόρον οἱ ποιηταὶ προσαγορεύουσιν.

Ὅτι πᾶν σπέρμα ἑβδομαῖον προκύπτει, καὶ τῶν ἐμψύχων τὰ πτηνὰ τὸν ἑβδομαῖον ἐπὶ τριάδι κατὰ τὴν γένεσιν φυλάττει λόγον· ἐπὶ μὲν γὰρ τῆς τρίτης ἄρχεται ἡ καρδία κινεῖσθαι· ἐπὶ δὲ τῆς ἑβδόμης τὸ σύμπαν αἱματοῦσθαι· ἐπὶ δὲ τῆς τεσσαρεσκαιδεκάτης, διαρθροῦσθαι τὸ σῶμα· ἐπὶ δὲ τῆς εἰκάδος πρώτης, ῥηγνυμένης τοῦ κελύφους, ἀφιέναι φωνήν· μεγίστη γὰρ ἡ δύναμις τῆς ἑπτάδος· ὅθεν καὶ οἱ Πυθαγόρειοι, Ἀθηνᾷ τὴν ἑπτάδα ἀνατίθενται· τῇ γὰρ περιόδῳ φασὶ τῆς ἑβδομάδος πάντα ἀθάνατα διασώζεται, καὶ διὰ τοῦτο καλοῦσιν αὐτὴν παρθένον ὀβριμοπάτραν· διότι τῆς μονάδος τῆς πάντα περιεχούσης καὶ ὑποστησάσης, μόνης ἐστὶ γέννημα. λέγεται δὲ καὶ κρίσις, διὰ τὸ τῷ ταύτης ἀριθμῷ πάντα λαμβάνειν τὴν ἐπιθάτερον ἔκβασιν· καὶ τοῦτο δῆλον ἐκ τῆς καθολικῆς τῶν ἀνθρώπων ἡλικίας· ἐπὶ γὰρ τοῦ ἑξηκοστοῦ τρίτου ἐνιαυτοῦ, ἑπτὰ δὲ ἐννεάδων ἐστὶ συνακτικὸς, ἡ γένεσις κρίνεται τοῦ ψυχοκρατητικοῦ, ὅς ἐστιν ἕβδομος, καὶ τοῦ σωματοπλαστικοῦ, ὅς ἐστιν ἕνατος, συνιόντων ὁμοῦ.

Ὅτι Νουμᾶς εἰς τρία τὸν μῆνα διελὼν, τριχῇ τὰς ἐν αὐτῷ διετύπωσεν ἑορτάς· τρίπους γὰρ οἰκεῖος Ἀπόλλωνος· καὶ γὰρ τῆς μονάδος ἐστὶν εἰκὼν, καὶ τρεῖς δὲ εἶναι λέγονται τῆς σελήνης οἱ δρόμοι, ὀξὺς, μέσος, καὶ ἀνειμένος· δι' οὓς καὶ τριποδῖτιν τὴν Ἑκάτην, οἱονεὶ τὴν σελήνην, οἱ ποιηταὶ καλοῦσι, τρίμορφος γάρ. πρώτη τοίνυν ἑορτὴ αἱ καλανδαί· παρὰ δ' Ἕλλησι νουμηνία· ἀπὸ τοῦ καλεῖν τὸν ἀρχιερέα τὴν βουλὴν πότε χρῆναι τὴν διχότομον τῆς σελήνης ἐπιτελέσαι τὴν τῶν νόννων ἑορτήν· ἐξ ἧς τὴν μεσομηνίαν ἐπετήρουν. Ἐπὶ μὲν γὰρ τῶν μηνῶν, τῶν τὰς σεληνιακὰς σωζόντων ἑορτὰς, πεμπταίας τὰς νόννας ἐπετέλουν· καθ' ἃς ἐπὶ τῆς τρισκαιδεκάτης καὶ μοιρῶν τινῶν, οὐ τὴν τοῦ φωτὸς, ἀλλὰ τὴν τοῦ σεληνιακοῦ σώματος εἰκός ἐστι συντρέχειν μεσότητα. ὁ γὰρ τῶν δεκατριῶν ἀριθμὸς, συνέστηκεν ἐκ πρώτων δυοῖν τετραγώνων, τοῦ τέσσαρα καὶ τοῦ ἐννέα, ἀρτίου τε καὶ περιττοῦ πλευρὰς ἐχόντων, τοῦ μὲν ἀρτίου, τὸ ὑλικὸν εἶδος δυάδα· τοῦ δὲ περιττοῦ, τὴν δραστήριον ἰδέαν τριάδα· οὗτος οὖν ὁ ἀριθμὸς, ἡ μεγίστη καὶ

Digitized by Google

τελειοτάτη τῶν ἑορταστικῶν θυσιῶν γέγονε τοῖς ἀρχαίοις ἐπιτήρησις. Ἡ γὰρ πεντεκαιδεκάτη κυρίως ἐστὶν ἡ μεσομηνία· αὐτοῦ γὰρ τοῦ φωτός ἐστιν ἡ μεσότης, ὅθεν καὶ Διὸς αὐτὴν ἑορτὴν οἷον ἡλίου νενομίκασι· δι' οὗ σύμφαμεν φωτίζεσθαι τὴν σελήνην· ἐπὶ
5 δὲ τῶν ἡλιακῶν, ἑβδομαίας τὰς νόννας ἐσήμαινεν· ὁ γὰρ ἑβδομαῖος ἀριθμὸς ἡλίου ἐστὶν, ὡς ἔμπροσθεν εἴρηται. δῆλον γὰρ τὴν μὲν ἐλαχίστην τῆς σελήνης ἀποκατάστασιν, κζ ἡμερῶν εἶναι, καὶ ὡρῶν τινῶν· τοῦ δὲ φωτὸς, ἐγγὺς λ'· εἰσὶ δὲ μέσαι, ἀπὸ τῆς νεομηνίας ἄχρι τῶν νόννων, ἢ τέσσαρες ἢ ἓξ, καθ' ὃν ἐλέγομεν τρό-
10 πον, ὡς γίνεσθαι τὰς πάσας σὺν καὶ αὐτῇ τῇ νεομηνίᾳ, ἢ ε' ἢ ζ'· εἴ τις οὖν ἀπὸ τῆς πεμπταίας καὶ αὐτῆς ἐννέα προσεπιλογίσεται ἡμέρας· αὕτη δὲ ἡ προσθήκη παρὰ Ῥωμαίοις νόνναι καλεῖται ἀντὶ τοῦ ἐννέα, τοσαῦται γὰρ εἰσὶν, εὑρήσει τὴν ἐκ μικρᾶς σεληνιακῆς ἀποκατάστασιν μέσην, τουτέστι τὴν τρισκαιδεκάτην· οὕτως καὶ
15 ἐπὶ τῆς ἑβδομαίας μετ' αὐτῆς ἀριθμῶν τὰς θ', εὑρήσει τὴν τοῦ φωτὸς μεσομηνίαν, τουτέστι τὴν πεντεκαιδεκάτην· ὡς δὲ ἀπὸ τοῦ καλῶ Ἑλληνικοῦ καὶ τὸ καλένδαι, διὰ τοῦ Ἑλληνικοῦ κάππα γράφουσι Ῥωμαῖοι· τὴν δὲ μεσομηνίαν εἰδοῦς ἐκάλουν, ἀπὸ τοῦ εἴδους τῆς σελήνης, ἢ ἀπὸ θυσίας τινὸς, ἥτις εἴδουλις ὠνομάζετο·
20 πεμπταίας δὲ ἢ ἑβδομαίας τὰς νόνναις μετὰ τὰς καλάνδας ἐκήρυττον, ὅτι ἑκάτερος τῶν ἀριθμῶν οἰκειότατος τοῖς φωσίν. ἀπὸ δὲ τῶν νόννων καὶ αὐτῶν ἕως τῶν εἰδῶν καὶ αὐτῶν μόνας ἐννέα μέσας παρετηρήσαντο, ὅτι οἰκειότατος καὶ προσφυὴς ὁ ἐννέα ἀριθμὸς τῇ σελήνῃ· οὗτος γὰρ ἑαυτὸν γεννᾷ κατὰ Ξενοκράτην· ἀόριστος γὰρ ἡ
25 ἄχρι ἐννεάδος πρόβασις καὶ πλήθει σύνοικος. τὴν μὲν οὖν νουμηνίαν ἔλεγον καλάνδας, τὴν δὲ δευτέραν τοῦ μηνὸς, πρὸ τεσσάρων ἢ πρὸ ἓξ, ὡς εἴρηται, νόννων. ἔστω δὲ παράδειγμα, ὥσπερ ὅταν πεμπταῖαι ὦσιν αἱ νόνναι· τὴν δὲ τρίτην πρὸ τριῶν νόννων· τὴν δὲ τετάρτην πρὸ μιᾶς νόννων, διὰ τὸ ἀποφράζεσθαι τὴν δυάδα· τὴν πέμπτην,
30 νόνναις· τὴν ἕκτην, πρὸ ὀκτὼ εἰδῶν· τὴν ἑβδόμην, πρὸ ἑπτὰ εἰδῶν· τὴν ὀγδόην, πρὸ ἓξ εἰδῶν· τὴν ἐνάτην, πρὸ πέντε εἰδῶν· τὴν δεκάτην, πρὸ τεσσάρων εἰδῶν· τὴν ια', πρὸ τριῶν εἰδῶν· τὴν ιβ', πρὸ μιᾶς εἰδῶν· τὴν ιγ', εἰδοῦς· τὴν ιδ', εἰ μὲν πεμπταῖαι ἦσαν αἱ νόνναι, καὶ ὁ μὴν ἡμερῶν λ', πρὸ ιη' καλάνδων τοῦ ἐπίοντος μηνός·
35 εἰ δὲ πεμπταῖαι μὲν αἱ νόνναι, καὶ ὁ μὴν ἡμερῶν λα', πρὸ ιθ'

Digitized by Google

καλενδῶν ὁμοίως· εἰ δὲ αἱ νόνναι μὲν ἑβδομαῖαι, καὶ ὁ μὴν λα' ἡμερῶν, τὴν ιε' πρὸ ιζ' καλενδῶν ὁμοίως· ἐπὶ δὲ τοῦ Φεβρουαρίου μόνου τὴν ιδ' πρὸ ις' καλενδῶν Μαρτίων, καὶ καθεξῆς καθ' ὑπόβασιν τοῦ ἀριθμοῦ τῶν καλενδῶν· ἡνίκα δ' ἂν βίσεξτον ᾖ, τὴν κε' καὶ τὴν κς', τὴν πρὸ ἓξ καλενδῶν Μαρτίων ἔλεγον, ὃ καὶ εἴρηται· 5 ἔχουσι δ' ἑβδομαίας μετὰ τὰς νόννας, Μάρτιος, Μάϊος, Ἰούλιος, Ὀκτώβριος· πεμπταίας δ' οἱ λοιποὶ πάντες.

Ὅτι τοὺς μύρμηκας φασὶν ἐν ταῖς τῆς σελήνης νουμηνίαις μὴ ἐργάζεσθαι, ἀλλ' ἡσυχάζειν, καὶ τὴν Ἶβιν δὲ καὶ τὸν κέρκωπα Αἰγυπτίοις ἔνθεν τιμᾶν ἐδόκει· ἀμφότερα γὰρ τὰ ζῶα σελήνῃ 10 συμπαθῆ εἶναι προσείκασται. Ἡ μὲν ἶβις αὐτῷ τε τῷ σχήματι ἐμφερής· ἄκρα μὲν ὀμιχλαίνουσα, λευκαίνουσα δὲ τὰ μέσα, καθάπερ ἡ αἰθερία μηνή. ὅτε γὰρ οὐρανὸς ἀσέληνος, οὐδ' ἴβιδες ὁρῶσι· μύουσι δὲ τοῖς ὀφθαλμοῖς τουτονὶ τὸν χρόνον, καὶ ἄσιτοι ἐγκαρτεροῦσι τὸ σύνεγγυς[3] στοιχεῖον ἀναμένουσαι· ὁ δὲ κέρκωψ 15 δηλοτέρας ἔχει τὰς ἐνεργείας· ὅτε γὰρ αὔξει ἡ σελήνη, ὁ τῶν ὀφθαλμῶν κύκλος τούτῳ εὐρύνεται· ὅτε δὲ μειοῦται, συστέλλεται.

Ὅτι Ἐρατοσθένης, τὴν μὲν σελήνην σταδίων μυριάδας ἑβδομήκοντα ὀκτὼ, τὸν δὲ ἥλιον, τετρακοσίαις καὶ ὀκτακισμυρίαις ἀφε- 20 στάναι λέγει τῆς γῆς.

[4]Ὅτι ὁ λ' ἀριθμὸς φυσικώτατός ἐστιν· ὃ γὰρ ἐν μονάδι τρίας, τοῦτο ἐν δεκάσι τριακοντάς· ἐπεὶ καὶ ὁ τοῦ μηνὸς κύκλος συνέστηκεν ἐκ τεσσάρων τῶν ἀπὸ μονάδος ἑξῆς τετραγώνων, α'. δ'. θ'. ις'. ὅθεν οὐκ ἀπὸ σκοποῦ Ἡράκλειτος γενεὰν τὴν μῆνα 25 καλεῖ.

Ὅτι Ἕλληνες μὲν ἀπὸ τῆς κε' Δεκεμβρίου τὴν ἀρχὴν ἐποιοῦντο τοῦ ἔτους, ἤτοι τὴν τροπήν· Ῥωμαῖοι δὲ μετὰ ὀκτὼ ἡμέρας κατὰ τὴν πρώτην Ἰαννουαρίου. οἱ μὲν Ἕλληνες τὴν τροπὴν αὐτὴν τηροῦντες, οἱ δὲ Ῥωμαῖοι, τὴν τοῦ γνώμονος σκιὰν ποτε συστέλ- 30 λεσθαι ἄρξεται· μέχρι γὰρ τῶν ὀκτὼ ἀνεπαίσθητος ἐστὶν ἡ τῆς σκιᾶς μείωσις.

[3] συνεγγὲς Cod. συγγενὲς Edd.

[4] Hæc in marg. καὶ οἱ μὲν γραμματικοὶ α̅. β̅. γ̅. δ̅. τὸν δέκα συνιστῶσιν· οἱ δὲ ἀπὸ τούτων κύβοι α̅. η̅. κζ̅. ξδ̅. τὸν ρ̅ ποιοῦσιν.

Digitized by Google

Ὅτι διὰ τὴν γένεσιν διττὴ γέγονεν ἡ τῶν οὐρανιῶν κίνησις· εἰ γὰρ ἁπλῆ ἦν, οὐδὲν ἂν ἀπ' αὐτῆς παρήχθη, ὡς καὶ Ἀριστοτέλης ἐν τῷ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς· μιᾶς μὲν οὔσης τῆς φθορᾶς, οὐκ ἐνδέχεται γίνεσθαι τὰ ἄμφω γένεσιν καὶ φθορὰν, διὰ
5 τὸ ἐναντία εἶναι· τὸ γὰρ αὐτὸ καὶ ὡσαύτως ἔχον ἀεὶ, τὸ αὐτὸ πέφυκε ποιεῖν, ὥστε ἤτοι γένεσίς ἐστιν ἀεὶ, ἢ φθορά· δεῖ δὲ πλείους εἶναι τὰς κινήσεις καὶ ἐναντίας· ἢ τῇ φθορᾷ, ἢ τῇ ἀνωμαλίᾳ· τῶν γὰρ ἐναντίων αἴτια τὰ ἐναντία· διὸ οὐχ ἡ πρώτη φορὰ αἰτία ἐστὶ γενέσεως καὶ φθορᾶς, ἀλλ' ἡ κατὰ τὸν λοξὸν
10 κύκλον· ἐν ταύτῃ γὰρ καὶ τὸ συνεχὲς ἔνεστι καὶ τὸ κινεῖσθαι δύο κινήσεις.

Ὅτι Σάρδιν ἡ Λυδῶν πόλις εἰς τιμὴν τοῦ ἡλίου ἐκτίσθη· ὅθεν καὶ ὁ τῶν στοιχείων ἀριθμὸς εἰς τὰς τξέ' ἡμέρας συμποσοῦται τοῦ ἐνιαυτοῦ· καὶ σάρδιν δὲ παρὰ τῷ πλήθει, τὸ νέον ἔτος.

15 Ὅτι τρεῖς ἀρχὰς ἦγον Ῥωμαῖοι τοῦ ἐνιαυτοῦ· μίαν μὲν ἱερατικὴν κατὰ τὸν Ἰαννουάριον, αὐξανούσης ἤδη τῆς ἡμέρας· δευτέραν δὲ κατὰ τὴν τοῦ Μαρτίου πρώτην, ἣν πάτριον εἶχον· καθ' ἣν καὶ τὰ ὅπλα ἔθος αὐτοῖς κινεῖν· τὴν δὲ πολιτικὴν, ἢ μᾶλλον κυκλικὴν, τὴν πρώτην τοῦ Σεπτεμβρίου, ἣν ἡμεῖς μὲν ἐπινέμησιν[5], αὐτοὶ δὲ
20 ἰνδικτιῶνα καλοῦσι· τῆς γὰρ ἀρχαιότητος τὸν κύκλον ἐχούσης εἰς τὸ λεγόμενον παρ' αὐτοῖς λοῦστρον, τουτέστιν εἰς τὴν πενταετηρίδα· καθαρμὸς δὲ ἦν, καὶ μυστήρια μητρὸς κατ' αὐτὸν ἐτελεῖτο. ἔδοξεν ὕστερον πρὸς τιμὴν Ἄρεως· πάτριος δὲ Ῥωμαίοις, ὡς φασὶ, θεὸς, παρὰ πεντεκαιδέκατον ἐνιαυτὸν, ἀνανεοῦσθαι τὸν κύκλον. ἡ
25 γὰρ τελεία ἀποκατάστασις Ἄρεως, διχῶς παραφυλάττεται· μικρὰ μὲν, πεντεκαίδεκα· μέση δὲ, ἑβδομηκονταεννέα. ὅτι δὲ πάτριον ἀρχὴν ἐνιαυτοῦ τὸν Μάρτιον οἱ Ῥωμαῖοι παρέλαβον, δῆλον καὶ ἀπὸ τοῦ τὰς λεγομένας παρ' αὐτοῖς ματρώνας, τουτέστι τὰς εὐγενίδας, τοὺς οἰκέτας ἐστιᾶν, καθάπερ ἐν τοῖς κρονίοις τουτὶ πράττειν ἔθος
30 ἦν τοὺς κεκτημένους· ὧν αἱ μὲν, δι' Ἄρεως τιμὴν δουλεύουσι τοῖς ἄρρεσι τῶν οἰκετῶν, διὰ τὴν κρείττονα φύσιν· οἱ δ' ἀποτρόπαιον ὥσπερ θεραπείαν εἰσάγοντες τῷ χρόνῳ, τοῖς ἑαυτῶν δούλοις ἐδούλευον, ὅπως μὴ ταῖς ἀληθείαις νεμεσητόν τι παθόντες, εἰς δουλείαν πολεμίων καταπέσωσιν.

[5] ἐπινέμεσιν Cod.

Digitized by Google

Ὅτι ἐπινέμησις ἐντεῦθεν εἴρηται παρ' Ἕλλησιν· ἐπὶ γὰρ ζυγῷ γινόμενος ὁ ἥλιος δείκνυσι τὴν τῶν καρπῶν ποιότητα. κατ' αὐτὴν δὲ φιλανθρώπως οἱ πάλαι τοὺς φόρους τοῖς ὑπηκόοις ἐπένεμον, ὡς μὴ παρὰ τὴν τούτων ἐπίδοσιν, ἀσεβῶς δοκοῖεν βαρύνεσθαι οἱ φορολογούμενοι. ἐπινέμησις οὖν, οἱονεὶ διανομὴ δασμῶν· οὐ γὰρ ἦν οὕτως ἀδυσώπητος ἡ τῶν φόρων εἴσπραξις, οὐδ' ὡρισμένη τίς, ἢ μᾶλλον αὐξομένη κατὰ μικρὸν, ἀλλὰ πρὸς τὸ χρειῶδες τῶν ἀνακυπτόντων τοῖς κρατοῦσιν ἐγίνετο.

Ὅτι ὁ δράκων πνευματικώτατον πάντων ἑρπετῶν καὶ πυρῶδες, παρ' ὃ καὶ τάχος ἀνυπέρβληται διὰ τοῦ πνεύματος, χωρὶς ποδῶν καὶ χειρῶν ἢ ἄλλου τινὸς τῶν ἐκτὸς, δι' ὧν τὰ λοιπὰ ζῶα τὰς κινήσεις ποιεῖται· καὶ ποικίλων σχημάτων τύπους ἀποτελεῖ· πολυχρονιώτατον δέ ἐστιν, οὐ μόνον τῷ ἐκδυόμενος τὸ γῆρας νεάζειν, ἀλλὰ καὶ αὔξησιν ἐπιδέχεσθαι μείζονα πέφυκε, καὶ ἐπειδὰν τὸ ὡρισμένον μέτρον πληρώσῃ, εἰς ἑαυτὸν ἀναλίσκεται· ὀξύτατα δὲ πάντων βλέπει, ὅθεν καὶ δράκων ὠνόμασται.

Ὅτι οὐδαμοῦ τοῦ τῆς τύχης ὀνόματος Ὅμηρος μέμνηται· Ἡσίοδος μέντοι.

Ὅτι τὸν πλοῦτον Ἰσοκράτης μᾶλλον κακίας ἢ καλοκαγαθίας εἶπεν ὑπηρέτην· Πλάτων δὲ εἶπε μηδένα γίνεσθαι μεγίστου πλούτου κύριον, εἰ μὴ τὸν προεζημιωμένον τὴν ψυχήν.

Ὅτι οὐ μόνον ἡ μαγνῆτις ἕλκει τὸν σίδηρον, ἀλλὰ καὶ ὁ ἐξ αὐτῆς μεταλλευθεὶς σίδηρος τὸν ἄλλον σίδηρον.

Ὅτι Ποντίφικες οἱ ἀρχιερεῖς παρὰ Ῥωμαίοις ἐλέγοντο, καθάπερ ἐν Ἀθήναις τοπάλαι γεφυραῖοι, πάντες οἱ περὶ τὰ πάτρια ἱερὰ ἐξηγηταὶ καὶ ἀρχιερεῖς διοικηταὶ τῶν ὅλων ὠνομάζοντο· διὰ τὸ ἐπὶ τῆς γεφύρας τοῦ Σπερχείου ποταμοῦ ἱερατεύειν τῷ Παλλαδίῳ. πόντην γὰρ οἱ Ῥωμαῖοι τὴν γέφυραν καλοῦσι, καὶ ποντίλια, τὰ γεφύρια ξύλα· ὅθεν καὶ πραξιεργίαι δῆθεν ἐκαλοῦντο, ὡσανεὶ τελεσταί. τοῦτο γὰρ σημαίνει τὸ ποντίφεξ, ἀπὸ τοῦ δυνατοῦ ἐν ἔργοις.

Ὅτι Διοσκούρους φασὶ, τὸ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ἡμισφαίριον, ἀμοιβαδὸν μυθικῶς ζῶντας καὶ τελευτῶντας.

Ὅτι Φάβιος ὁ βουλευτὴς κατεδικάσθη ὑπὸ τῆς βουλῆς, ὅτι

4 βάφιος Cod.

Digitized by Google

παρὰ τὸν διωρισμένον τῷ νόμῳ ἄργυρον ἐδείκνυτο κεκτημένος· οὐδὲ γὰρ ἐφεῖτο παρὰ τὴν ἀξίαν κεκτῆσθαί τινι, ἀλλ' οὐδὲ σηρικῇ χρῆσθαι ἐσθῆτι τοῖς τυχοῦσι, κἂν εὔποροι[5] εἶεν· μόνοις δὲ τοῖς πατρικίοις τοῦτο κατ' ἐξαίρετον ἀνεκήνεκτο.

5 Ὅτι τὴν Ἀθηνᾶν εἰς τὴν ψυχὴν ἀνάγουσιν ὡς ἀθάνατον, καὶ παῖδα τοῦ Διὸς ἐκ τῆς αὐτοῦ κορυφῆς, ἤτοι ἐκ τῆς ἀκρότητος τοῦ οὐρανοῦ κατιοῦσαν, καὶ ἄπλῆν δὲ οὖσαν, τριτογένειαν φασὶν, οὐκ ἀπὸ τοῦ Τρίτωνος ποταμοῦ, ἀλλ' ὅτι κατιοῦσα τὸ μὲν θυμικὸν ἐκ τοῦ ἀέρος λαμβάνει· τὸ δ' ἐπιθυμητικὸν ἐκ τῆς σεληνιακῆς 10 σειρᾶς. καὶ γὰρ ὑγρὰ τὴν φύσιν ἡ σελήνη· ὅθεν καὶ αἱ περὶ ἐρώτων μαγγανεῖαι πρὸς αὐτὴν γίνονται.

Ὅτι ἀγὼν καὶ ἀγωνία ὁ τόπος λέγεται διὰ τὸ κυκλοτερὲς, παρὰ τὸ μὴ ἔχειν γωνίαν· ἧς εἰς τύπον καὶ στέφανοι κυκλοτερεῖς τοῖς νικῶσιν ἐπετίθεντο. οἱ δὲ τρεῖς ὀβελοὶ, τὴν τρίστοιχον φύσιν δη- 15 λοῦσιν, ὕδατος, πυρὸς, γῆς· ἐπ' αὐτῶν γὰρ καὶ μόνων ὁ θάνατος τὴν ἐνέργειαν ἔχει· ὅθεν καὶ τρικάρηνον ὁ μῦθος δίδωσι τῷ Πλούτωνι κύνα, ἀντὶ τοῦ τρίστοιχον· ὁ γὰρ ἀὴρ ζωοποιός ἐστι. διὰ τῶν ὀβελῶν δηλοῦσιν, ὡς πρὸς τιμὴν τῶν ὑπὲρ πατρίδος ἀποθνησκόντων τὴν ἀγωνίαν ἐπετέλουν.

20 Ὅτι οἱ μὲν ῥούσιοι Ἄρει ἀνέκειντο· οἱ δὲ λευκοὶ Διΐ· οἱ δὲ πρασινοὶ[6] Ἀφροδίτῃ· οἱ δὲ βένετοι Κρόνῳ ἢ Ποσειδῶνι. βένετοι δὲ ἐκλήθησαν ἀπὸ τῶν περὶ τὸν Ἀδρίαν [7]Ἐνετῶν, τοιαύταις ἐσθῆσι χρωμένων· βένετον δὲ οἱ Ῥωμαῖοι τὸ παρ' ἡμῖν καλλάϊνον χρῶμα προσαγορεύουσιν. ἢ καὶ κατὰ τὰ τέσσαρα στοιχεῖα· ῥούσιοι μὲν 25 ἀνέκειντο πυρὶ διὰ τὸ χρῶμα· ὁμοίως πράσινοι γῇ διὰ τὰ ἄνθη· βένετοι Ἥρᾳ· λευκοὶ δὲ ὕδατι. κακοδαιμονίαν οὖν οἰωνίζοντο, τὴν χείρονα ψῆφον τὸν ἀνθηρὸν ἀπενέγκασθαι, ὡς αὐτοῖς Ῥώμης ἡττηθείσης· τοῦ γὰρ δυτικοῦ κέντρου εἰς τὸ τῆς γῆς στοιχεῖον ἀναφερομένου, εἰκὸς ἦν αὐτοῖς μέλειν αὐτῆς· ὅθεν καὶ Ἑστίαν πρὸ πάν- 30 των φαίνονται τιμήσαντες Ῥωμαῖοι, ὥσπερ τὸν πετρογενῆ Μίθραν οἱ Πέρσαι διὰ τὸ τοῦ πυρὸς κέντρον· καὶ τὴν ὑγρὰν οὐσίαν οἱ ὑπὸ

ἀνθηροὶ

5 ἄπυροι Cod. 6 Sic πρασινοὶ. 7 οἱ δὲ φασὶ πράσινον μὲν τὸ ἔαρ· ῥούσιον δὲ τὸ θέρος· βένετον δὲ τὸ φθινόπωρον· λευκὸν δὲ τὸν χειμῶνα. hæc in marg.

Digitized by Google

τὴν ἄρκτον διὰ τὸ κέντρον τοῦ ὕδατος· καὶ Ἴσιν Αἰγύπτιοι ἀντὶ τοῦ τὴν σελήνην τὴν τοῦ παντὸς ἄερος ἔφορον.

Ὅτι τὰ τῶν νεκρῶν σώματα ἔκαιον οἱ παλαιοὶ, συνεξαιθεροῦντες αὐτὰ τῇ ψυχῇ.

Ὅτι οὐκ εἰσὶν ἀστέρες κακοποιοὶ, ἀλλὰ πάντες ἀγαθοί. ἀλλ' ἐπεὶ καθ' ἁρμονίαν τὸ πᾶν συνίσταται, οἱ μὲν αὐτῶν εἰσὶ ξηροὶ, οἱ δὲ ὑγραίνουσιν· οἱ δ' ἄλλό τι ἔχουσι πρὸς τὰς κράσεις αὐτῶν· τοίνυν δοκοῦσι βλάπτειν κατὰ τὴν ἐνέργειαν, οὐ κατὰ τὴν πρόθεσιν· καὶ ὅτι τὰς ἀκράτους αὐτῶν δυνάμεις ἐνίοτε οὐχ ὑπομένοντα τὰ ἐν τῇ γῇ, βλάπτονται, ὡς καὶ ὀφθαλμοὶ ὑπὸ φαιδρότητος φωτός.

Ὅτι ἐν εἴδοῖς Μαρτίαις πόμπης γινομένης, ἤγετο καὶ ἄνθρωπος περιβεβλημένος δοραῖς, καὶ τοῦτον ἔπαιον ῥάβδοις λεπταῖς ἐπιμήκεσι, Μαμούριον αὐτὸν καλοῦντες· οὗτος δὲ τεχνίτης ἐν ὁπλοποιΐᾳ γενόμενος, διὰ τὸ μὴ τὰ διοπετῆ ἀγκίλια συνεχῶς κινούμενα φθείρεσθαι, ὅμοια ἐκείνων κατεσκεύασε τῶν ἀρχετύπων· ὅθεν παροιμιάζοντες οἱ πολλοὶ ἐπὶ τοῖς τυπτομένοις, διαγελῶντες φασὶν, ὡς τὸν Μάμουρον αὐτῷ παίζοιεν οἱ τύπτοντες· λόγος γὰρ καὶ αὐτὸν ἐκεῖνον Μαμούριον δυσχερῶν τινῶν προσπεσόντων ἐπὶ τῇ τῶν ἀρχετύπων ἀγκιλίων ἀποσχέσει, τοῖς Ῥωμαίοις παιόμενον ῥάβδοις ἐκβληθῆναι τῆς πόλεως.

Ὅτι ἡ Ἀθηνᾶ εἰς τὴν ψυχὴν ἀλληγορουμένη, καὶ γλαυκῶπις λέγεται διὰ τὸ πυρῶδες, καὶ γλαῦκα αὐτῇ ἀνατιθέασιν, ὅτι περ ἐγρήγορε διὰ πάσης νυκτὸς, οἱονεὶ ἀεικίνητος· τὸ γὰρ παῦλαν ἔχον κινήσεως, παῦλαν ἔχει ζωῆς κατὰ Πλάτωνα.

Ὅτι καὶ ἐν Ῥώμῃ τὰς τῶν πολιτῶν ἁμαρτάδας, ἐπὶ ἁμαξῶν διέπαιζον, καὶ λανθανούσας ἐξῆγον, κατὰ τὴν Ἀθηναίων συνήθειαν, οἳ τοῖς ἁμαρτάνουσιν ἠπείλουν λέγειν τὰ ἐξ ἁμαξῆς.

Ὅτι τὴν ἐν Λυδίᾳ Φιλαδέλφειαν Αἰγύπτιοι ἐπόλισαν.

Ὅτι ψαλλίς ἐστιν οἰκοδομῆς εἶδος ἡμικύλινδρον τὸ σχῆμα ἐχούσης.

Ὅτι ἡ Δημήτηρ πόλεώς ἐστι καταρτικὴ, οἱονεὶ ἡ γῆ· ὅθεν καὶ πυργοφόρον αὐτὴν γράφουσι· λέγεται δὲ καὶ Κυβέλη ἀπὸ τοῦ κυβικοῦ σχήματος κατὰ γεωμετρίαν ἡ γῆ, διὰ τὸ βάσιμόν τε καὶ στάσιμον, εἰ καὶ σφαιρικὴν οἱ Στωϊκοὶ ταύτην ὁρίζονται.

Digitized by Google

Ὅτι Ἀστάρτην τὴν Συρίαν θεὸν τὴν Ἀφροδίτην φασίν.

Ὅτι Ἀριστοτέλης τὸν Καλλισθένην ἀπέσκωψε, τὸν μὲν περιττὸν νοῦν ἔχειν, τὸν δὲ ἀνθρώπινον ἀποβεβληκέναι.

Ὅτι Νουμήνιος ὁ Ῥωμαῖος φησὶν, ὡς οὐ πρότερον βρέφος φθέγ-
5 ξοιτο, πρὶν ἂν τῆς γῆς ἐφάψηται.

Ὅτι τὰ πέρατα, Πλάτων φησὶ, κατὰ πρόσθεσιν, ἢ ἀφαίρεσιν, ἢ μετάθεσιν, ἢ πνευμάτωσιν συμβαίνειν.

Ὅτι Αὔγουστος τὸν τοῦ Σοφοκλέους Αἴαντα εἰς τὴν πάτριον φωνὴν μετήνεγκεν· εἶτα ἀκμαζούσης αὐτῷ μετὰ τὴν πρακτικὴν
10 καὶ τῆς ἐκ λόγων ἀρετῆς, ὡς ἀναξίαν ἐκ παραβολῆς πρὸς Σοφοκλέα τὴν ἑαυτοῦ διεγίνωσκε τραγῳδίαν, ταύτην ἐξήλειψεν· εἶτα ἐρωτηθεὶς πρὸς τοῦ Κικέρωνος, παρ' ᾧ μετὰ σπουδῆς ἐπαιδεύετο, ποῦ τυγχάνοι ὁ γραφόμενος Αἴας, αὐτὸν ἀστείως ἅμα καὶ νουνεχῶς ἀποκρίνασθαι, σπόγγῳ τὸν αὐτοῦ Αἴαντα, καθάπερ σιδήρῳ τὸν τοῦ
15 Σοφοκλέους, ἐπιπεσεῖν. καὶ τοσαύτη τίς αὐτῷ φροντὶς οὖσα περὶ λόγους ἐτύγχανεν, ὡς ἄρχοντος ἀπαιδεύτου γράψαι πρὸς αὐτὸν δημοσίαν τολμήσαντος ἐπιστολὴν, οὕτως ἀγανακτῆσαι, ὡς παραλυσαι τῆς ἀρχῆς τὸν ἀπαίδευτον. καὶ μέτρον δὲ καὶ ὅρον ταῖς τε εὐωχίαις καὶ ταῖς προιξὶν ἔθηκε· πρῶτος ἐπὶ τῇ ἑαυτοῦ θυγατρὶ
20 τοῦτο ποιήσας. τῆς δὲ τῶν ὑπηκόων ἐλευθερίας τοσοῦτον ἐφρόντιζεν, ὥστε τινὸς τῶν κολάκων ἐπὶ τῆς βουλῆς δεσπότην αὐτὸν ὥσπερ ἐν ὑπεροχῆς τρόπῳ καλέσαντος, αὐτὸς ἐξαναστὰς, ἐγὼ δὲ, ἔφη, ἐλευθέροις ἀλλ' οὐ δούλοις ἔμαθον διαλέγεσθαι.

Ὅτι τῇ πρὸ τριῶν νόνων Αὐγούστων, ἀνῄρουν ἀκωλύτως ἐν
25 Ῥώμῃ τοὺς κύνας εἰς τιμὴν τῶν χηνῶν, ὅτι τὸ Καπετώλιον, οἱ μὲν κύνες προέδωκαν ὑπνώσαντες, οἱ δὲ χῆνες ἐγρηγορότες διέσωσαν. οἱ δέ φασιν ὅτι τοῦτο ἐποίουν, ἵνα μὴ ὀχληροὶ τοῖς νοσοῦσι νυκτὸς γίνωνται· οἱ δὲ ἵνα μὴ λυττῶντες τοὺς ἀνθρώπους βλάπτωσι· τηνικαῦτα γὰρ ὁ σείριος ἀνατέλλει, ὃς καὶ δοκεῖ τῆς λύττης
30 αὐτοῖς αἴτιος εἶναι.

Ὅτι οἱ κομῆται ἐν τοῖς ὑπὸ σελήνην κόλποις συνίστανται, ἀστρώδη τινὰ φύσιν ἐπιδεικνύμενοι· οὐ γάρ εἰσιν ἀστέρες, ἀλλὰ θρομβώσεις τινὲς ἐξ ἀναθυμιάσεως τῆς γῆς ἀποτελούμεναι· ὧν ἡ γένεσις μὲν ἐξ ἀέρος τοῦ κατὰ συναφὴν ἐγκαταλαμβανομένου τῷ

Digitized by Google

αἰθέρι· ὅθεν καὶ ἰσοταχεῖς αὐτῷ μέχρι διαπτώσεως συμπεριφέρονται· καὶ ἡνίκα μὲν τὴν ῥύσιν ἐπὶ τὸ κάτω φερομένην ἔχων ὁ αἴθηρ περιληφθείη, πωγωνίαι τε καὶ πίθοι ἀποτελοῦνται· ἡνίκα δὲ πλαγία, κομῆται· τάχιον δὲ οἱ πωγωνίαι· πολλοὶ δὲ καὶ τούτων τάχιον πίθοι τε καὶ δοκίδες ἐκπίπτουσιν. 5

Ὅτι χυμῶν διαφοραὶ πλείους μὲν, γενικαὶ δὲ ἐννέα, γλυκεῖα, πικρὰ, ὀξεῖα, δριμεῖα, βικχὴ, στρυφνὴ, βλεννώδης, αὐστηρὰ, ἁλμυρά.

Ὅτι πλεονάσαντος μὲν πυρὸς, πυρετὸς γίνεται· ἀφημερινὸς δὲ, ἀέρος· τριταῖος δὲ, ὕδατος· τεταρταῖος δὲ, γῆς· φιλεῖ δὲ τούτων 10 προκατάρχειν τὸ ῥίγος· ὁπόταν γὰρ ὑπὸ τοῦ ψυχροῦ, ἐπειδὴ τοῦ τ' ἰδίου ὕδατός τε καὶ γῆς, τὰ εἰρημένα ὑγρὰ παχυνθῇ, τηνικαῦτα φερόμενα διὰ τῶν ἀραιωμάτων, ἐξωθεῖν μὲν οὐ δύναται τὰ πυκνότερα· ἐμπεσόντα δὲ ταῖς τούτων ἕδραις, σύνωσιν καὶ θλίψιν ἐργάζεται· μέχρις ἂν ὑπὸ τοῦ πυρὸς ἐπειγόμενα, τμηθέντα διαχυθῇ· 15 ὅπερ ἀναγκαίως κλόνον τινὰ καὶ σεισμὸν ἐμποιεῖ· ὃ δὴ πάθος τρόμος καὶ ψύχος ὀνομάζεται.

Ὅτι Ῥωμαῖοι μετὰ τὸ νικῆσαι τοὺς Ἄφρους, καὶ τὰ ἐκεῖθεν θηρία ἐπὶ τῆς Ῥώμης ἐκόμιζον, καὶ ἐπὶ τῆς ἄμμου ἐφόρευον· ὡς μὴ δὲ τὰ ἐκ τῆς χώρας ἐκείνης θηρία ἀδούλωτα μείνῃ. 20

Ὅτι τὴν ἱσταμένην ἐν τῷ Βυζαντίῳ στήλην τῆς τύχης, Πομπήϊος ὁ μέγας ἔστησεν, ἐνταῦθα τὸν Μιθριδάτην συγκλείσας μετὰ τῶν Γότθων, καὶ τούτους διασκεδάσας, τὸ Βυζάντιον εἷλε. καὶ μαρτυρεῖ τὸ ἐπὶ τῆς σπείρας τοῦ κίονος ἐπίγραμμα Λατίνοις γράμμασιν, ὃ δηλοῖ τάδε· "τῇ τύχῃ τῇ ἐπανασωστικῇ διὰ τοὺς νικηθέντας 25 "Γότθους." ὁ δὲ τόπος ὕστερον καπηλεῖον ἐγένετο.

Ὅτι Πορφύριος φησὶ τοὺς φαινομένους οὐρανίους θεοὺς τῇ θυσίᾳ δεξιούμενοι, καὶ διὰ τοῦ πυρὸς· αὐτοῖς ἐπαναθανατίζοντες τὰς τιμὰς, καὶ πῦρ ἐν τοῖς ἱεροῖς ἐφύλαττον αὐτοῖς ἀθάνατον, ὡς ὂν μάλιστα αὐτοῖς ὁμοιότατον. 30

Ὅτι Πλάτων φησὶ τοῖς τῆς Ἀφροδίτης γενεθλίοις τὴν πενίαν προσαιτοῦσαν ἀνελθεῖν, καὶ λάθρα τῷ πόρῳ μεθυσθέντι τοῦ νέκταρος ἐπιβουλεῦσαι, καὶ οὕτω κυηθῆναι τὸν ἔρωτα.

Ὅτι σχημάτων ὁ κύκλος τελειότατον· ὅθεν Αἰγύπτιοι τὸν κόσ-

Digitized by Google

μον γράφοντες, περιφερῆ κύκλον ἀεροειδῆ καὶ πυρωπὸν χαράττουσι, καὶ μέσον τεταμένον ὄφιν ἱερακόμορφον, οἱονεὶ συνεκτικὸν ἀγαθὸν δαίμονα· καὶ ἐστὶ τὸ πᾶν σχῆμα, ὡς τὸ παρ' ἡμῖν Θ.

Ὅτι ὁ τῆς ὀγδοάδος ἀριθμὸς θῆλυς καὶ ἄπειρος καὶ ἀτελής· ὅθεν καὶ παρὰ τῷ Νικομάχῳ ἠλιτόμηνος καλεῖται. ὁ γὰρ ὀκτάμηνος χρόνος πρὸς οὐδένα τῶν ἁρμονικῶν ἔχων φαίνεται λόγον· ὅθεν οὐ τελεσφορεῖται τὰ ὀκταμηνιαῖα· μέσος γὰρ ὢν τῶν τελεσφόρων ἀριθμῶν, αὐτὸς ἀτελὴς εὑρίσκεται. πάσης γὰρ ὑλικῆς δυνάμεως μετέχων, τὰς περὶ τὴν ὕλην εἴληχε δυνάμεις.

Ὅτι τοὺς κεραυνοὺς φασὶ γίνεσθαι, ὅταν ῥῆξις νεφῶν γένηται· τῆς γὰρ παρακειμένης αὐτοῖς γεώδους οὐσίας ἐξαφθείσης, τὸ ἐξαφθὲν ὑπὸ τῆς ῥιπῆς ἐπὶ τὴν γῆν μετὰ ῥοίζου φέρεται· καὶ ἐὰν μὲν ὑγρότερα τυγχάνῃ τὰ νέφη, ἅμα τῇ καταφορᾷ σβέννυται· εἰ δὲ γεωδέστερα, πυρώδεις ἐκθλίβονται. δύο δὲ εἴδη κεραυνῶν εἶναι φασὶν, ὧν ὁ μὲν ὀξὺς καὶ μανὸς καὶ διάπυρος, ἀργὴς ὀνομάζεται· ὁ δὲ βραδὺς καὶ καπνώδης, ψολόεις· καὶ ὁ μὲν διὰ τὴν λεπτότητα, καὶ πρὶν ἐκπυρῶσαι φερόμενος, οἴχεται διὰ τάχους, ὡς μὴ δὲ ἐπιφλέξαί τι τῶν ἀραιοτέρων· ὁ δὲ βραδύτερος ἱκανὸς μὲν ἐπιχρῶσαι ἀπ' αἰθάλου, καὶ καῦσαι δέ τινα τῶν ὑποπεσόντων, βολβῶν καὶ συκῆς καὶ φωκῆς καὶ ὑαίνης μενόντων ἀβλαβῶν, ὧν καὶ ταῖς δοραῖς περιδιφθεροῦσθαι τὰ ἱστία τῶν νηῶν διὰ τοὺς κεραυνούς· τῶν μέντοι κεραυνοβλήτων τὰ σώματα, ἄταφα κατελίμπανον οἱ πάλαι, ἀδιάφθορα μένοντα· τῆς γὰρ ἐν αὐτοῖς ὑγρότητος ἀναρπαζομένης ὑπὸ τοῦ πυρὸς, ὥσπερ ἀποπτηθέντα, διαμένειν πέφυκεν.

Ὅτι Ἰαννουάριος εἴρηται, ἀπὸ τοῦ Ἰανοῦ πατρὸς θεοῦ τινός. Φεβρουάριος δὲ[8]

Μάρτιος ἀπὸ τοῦ Ἄρεως· μάρτεμ γὰρ φασὶ τὸν Ἄρην· ἀνάκειται οὖν τῷ Ἄρει. Ἀπρίλλιος δὲ, οἱονεὶ ἀπερίλιος, ἀπέριρε γὰρ τὸ ἀνοῖξαι, ὁ ἀνοικτικὸς[9] τοῦ ἔαρος. ἀνάκειται δὲ τῇ Ἀφροδίτῃ. Μάιος ἀπὸ τῆς μαιάδος Ἑρμοῦ· ᾧ καὶ ἀνάκειται· ὡς εἰς τιμὴν τῆς γερουσίας τεθέντος. Ἰούνιος δὲ εἰκότως ὁ μετὰ τὸν εἰς τιμὴν τῆς

[8] Est vacuum spatium in Cod. [9] ἀνακτικὸς Cod.

Digitized by Google

γερουσίας ὑπὲρ τῆς τιμῆς τῶν νέων τεθείς· ἰουνιῶρας γὰρ τοὺς νεωτέρους φασίν. Ἰούλιος δὲ ἀπὸ τοῦ Ἰουλίου Καίσαρος, ὡς κατ' αὐτὸν τεχθέντος· πρότερον δὲ Κυντίλιος ὠνομάζετο, τουτέστι πέμπτος ἀπὸ τῆς πολιτικῆς τοῦ ἔτους ἀρχῆς· ἀπὸ γὰρ τῆς ἱερατικῆς ἀρχῆς, ἤτοι τῶν αὐξιφωτίων, ἕβδομός ἐστιν. Αὔγουστος ὁμοίως ἀπὸ Αὐγούστου Καίσαρος. πρότερον δὲ Σεξτίλιος ὠνομάζετο, ὡς ἕκτος ἀπὸ Μαρτίου· μετωνομάσθη δὲ εἰς τιμὴν Αὐγούστου, ὡς καταπαύσαντος τοὺς ἐμφυλίους πολέμους, καὶ ὁμονοῆσαι πάντας πείσαντος. καὶ ἐπειδὴ ὄγδοός ἐστιν ἀπὸ Ἰαννουαρίου, τούτῳ τῷ ὀγδόῳ τὸ ὄνομα τοῦ τῆς ὁμονοίας αὐτοῖς αἰτίου ἀνέθεντο. κατὰ γὰρ τοὺς Πυθαγορικοὺς ὁμολογία καὶ πειθὼ ὁ ὀκτὼ καλεῖται· πρῶτος γάρ ἐστι κύβος τὴν τοῦ παντὸς αἰσθητοῦ ἰδέαν περιέχων· κατά τε μῆκος καὶ πλάτος καὶ βάθος, καὶ καλῶς ὁμολογία καλοῖτ' ἄν. ἐν αὐτῷ γὰρ τὰ περιττὰ τοῖς ἀρτίοις ὡμολόγησαν. Σεπτέμβριος δὲ, ἕβδομος ἀπὸ τοῦ ἦρος· σέπτεμ γὰρ τὰ ἑπτὰ, καὶ βὲρ τὸ ἔαρ. Ὀκτώβριος, ὄγδοος ἀπὸ τοῦ ἦρος, καὶ Νοέμβριος, καὶ Δεκέμβριος ὁμοίως.

ΠΕΡΙ ΣΙΒΥΛΛΗΣ.

[9]Τὸ σίβυλλα Ῥωμαϊκὴ λέξις ἐστὶν ἑρμηνευομένη προφῆτις, ἤγουν μάντις, ὅθεν ἑνὶ ὀνόματι αἱ θήλειαι μάντιδες ὠνομάσθησαν Σίβυλλαι. γεγόνασι δὲ Σίβυλλαι δέκα ἐν διαφόροις τόποις καὶ χρόνοις. πρώτη ἡ καὶ Χαλδία ἡ καὶ Περσὶς, ἡ καὶ πρός τινων Ἑβραία ὀνομαζομένη, ἧς τὸ κύριον ὄνομα Σαμβήθη, ἐκ τοῦ γένους τοῦ μακαριωτάτου Νῶε, ἡ περὶ τῶν κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα λεγομένων προειρηκυῖα, ἧς μνημονεύει Νικάνωρ ὁ τὸν Ἀλέξανδρου βίον ἱστορήσας, ἡ περὶ τοῦ δεσπότου Θεοῦ μυρία προ-

9 Hoc anonymi de Sibyllis fragmentum in multis consentit cum iis quæ Suidas habet ejusdem argumenti. Sed plura habet noster, et cum in iis quæ narrat de Sibylla, quæ cum Tarquinio Prisco colloquium habuisse dicitur, cum Joanne Lydo de Mens. p. 70. Ed. Corp. Scr. Byzant. convenit, non aberraverit forsan is qui omnia hæc ex eodem fonte derivata esse conjectaverit. Opusculum depromptum est e Cod. 854. fol. 159.

Digitized by Google

θεσπίσασα, καὶ τῆς αὐτοῦ παρουσίας· ἀλλὰ καὶ αἱ λοιπαὶ συνᾴδουσιν αὐτῇ, πλὴν ὅτι ταύτης εἰσὶ βιβλία εἰκοσιτέσσαρα περὶ παντὸς ἔθνους καὶ χώρας περιέχοντα. ὅτι δὲ οἱ στίχοι αὐτῆς ἀτελεῖς εὑρίσκονται καὶ ἄμετροι, οὐ τῆς προφήτιδος ἐστὶν ἡ
5 αἰτία, ἀλλὰ τῶν ταχυγράφων, οὐ συμφθασάντων τῇ ῥώμῃ[10] τῶν λεγομένων, ἃ καὶ ἀπαιδεύτων γενομένων καὶ ἀπείρων γραμματικῶν. ἅμα γὰρ τῇ ἐπιπνοίᾳ ἐπέπαυτο ἐν αὐτῇ ἡ τῶν λεχθέντων μνήμη· καὶ διὰ τοῦτο εὑρίσκονται στίχοι ἀτελεῖς, καὶ διάνοια σκάζουσα· εἴτε κατ' οἰκονομίαν Θεοῦ τοῦτο γέγονεν, ὡς μὴ γινώσκοιντο ὑπὸ
10 τῶν πολλῶν καὶ ἀναξίων οἱ χρησμοὶ αὐτῆς.

Δευτέρα Σίβυλλα, ἡ Λίβυσσα.

Τρίτη Σίβυλλα, ἡ Δελφὶς, ἡ ἐν Δελφοῖς[11] τεχθεῖσα· γέγονε δὲ αὕτη πρὸ τῶν Τρωϊκῶν, καὶ ἔγραψε χρησμοὺς δι' ἐπῶν ἐν τοῖς χρόνοις τῶν Κριτῶν, ὁπηνίκα Δεβώρα προφῆτις ἦν παρὰ Ἰουδαίοις.
15 Τετάρτη Ἰταλικὴ, ἡ ἐν Κιμμερίᾳ τῆς Ἰταλίας.

Πέμπτη Ἐρυθραία ἀπὸ πόλεως Ἐρυθρᾶς καλουμένης ἐν Ἰωνίᾳ, ἡ περὶ τοῦ Τρωϊκοῦ προειρηκυῖα πολέμου.

Ἕκτη, Σαμία, ἧς τὸ κύριον ὄνομα Φυτὼ, περὶ ἧς ἔγραψεν Ἐρατοσθένης, καὶ αὕτη ἐν τοῖς χρόνοις τῶν παρὰ Ἰουδαίοις Κρι-
20 τῶν ἦν.

Ἑβδόμη, Κυμαία ἡ καὶ Ἀμαλθεία ἢ Ἱεροφύλη· ἡ δὲ Κύμη πόλις ἐστὶν Ἰταλικὴ, ἧς πλησίον ἄντρον ἐστὶ συνηρεφὲς[12] καὶ γλαφυρώτατον, ἐν ᾧ διαιτωμένη ἡ Σίβυλλα αὕτη τοὺς χρησμοὺς ἐδίδου τοῖς πυνθανομένοις.
25 Ὀγδόη, ἡ Γεργιτία· πολίχνη δὲ περὶ τὸν Ἑλλήσποντον τὸ Γεργίτιον.

Ἐννάτη, Φρυγία.

Δεκάτη, ἡ Τιγούρτη ὀνόματι Ἀβουναία.

Ὅτι ἡ Ἰουδαία Σίβυλλα καὶ Χάλδις ἐκαλεῖτο. καὶ γὰρ ὁ Φίλων
30 τὸν Μωσέως βίον ἀναγράφων, Χαλδαῖον εἶναι αὐτὸν λέγει, γεγενῆσθαι δὲ ἐν Αἰγύπτῳ, ὡς τῶν προγόνων αὐτοῦ ἐκεῖσε κατελθόντων διὰ λιμὸν κατασχόντα Βαβυλῶνα τὲ καὶ τὰς πλησιοχώρους. καὶ ὡς ἔοικεν ἀπ' ἀρχῆς οἱ Χαναναῖοι οὕτως ἐκαλοῦντο· ἢ διὰ τὸ τὸν

10 ῥώμῃ Suid. 11 δελφὶς Cod. 12 συνηνεφὲς Cod.

Digitized by Google

Ἀβραὰμ ἐκεῖθεν ὡρμῆσθαι. λέγει, δὲ ὁ αὐτὸς Φίλων καὶ περὶ τῶν συγγραμμάτων τοῦ Μωσέως, ὅτι ὑπ' αὐτοῦ μὲν τῇ Χαλδαϊκῇ γλώττῃ ἐγράφη, ὕστερον δὲ ὑπὸ Πτολεμαίου εἰς τὴν Ἑλλάδα μετεφράσθη, ὃς τρίτος ἦν τῶν ἀπ' Ἀλεξάνδρου τὴν Αἴγυπτον παραλαβόντων, Φιλάδελφος ἐπικεκλημένος· ταύτης δὲ τῆς Ἑβραίας 5 Σιβύλλης βίβλον ἐνέτυχον ἐν Κύπρῳ, ἐν ᾗ πολλὰ καὶ τῶν[12] προφητεύσασα διαλαμβάνει· καὶ μέντοι καὶ περὶ Ὁμήρου, ὅτι ἀναστήσει ὁ θεὸς ἄνθρωπον τινὰ σοφὸν, ὃς τὸν τῶν ἡρώων πόλεμον ἀναγράψεται, καὶ τοὺς γενναιοτάτους τούτων ὑμνήσει, προλέγει δὲ καὶ περὶ Χριστοῦ, καὶ τῶν μετὰ τὴν Χριστοῦ παρουσίαν γεγενη- 10 μένων· καὶ μέντοι καὶ περὶ τῶν γενησομένων ἕως τῆς συντελείας, ἐν οἷς καὶ περὶ Κύπρου, καὶ Ἀντιοχείας, παλίμφημα τινὰ προφητεύει, τῆς μὲν ὡς πολέμῳ πεσουμένης, καὶ μηκέτ' ἀναστησομένης, τῆς δὲ νήσου ὑποβρυχίου γενησομένης· φησὶ γὰρ

Τλῆμον Ἀντιόχεια σὲ δὲ πτόλιν οὔποτ' ἐροῦσιν, 15
εὖτε κακοφροσύνησι τεαῖς περὶ δούρασι πίπτεις

καὶ ἑξῆς

Αἶ αἶ Κύπρε τάλαινα, σὲ δὲ μέγα κῦμα καλύψει
ἤμασι χειμερίῃσιν ὀρινομένη τε θάλασσα·

προέλαβε δὲ τὴν τοῦ Χριστοῦ παρουσίαν αὕτη ἡ Σίβυλλα ἔτη 20 δισχίλια, ἧς ἐστι καὶ τοῦτο τὸ ἔπος, τὸν τίμιον σταυρὸν προμηνύον·

ὦ ξύλον ὦ μακαριστὸν, ὑφ' οὗ θεὸς ἐξετανύσθη.

Ὅτι τέταρτος ἀπὸ Ῥώμου τοῦ οἰκιστοῦ βασιλεὺς ἐν Ῥώμῃ γέγονε Ταρκύνιος Πρίσκος· γυνὴ δέ τις Ἀμαλθεία ἦλθε πρὸς 25 αὐτὸν ἐπιφερομένη τρεῖς βίβλους, χρησμοὺς Σιβύλλης τῆς Κυμαίας, καὶ ἐζήτει αὐτῷ δοῦναι εἰς τριάκοντα χρυσοῦς· τοῦ δὲ καταφρονήσαντος, ἀγανακτήσασα ἡ γυνὴ, ἔκαυσε τὸ ἓν τῶν βιβλίων, καὶ αὖθις προσελθοῦσα ἠξίου ὑπὲρ τῶν λειπομένων δύο, τοῦ τριάκοντα λαβεῖν χρυσίους· τοῦ δὲ ἔτι μᾶλλον αὐτὴν ὑπεριδόντος, 30 καὶ τὸ ἕτερον ἔκαυσε· λοιπὸν οὖν ὑπὲρ τοῦ ἑτέρου ἑνὸς τὴν αὐτὴν ἐπεζήτει τιμήν. στοχασάμενος οὖν ὁ βασιλεὺς ἀναγκαῖον αὐτὸ εἶναι τῇ βασιλείᾳ, λαμβάνει δοὺς τοὺς τριάκοντα χρυσίους, καὶ εὑρὼν ἐν αὐτῷ τὰς Ῥωμαίων τύχας κατ' ἐξαίρετον καὶ μόνας

[12] Est vacuum spatium in Cod.

Digitized by Google

ἐγγεγραμμένας, ἑξήκοντα πατρικίων συστήματα τὴν τούτων παρέδωκε φυλακήν.

[13]Τίς ἡ οὐσία τῶν ἀστέρων.

Πάντων τῶν ἀστέρων τῶν τε ἀπλανῶν καὶ πλανήτων, κατὰ μὲν Πλάτωνα, μία οὐσία· ἡ διαυγεστέρα[14] τῶν στοιχείων μερὶς, καὶ
5 τὸ οἷον ἐξάφρισμα τούτων· κατὰ δὲ Ἀριστοτέλην, ἡ ἐπίνοια τοῦ πέμπτου σώματος· οὐ γὰρ ἐξονομάζει τὴν οὐσίαν αὐτῶν, ἀλλὰ τὸν πάντα οὐρανὸν, καὶ τοὺς ἀστέρας σύμπαντας, διὰ τὴν διάφορον κίνησιν πρὸς τὰ τέσσαρα στοιχεῖα, πέμπτον ὀνομάζει. τῶν δὲ συμπάντων ἀστέρων ἑπτὰ μόνον εἰσὶν οἱ πλάνητες· κυρίως δὲ πέν-
10 τε[15]· ὁ γὰρ ἥλιος καὶ ἡ σελήνη οὐ πεπλάνηται· ἀλλ' οἱ πέντε[16], διὰ τὸ δοκεῖν ἵστασθαι καὶ ὑποποδίζειν, πλάνητες ὠνομάσθησαν.

Περὶ τῆς ἀστέρων φορᾶς καὶ κινήσεως.

Οἱ μὲν ἀπλανεῖς ἀστέρες ἅπαντες ἐστηριγμένοι ὄντες, ὡς Ἀριστοτέλης φησὶ, καὶ τῷ οὐρανῷ ἀμεταθέτως συγκινούμενοι, ἐπειδή-
15 περ οὗτος ἐξ ἀνατολῶν εἰς δυσμὰς φέρεται, τὴν αὐτὴν καὶ οὗτοι τῷ οὐρανῷ κινοῦνται κίνησιν· οἱ δὲ πλάνητες, διὰ τὴν ἀντίθετον ἀντέρεισιν καὶ ἰσόσταθμον ὑπὸ σοφῆ προνοίᾳ, ἵνα μὴ[17] σύρρηξις ὑπὸ τῶν αὐτῶν καταδρόμων καὶ κυλισμάτων γένηται· κατὰ τὴν ἰδίαν καὶ φυσικὴν κίνησιν, ἐκ δύσεως εἰς ἀνατολὴν φέρονται· κινοῦν-
20 ται δὲ καὶ ἐξ ἀνατολῆς εἰς δύσιν, ἀλλὰ τῷ οὐρανῷ συμπεριφερόμενοι· ὅθεν ὁ ἥλιος κατὰ μὲν τὴν ἰδίαν κίνησιν, τὰς τέσσαρας ὥρας πληροῖ τοῦ ἐνιαυτοῦ· νῦν μὲν βόρειος, νῦν δὲ νότιος κινούμενος· καθὸ δὲ συγκινεῖται τῷ οὐρανῷ, ἐξ ἀνατολῆς εἰς δύσιν, ἡμέρας καὶ νύκτας ποιεῖ.

25 Ποταπὰ τῶν ἀστέρων τὰ σχήματα.

Πολλῶν ὄντων σχημάτων, τριγωνικῶν, τετραγωνικῶν, κυβικῶν, πυραμοειδῶν, καὶ τῶν λοιπῶν εὐθυγραμμικῶν, μέτεστι τὸ σφαιροειδές[18]· ὁ τοίνυν οὐρανὸς, καὶ ἅπαντες οἱ ἀστέρες, τοῦ σφαιρικοῦ σχήματος ὄντα τυγχάνουσι· καὶ δῆλον ἀπὸ τῶν τῆς σελήνης φω-
30 τισμῶν· διὰ γὰρ τὸ κύρτωμα ταύτης, οὐκ εὐθὺς ὅλη παρὰ τοῦ

[13] Quæ sequuntur in eodem Codice physicæ quæstiones sunt Pselli Διδασκαλ. Παντοδαπ. c. 97. Fabric. [14] δὲ αὐγεστέρα Cod. [15] πάντες Cod. [16] πάντες Cod. [17] μὲν Cod. [18] σφαιροειδινὲς Cod.

Digitized by Google

ἡλίου φωτίζεται, ἀλλὰ κατὰ βραχὺ τὴν αὔξησιν δέχεται τοῦ φωτός· ἔδει γὰρ τὸ αἰθέριον σῶμα τῷ καλλίστῳ τῶν σχημάτων ἀποτορνεύεσθαι· νοῦν γὰρ τὸ σχῆμα μεμίμηται. ὥσπερ γὰρ ὁ νοῦς ἐπιστρέφει πρὸς ἑαυτὸν, οὕτω δὲ καὶ τὸ αἰθέριον σῶμα συννεύει πρὸς ἑαυτὸν ὑπὸ νοῦ κυβερνώμενον, ἢ πρὸς νοῦν ἐπιστρέφει. 5

Περὶ τάξεως ἀστέρων.

Εἰς δύο μέρη τῶν ἀστέρων διαιρουμένων, εἰς τὸ ἀπλανὲς καὶ τὸ πλανώμενον, οἱ μὲν ἀπλανεῖς τὴν ὑψηλοτέραν τάξιν ἐπέχουσι τῶν πλανήτων· οὐκ ἐν τῇ αὐτῇ ἐπιφανείᾳ τοῦ αἰθερίου σώματος κείμενοι καὶ φερόμενοι, ἀλλ' οἱ μὲν ὑψηλότερα αὐτῶν εἰσὶν, οἱ δὲ 10 ταπεινότεροι. οἱ δὲ ἑπτὰ πλανῆται, μετὰ τοὺς ἀπλανεῖς τετάχαται· ὧν πρῶτος ἐστὶν, ὁ τοῦ Κρόνου λεγόμενος ἀστὴρ, καὶ μετὰ τοῦτον, ὁ τοῦ Διός· καὶ ὑπ' αὐτὸν, ὁ τοῦ Ἄρεος· εἶτα Ἥλιος· μεθ' ὃν Ἀφροδίτης· καὶ μετὰ ταύτην, Ἑρμῆς, καὶ τελευταῖον ἡ Σελήνη· μεθ' ἣν τὰ τέσσαρα στοιχεῖα, ὥσπερ εἰρήκαμεν· ὡρισμένοι δὲ τούτοις 15 εἰσὶ καὶ οἱ χρόνοι τῶν κινήσεων, θαυμασίαν τὴν συμφωνίαν ἔχοντες.

Πόθεν φωτίζονται οἱ ἀστέρες.

Οὔτε τῶν ἀπλανῶν ἀστέρων οὐδεὶς, οὔτε πάντες οἱ πλάνητες· ἀλλ' ἡ σελήνη μόνη παρὰ τοῦ ἡλίου φωτίζεται· διὰ τοῦτο καὶ τὸ πεφωτισμένον αὐτῆς μέρος ἀεὶ πρὸς τὸν ἥλιον νένευκεν· οὐκ ἔστι 20 δὲ ὅτε ἀφώτιστος παντάπασιν ἐστὶν ἡ σελήνη· ἀλλ' ἀεὶ ἐνδέδυται φῶς ἡμισέληνον. ἐν μὲν οὖν ταῖς συνόδοις, ἀφώτιστον μέν ἐστι τὸ πρὸς ἡμᾶς αὐτῆς κύρτωμα· πεφωτισμένον δὲ τὸ ἄνω φαλάκρωμα· ἐν δὲ ταῖς πανσελήνοις, τὸ μὲν νεῦον πρὸς ἡμᾶς ἡμισφαίριον αὐτῆς, ὁλοφαές ἐστι· τὸ δ' ἄνω ἡμίτομον, φωτὸς ἄμοιρον· μεταξὺ δὲ τῆς 25 συνόδου καὶ τῆς πανσελήνου κατὰ τὸ μέτρον τῆς πρὸς τὸν ἥλιον διαστάσεως, μηνοειδὴς γίνεται, καὶ διχότομος, καὶ ἀμφίκυρτος· ἢ γὰρ ἔλαττον τοῦ ἡμίσεος φωτίζεται, ἢ καὶ κατὰ τὸ ἥμισυ, ἢ κατὰ τὸ πλέον.

Περὶ ἐκλείψεως ἡλίου. 30

Οὐ κυρίως ἔκλειψις ἐπὶ τοῦ ἡλίου λέγεται· οὐ γὰρ ἐκλείπει ποτὲ τὸ ἡλιακὸν φῶς, ἀλλ' ἐπισκότισις. ἐπισκοτεῖται δὲ, ὅταν ἐν

Digitized by Google

τοῖ, ἐκλειπτικοῖς συνδέσμοις κατὰ κάθετον αὐτῷ ἡ σελήνη γένηται· ὑπὸ ταύτης γὰρ οἰκοῦντες ἡμεῖς, ἐπισκιάζει τοῖς ὄμμασιν ἡμῶν τὸ ἡλιακὸν φῶς· πλὴν δώδεκα δακτύλοις τὸ σῶμα τῆς σελήνης διαμεροῦνται οἱ ἀστρονόμοι· ἔστι μὲν ὅτε τῷ ὅλῳ τῆς σελήνης σώματι τὰς ἡλιακὰς αὐγὰς ἀντιφράττουσι· ἔστι δ' ὅτε ἐλάττοσι τούτων. ὅταν μὲν γὰρ τὴν ὑψηλοτέραν ἀσπίδα[1] ἡ σελήνη φέρηται, καὶ τὴν ἐγγίζουσαν τῷ ἡλίῳ, ὀλίγῳ μέρει δοκεῖ τοῦτον ἐπισκιάζειν· ὅταν δὲ κατώτερον δίεισι, ἐπειδὴ εὐμεγέθης τηνικαῦτα τοῖς ὄμμασιν ἡμῶν ἐμπίπτει, ὅλον ἀντιφράττει τὸν ἥλιον.

Περὶ ἐκλείψεως σελήνης.

Ἐκλείπει ἡ σελήνη, εἰς τὸ τῆς γῆς ἐμπίπτουσα σκίασμα. φωτιζομένη γὰρ ὑπὸ τοῦ ἡλίου ἡ γῆ, σκιὰν ποιεῖ· ἀλλ' οὐ κυλινδρικὴν, οἷον τὸ τοῦ κίονος ἐστὶ σχῆμα, ἀλλὰ κωνοειδῆ· κῶνος δὲ ὁ στρόβιλος λέγεται, ὅστις ἀπὸ πλατείας βάσεως εἰς ὀξὺ ἀπολήγει· τοιαύτη δὲ καὶ ἡ τῆς γῆς ἐστὶ σκιά· διότι ὅτάν τι σῶμα ὑπὸ μεγέθους φωτίζηται σώματος, κυλινδρικὴ γίνεται ἡ σκιά· ὅταν δὲ ὑπὸ μείζονος, κωνοειδής. μείζων οὖν ὁ ἥλιος τῆς γῆς ὢν, καὶ φωτίζων αὐτὴν, κωνικὴν ποιεῖ τὴν σκιάν. ὅταν οὖν εἰς τὸ τῆς γῆς σκίασμα ἡ σελήνη ἐμπέσῃ, ἀμαυρὰ ἡμῖν φαίνεται, καὶ οἷον ἐκλείπουσα. καὶ ὅταν μὲν εἰς τὴν ῥίζαν ἐμπέσῃ τῆς σκιᾶς, τελείως ἐκλείπει· ὅταν δὲ εἰς τὴν κορυφὴν, ἀμυδρότερον· διότι τῆς κωνοειδοῦς σκιᾶς, ἡ μὲν βάσις πλατύτερα, ἡ δὲ κορυφὴ βραχύτερα.

Εἰ θερμὸς ἐστὶν ὁ ἥλιος.

Πλάτων μὲν ἅπαν τὸ αἰθέριον σῶμα ἐκ πυρὸς καὶ γῆς καὶ τῶν ἑτέρων δύο στοιχέων κατασκευάζων, εἰκότως ἂν εἴποι θερμὸν τὸν ἥλιον. Ἀριστοτέλης δὲ ἕτερον παρὰ τὰ στοιχεῖα τὸ τοιοῦτον σῶμα τιθεὶς, οὔτε θερμὸν λέγει τὸν ἥλιον, οὔτ' ἄλλην ποιότητα ἔχοντα. εἴποι δ' ἂν ἐρωτώμενος, πῶς μὲν θερμὸς ὢν, θερμαίνει; ὅτι κινούμενος τὸ ὑπέκκαυμα ποιεῖ καὶ τὸν περίγειον ἄερα· κἀντεῦθεν θερμότητος τοῖς ὑποκειμένοις καθίσταται αἴτιος· τοῦ δὲ ὑπεκκαύματος καὶ τὴν φύσιν καὶ τὸ ὄνομα, αὐτὸς πρῶτον καὶ ἐφεῦρε καὶ ὠνόμασεν. ὑπέκκαυμα οὖν λέγει, τὴν ἀναπεμπομένην ἀπὸ τῆς γῆς

[1] Leg. ἀψίδα.

Digitized by Google

ἀναθυμίασιν θερμὴν καὶ ξηρὰν, καὶ οἷον καπνώδη. αὕτη οὖν ἡ καπνώδης ἀναθυμίασις μέχρι τῆς σελήνης ἀναγομένη[1] διὰ κουφότητας· εἶτα κινουμένη κατὰ μέρη, ἐξάπτει καὶ ὡς πῦρ φαίνεται, καὶ θερμαίνει τὴν ὑποκειμένην οὐσίαν. ὅτι δὲ ἡ κίνησις θερμότητα ποιεῖ, δηλοῦσιν αἱ ἀκίδες τῶν βελῶν· τῇ γὰρ κινήσει λύουσι τὸν ἐπικείμενον αὐταῖς μόλιβδον.

Περὶ οὐσίας ἡλίου καὶ εἰ πολλοὶ εἰσὶν ἥλιοι.

Τὴν μὲν οὐσίαν τοῦ ἡλίου εἰρήκαμεν φθάσαντες, ὅτι κατὰ τὸν μὲν Ἀριστοτέλην πέμπτον σῶμα καὶ ἑτεροφυὲς πρὸς τὰ στοιχεῖα· κατὰ δὲ Πλάτωνα, τοῦ τετραστοίχου τὸ διαυγέστατον. περὶ δὲ ἀριθμοῦ ἡλίων τοσοῦτον φημί· ὅτι ὁ μὲν ὁρώμενος ἥλιος, εἷς ἐστι· καὶ οὔτε δύο, οὔτε πλείους· ὑπὸ δὲ περιττῆς σοφίας τῶν Ἑλλήνων, ἔνιοι δύο καὶ τρεῖς τίθενται· ἕνα μὲν, τὸν ἐν τῷ δημιουργικῷ νῷ· καὶ ἕτερον τὸν παραδειγματικὸν, καὶ τρίτον τοῦτον δὴ τὸν ὁρώμενον. φασὶ γὰρ ὅτι βουλόμενος παραγαγεῖν ὁ θεὸς ἥλιον, ἀνετυπώσατο τοῦτον καὶ ἐνενόησε, καὶ ἔστιν οὗτος εἷς παρὰ τῷ δημιουργῷ ἥλιος· εἶτα ἐποίησε νοητὸν ἥλιον, καὶ ἔστηκεν εἰς παράδειγμα· καὶ τρίτον, κατὰ τὸ ἀρχέτυπον εἶδος, τὸν αἰσθητὸν ἐξεικόνισεν.

Περὶ μεγέθους ἡλίου, σελήνης, καὶ γῆς.

Ὁ ἥλιος πρὸς τὴν γῆν, κατὰ τὸν ἀστρονομικώτατον Ἀρίσταρχον, μείζονα λόγον ἔχει, οἷον τὰ ἑξακισχίλια, πρὸς ὀκτακόσια πεντηκονταέννεα· ἡ δὲ διάμετρος αὐτοῦ πρὸς τὴν τῆς γῆς διάμετρον μείζονα λόγον ἔχει, οἷον τὰ δεκαεννέα πρὸς τρία· καὶ αὖθις, ἡ τοῦ ἡλίου διάμετρος τῆς διαμέτρου τῆς σελήνης μείζων ἐστὶν, ἢ ὀκτὼ καὶ δεκὰ πλάσιον. καὶ πάλιν ἥλιος πρὸς τὴν σελήνην μείζονα λόγον ἔχει, οἷον τὰ πεντακισχίλια ὀκτακόσια τριακονταδύο, πρὸς ἕν· ταῦτα δὲ οὐχ ἁπλῶς οὕτως καὶ ἀποδείκτως παρὰ τοῖς ἀστρολόγοις προτείνεται, ἀλλὰ μετὰ γεωμετρικῶν καὶ ἀναντιρρήτων ἀποδείξεων· περὶ ὧν οὐ καιρὸν νῦν λέγειν· ἀλλὰ σὺ, θειότατε βασιλεῦ, τὰ προβλήματα ἀναποδείκτως τέως δεξάμενος, τὰς ἀποδείξεις ὕστερον ἐπιζήτει μοι.

[1] ἀναγομένην Cod.

Digitized by Google

Εἰς πόσοτς κύκλοτς διαιρεῖται ὁ οὐρανός.

Τὸν οὐρανὸν εἰς πολλοὺς κύκλους οἱ φιλόσοφοι διῃρήκασιν· ὧν πρῶτος ἐστὶν ὁ ἰσημερινὸς, ὁ μέσον αὐτὸν τάμνων καὶ διαιρῶν τὰ βόρεια καὶ τὰ νότια. ἐφεξῆς δὲ τούτου κατ' ἄμφω τὰ μέρη, κατὰ μὲν τὸν δεξίον, τὸν θερινὸν κύκλον καὶ τὸν ἀρκτικὸν τιθέασιν· κατὰ δὲ τὸν ἀριστερὸν, τὸν νότιον καὶ τὸν ἀρκτικόν. ἕτερον αὖθις κύκλον πλάττουσι τὸν μεσημβρινὸν, ἀπὸ ἀνατολῆς εἰς δύσιν κείμενον, καὶ τέμνοντα μὲν τοὺς εἰρημένους πάντα κύκλους ἐπίσης, διαιροῦντα δὲ τὸ ἑῶον μέρος καὶ τὸ ἑσπέριον. ἕκτον προσονομάζουσι, τὸν ὁρίζοντα τὰ δύο ἡμισφαίρια καὶ διαστέλλοντα. ἕβδομον τὸν ζωδιακὸν, ἀρχόμενον ἀπὸ τοῦ θερινοῦ, καὶ τέμνοντα τὸν ἰσημερινὸν, καὶ λήγοντα εἰς τὸν νότιον.

Περὶ τύχης καὶ αὐτομάτου.

Τὴν τύχην, οὐχ ὡς νομίζουσι τινὲς, οἱ ἀκριβέστεροι τῶν φιλοσόφων ἐδέξαντο· οἷον ἄλογόν τινα φύσιν, καὶ μὴ ἔχουσαν τάξιν μηδὲ εἱρμὸν, ἀλλὰ παρακολούθημα ταύτην ἀόριστον ἐν τοῖς κατὰ προαίρεσιν καὶ ἕνεκα τινὸς γενομένην ὡρίσαντο· οἷον, προελήλυθέ τις ἐκ τῆς οἰκίας λουσόμενος, αὕτη ἡ πρόοδος ἐκ προαιρέσεως, καὶ ἕνεκα τινὸς πράγματος, τουτέστι τοῦ λούσασθαι· εἶτα προερχόμενος ἔτυχε θησαυρῷ· τὴν οὖν αἰτίαν τῆς εὑρέσεως τοῦ θησαυροῦ τύχην ὠνόμασαν οἱ σοφοί. τὸ μέντοι γε αὐτόματον, καὶ ἐν τοῖς λογικοῖς καὶ ἐν τοῖς ἀλόγοις τιθέασιν· ἐν μὲν τοῖς λογικοῖς, ὅταν μαχαιρίδιον ἀπό τινος κρατοῦντος ἐκπεπτωκὸς, κατ' ὀρθὸν ἐμπαγείη τῇ γῇ· ἐν δὲ τοῖς ἀλόγοις, ὅταν τις ἵππος τὸν δεσπότην ἀποβαλὼν, ἀπὸ ταυτομάτου διασωθείη.

Περὶ αἰῶνος καὶ χρόνου.

Τῶν ὄντων τὰ μὲν καὶ τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν ἔχει αἰώνιον, οἷον ὁ νοῦς· τούτου γὰρ καὶ ἡ οὐσία ἀκίνητος, καὶ ἡ ἐνέργεια ἀμετάβατος· ὁμοῦ γὰρ ἔχει ἐν ἑαυτῷ πάντα. τὸ δὲ σῶμα καὶ τὴν οὐσίαν, ἔγχρονόν ἐστι, καὶ τὴν ἐνέργειαν· οἷον καὶ τὸ ἡμέτερον σῶμα, καὶ τὴν οὐσίαν ἔγχρονον ἔχει, κατὰ μικρὸν γὰρ αὐξάνεται, καὶ τὴν ἐνέργειαν· οὐ γὰρ ὁμοῦ ἐνεργεῖ πάντα. ἡ γὰρ ψυχὴ, κατὰ μὲν τὴν οὐσίαν, αἰώνιος ἐστίν· οὐδὲ γὰρ κατὰ μικρὸν

Digitized by Google

αὐξηθεῖσα γέγονε ψυχή· ἀλλ' ἐξ ἀρχῆς τελεία γεγένηται· κατὰ δὲ τὴν ἐνέργειαν χρόνου μετέχει, οὐ γὰρ ὁμοῦ πάντα ἔχει τὰ νοήματα ἐν ἑαυτῇ, ἀλλ' ἀφ' ἑτέρου μεταβαίνει εἰς ἕτερον. καὶ ὁ οὐρανὸς δὲ τοιοῦτος ἐστὶν· αἰώνιος μὲν κατὰ τὴν οὐσίαν, κατὰ δὲ τὴν κίνησιν ὑπὸ χρόνον καὶ αὐτὸς κείμενος. 5

Περὶ τῶν πέντε αἰσθήσεων.

Ἡ ὅρασις γίνεται ὅταν τὸ ἀπὸ τῶν ὀφθαλμῶν φῶς ἐκφερόμενον συναντήσῃ τῷ ἀπὸ τῶν σωμάτων συρρέοντι, ὅπερ ὁ Πλάτων ὀνομάζει συναύγειαν. ἀκούομεν δὲ τῷ κενῷ τῷ ἐντὸς τοῦ ὠτὸς, τοῦτο γὰρ εἶναι τὸ διηχοῦν κατὰ τὴν τοῦ πνεύματος ἐμβολήν. ὀσφραι- 10 νόμεθα δὲ τῷ ἡγεμονικῷ τῷ ὄντι ἐν τῷ ἐγκεφάλῳ, ἕλκοντι δὲ διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς. γευόμεθα δὲ τῇ ἀραιότητι τῆς γλώσσης καὶ τῇ μαλακότητι, καὶ διὰ τὸ συνάπτειν τὰς ἀπὸ τοῦ σώματος εἰς αὐτὴν φλέβας τὴν φύσιν. ἡ δὲ ἁφὴ[1] πνεῦμα ἐστὶ διὰ τοῦ στόματος ἀπὸ διανοίας ἠγμένον· ἁπτόμεθα δὲ ὅλῳ τῷ σώματι, 15 διότι ἀποπερατώσεις εἰσὶν ἐν τῇ ἐπιφανείᾳ τοῦ σώματος μορίων αἰσθητικῶν, δι' ὧν αἰσθανόμεθα ὧν ἁπτόμεθα.

Πῶς αἱ σταλήψεις γίνονται.

Ἡ σύλληψις τῶν ζώων γίνεται καὶ μάλιστα τῶν ἀνθρώπων, ὅταν ἐπιτήδειος καὶ ξηροτέρα συμμέτρως ἡ μήτρα γένηται, πρὸς 20 τὴν παραδοχὴν τοῦ σπέρματος τῶν καταμηνίων συνεπισπωμένων ἀπὸ παντὸς ὄγκου μέρους τι τοῦ καθαροῦ αἵματος· συμβάλλεται δὲ καὶ τὸ θῆλυ πρὸς τὴν κίνησιν, ἐξυγραινομένην τὴν μήτραν ἐν ταῖς μίξεσιν. ἡ δὲ ὑγρασία αὕτη, σπέρματος μὲν οὐκ ἔχει λόγον, οἷον ὕλη γίνεται τῇ καταβολῇ τῆς ἀνδρώας γονῆς· καὶ τὸ μὲν 25 τοῦ ἄρρενος σπέρμα εἰς τὰ στερρεώτερα μέρη τοῦ σώματος ἐξαρκεῖ, οἷον ὀστᾶ καὶ νεῦρα καὶ φλέβας καὶ ἀρτηρίας καὶ τὰ τοιαῦτα. τὸ δὲ τοῦ θήλεος εἰς τὰ ὑγρότερα μέρη τοῦ σώματος, αἷμα φημὶ καὶ ἀμφοτέρας τὰς χολὰς, ἢ μᾶλλον πάντα ἐξ ἀμφοτέρων· ἀλλὰ τὰ μὲν τοῦ ἄρρενος πλέον ἔχει, τὰ δὲ τοῦ θήλεος ἐπ' 30 ἔλαττον[2].

[1] φωνὴ Fabr. [2] ἐπ' ἐλ. quod om. Cod. suppl. e Fabr.

Digitized by Google

[3] Πῶς ἄρρενα καὶ θήλεα γίνεται.

Ὥσπερ τῶν ὄρχεων ὁ μέν ἐστι δεξιὸς, ὁ δὲ ἀριστερός· καὶ ὁ μὲν δεξιὸς, μᾶλλόν ἐστι θερμότερος, ὁ δὲ ἀριστερὸς ἧττον· οὕτω καὶ ἡ μήτρα δύο ἔχει κόλπους ὑποδοχέας τοῦ ἀρρενικοῦ σπέρμα-
5 τος, τὸν μὲν δεξιὸν, τὸν δὲ ἀριστερόν· ἐπεὶ οὖν θερμότερόν ἐστι τὸ ἄρρεν τοῦ θήλεος· τὸ μὲν ἐμπεσὸν σπέρμα εἰς τὸν δεξιὸν κόλπον, ἄρρεν γίνεται διὰ τὴν θερμότητα· τὸ δὲ εἰς τὸν ἀριστερὸν, θῆλυ διὰ τὴν ψυχρότητα. ὅταν δὲ τὸ ἐμπεσὸν σπέρμα εἰς τὸν δεξιὸν κόλπον θῆλυ γένηται, ἀρρενοπώτερον γίνεται, καὶ τρίχας ἐν
10 τῷ πώγωνι φύει. ἡνίκα δὲ τὸ ἐμπεσὸν σπέρμα εἰς τὸν ἀριστερὸν ἄρρεν ἀποκαταστῇ, θηλυπρεπέστερον ἐστὶ καὶ τοῦ δεόντος μαλακώτερον. εὕρηνται δὲ τοιαῦται μεταβολαὶ ἀνδρῶν τε καὶ γυναικῶν.

[4] Διατί γυνὴ πολλάκις συνοτσιάζοτσα οὐ συλλαμβάνει.

Διὰ πολλὰς αἰτίας οὐ συλλαμβάνει γυνὴ συνουσιάζουσα, ὅταν
15 ἢ θερμοτέρα ᾖ τοῦ δέοντος, ἢ ψυχροτέρα, ἢ ξηροτέρα, ἢ ὑγροτέρα· ἢ ὅταν παραλελυμένα ἔχῃ τὰ μόρια, ἢ ὅταν τύλους ἔχῃ καὶ σαρκώσεις· ἢ ὅταν ἀραιοτέρα ᾖ τοῦ κατὰ φύσιν καὶ μικροτέρα, καὶ παρὰ τὴν τοιάνδε κράσιν τοῦ ἀρρενικοῦ σπέρματος, οὐ δύναται συλλαβεῖν, καὶ παρὰ τὴν τοῦ ἀρρενικοῦ αἰδοίου ἀμετρίαν, οἷον ἢ
20 λόξωσιν, μὴ δυναμένου τὸν γόνον εὐθυβολεῖν, ἢ ἀπόστασιν ἢ παρέγκλησιν· καὶ δι' ἀρρωστίαν δὲ ἐπὶ σύμβασιν καὶ διάθεσιν τινὰ οὖσαν ἀπὸ γενέσεως· καὶ ἄλλ' ἄττα εἰσὶν αἴτια τοῦ μὴ κύειν τὰς μιγνυμένας ἄρρεσι τῶν γυναικῶν· καὶ διὰ τέχνην δὲ πολλάκις τὸ ἀσύλληπτον γίνεται, ὅταν ἐξεπίτηδες, ἢ ὁ ἀνὴρ ἢ ἡ γυνὴ, περὶ τὴν
25 φύσιν τοῦ σπέρματος πανουργεύωνται· ἔστι γάρ τι καὶ τοιοῦτον εἶδος ἐν τοῖς αἰτίοις.

[5] Διατί δίδυμα καὶ τρίδυμα γίνεται.

Καὶ τοῦ δίδυμα καὶ τρίδυμα γίνεσθαι πολλὰς ἄν τις αἰτίας διαριθμήσηται· τὴν σχέσιν τοῦ σπέρματος, τὴν γονιμότητα τῆς

[3] Deest hoc caput in Fabr. sed exstat in Allat. Cod. revera ergo, contra quam credidit Fabricius, opusculum Pselli minus integrum edidit. Vid. ej. not. ad calc. Op. p. 184.
[4] Deest in Fabr. [5] Deest in Fabr.

Digitized by Google

γονῆς, τοὺς ἐν τῇ μήτρᾳ κόλπους· διάφοροι γὰρ κοιλότητες τὴν μήτραν περιειλήφασιν. ὅταν γοῦν ἐν τοῖς κόλποις τούτων τὸ σπέρμα διασχισθῇ, δίδυμα καὶ τρίδυμα γίνεται· καὶ τὸ πλῆθος δὲ τοῦ ἀπορρέοντος σπέρματος αἴτιον πολλάκις τοῦ πλήθους τῶν ἐγκυμονούντων καθίσταται. ἡ μέντοι γε μήτρα πολλοὺς μὲν ἔχει κόλπους, δύο δὲ ἀξιολόγους κοιλότητας, ὑμένι μέσῳ διειργομένας· ἐν αἷς ὅταν ἐμπέσῃ τὸ σπέρμα, δίδυμα καρπογονεῖ ἔμβρυα· ὁ μέντοι γε Ἐρασίστρατος, καὶ τὰς ἐπισυλλήψεις αἰτιᾶται, ὥσπερ ἐπὶ τῶν ἀλόγων ζώων· καὶ ἄλλας δ' ἂν εἴπῃ τις αἰτίας, ἢ αὐτὸς ἐφευρίσκων, ἢ τοῖς ἀρχαίοις ἑπόμενος.

Πόθεν γίνονται τῶν γονέων αἱ ὁμοιώσεις καὶ αἱ πρὸς τοῦτοις ἀνομοιότητες.

Τὸ ἀποκρινόμενον σπέρμα ἢ ἀπὸ τοῦ ἀνδρὸς ἢ ἀπὸ τῆς γυναικὸς· τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς λόγους ἔχει τῶν ἐν αὐτῷ ἠθῶν καὶ τρόπων καὶ τῆς μορφῆς, καὶ ἀπὸ μητρὸς δὲ ὡσαύτως. ὅταν οὖν ἄμφω τὰ σπέρματα συγκραθῇ, εἰ μὲν ἐπίσης, ἔχει τὸ γεννώμενον ἴσην καὶ πρὸς τὸ ἄρρεν καὶ παρὰ τὸ θῆλυ τὴν ὁμοιότητα· ὅταν δὲ τὸ ἄρρεν κατακρατήσῃ τοῦ θήλεος, πατρόμοια τὰ τικτόμενα ἀποτελεῖται· ὅταν δὲ τὸ θῆλυ τοῦ ἄρρενος, ἀπεικασμένα πρὸς τὴν μητέρα· ὅταν δὲ ἡ ἐν τῷ σπέρματι θερμασία ἐξατμισθῇ, οὐδενὶ τῶν τοκέων πλαττόμενον ὁμοιοῦται. πολλάκις δὲ καὶ τῆς γυναικὸς φαντασίαν ἐν τῷ τίκτειν λαβούσης τοῦδε, ἢ τῆσδε, πρὸς τὸ φαντασθὲν ἀπεικάζεται τὸ γεννώμενον.

[4] Εἰ καὶ τὸ ἔμβρυον ζῶον, καὶ πῶς τρέφεται τοῦτο.

Τρισὶν ἐνετύχομεν βίβλοις περὶ τούτου τοῦ ζητήματος, Ἱπποκράτους, Πορφυρίου καὶ Γαληνοῦ· ὧν ὁ μὲν Ἱπποκράτης καὶ Γαληνὸς, ζῶον αὐτό φασιν εἶναι ἐν τῇ γαστρὶ, καὶ κινεῖσθαι ἐν τῇ γαστρὶ ὑπὸ ψυχῆς, τὸ μὲν ἄλογον τῆς ἀλόγου, τὸ δὲ λογικὸν τῆς λογικῆς, τρέφεσθαί τε ἐν τῇ μήτρᾳ διὰ τοῦ στόματος· εἶναι γὰρ ἐν ταύτῃ θηλὰς τινὰς καὶ στόματα δι' ὧν τρέφεται. ὁ δέ γε Πορφύριος πολλοῖς λογισμοῖς καὶ ἀποδείξεσι διατείνεται, μὴ

[4] Deest Fabr.

Digitized by Google

εἶναι τὸ ἔμβρυον ζῶον μηδὲ ἐμψυχωμένον, ἀλλὰ δίκην φυτοῦ καταπεφυτεῦσθαι καὶ κινεῖσθαι, οὐχ ὑπὸ ψυχῆς, ἀλλ' ὑπὸ φύσεως· ὥσπερ δὴ καὶ τὰ δένδρα καὶ τὰ φυτὰ κινεῖσθαι εἴωθε, τρέφεσθαί τε οὐ διὰ τοῦ στόματος, ἀλλὰ διὰ τοῦ χορίου καὶ τοῦ ὀμφαλοῦ, 5 ὅθεν τοῦτον ἀποδεσμοῦσιν αἱ μαῖαι, ἵνα διὰ τοῦ στόματος τὸ γεννηθὲν τρέφηται.

Πῶς ὄνειροι γίνονται.

Πολλαὶ τῶν ὀνείρων εἰσὶν αἱ αἰτίαι· οἱ μὲν γὰρ αὐτῶν εἰσὶ θεόπνευστοι, ἄνωθεν διὰ μέσου τοῦ νοῦ τῇ λογικῇ ἡμῶν ψυχῇ 10 ἐγγινόμενοι· οἱ δὲ, οἷον ἀπηχήματά εἰσι τῶν ἡμερινῶν πράξεων· οἱ δὲ ἀπὸ τῆς φανταστικῆς ἐντυποῦνται δυνάμεως, φανταζούσης ἡμῖν τοὺς ἡμερινοὺς ἔρωτας ἢ ἄλλό τι πάθος ψυχῆς. ἕτεροι δὲ ἀπὸ τῶν τεσσάρων χυμῶν ἀνεγείρονται· ὅθεν καὶ τὰ χρώματα τῶν ὁρωμένων ὅμοια τοῖς τῶν χυμῶν ἔχουσιν· οἱ δὲ τὰς ἰδέας ἡμῖν 15 ἐμφαίνουσι τῶν τεχνῶν καὶ τῶν ἐπιτηδευμάτων, περὶ ἃ τὴν πραγματείαν ἔχομεν. φιλόσοφα γοῦν τῷ φιλοσόφῳ τὰ ὀνείρατα, καὶ τῷ ῥήτορι ῥητορικὰ, καὶ τῷ γεωμέτρῃ γεωμετρικά. οὐ μία οὖν αἰτία τῶν ὀνειράτων, ἀλλὰ πολλαὶ, ὡς εἴρηται.

Περὶ ὑγείας καὶ νόσου καὶ γήρως.

20 Ὑγείας αἴτιον συνεκτικὸν ἡ τῶν δυνάμεων ἰσονομία, θερμότητος, ψυχρότητος, ὑγρότητος καὶ ξηρότητος. ὅταν δὲ τούτων ἓν καταδυναστεύσῃ τῶν ἄλλων, ἡ νόσος γίνεται. αἱ δὲ πλεῖσται τῶν νόσων, δι' ἀνωμαλίαν τῶν ἐν τῷ σώματι στοιχείων γίνονται. ἐπεισάγονται δὲ αἱ νόσοι τῷ σώματι, καὶ διὰ πλήθους τροφῆς, καὶ 25 διὰ ἀπεψίας καὶ φθορᾶς· ἡ δὲ εὐταξία καὶ ἡ αὐτάρκεια, ὑγείας περιποιητικά. μορφοῦται δὲ τὰ ζῶα ἐν γαστρὶ ὄντα ἀπὸ ἕκτης καὶ τριακοστῆς ἡμέρας, τελειοῦνται δὲ τοῖς μορίοις ἀπὸ τῆς πεντηκοστῆς. Ἱπποκράτης δὲ ἐπὶ μὲν τῶν ἀρρένων, διὰ τὸ θερμότατα εἶναι, τὴν διάρθρωσιν γίνεσθαι ἀπὸ τῆς ἕκτης καὶ εἰκοστῆς· ἐπὶ δὲ 30 τῶν θηλυκῶν ἐν διμήνῳ μὲν διαρθροῦσθαι, ἐν τετραμήνῳ δὲ τελειοῦσθαι.

Digitized by Google

Διατί οἱ νηστεύοντες διψῶσι μᾶλλον, ἢ οἱ πεινῶντες.[5]

Διψῶμεν μᾶλλον ὅταν νηστεύσωμεν, ἢ πεινῶμεν, διότι τὸ ἐν ἡμῖν θερμὸν, πρῶτον μὲν καταβόσκεται τὸ ἐν σώματι ὑγρὸν, ὅπερ ἀπὸ τῶν ὑπολειμμάτων τῆς ἐν τῷ σώματι τροφῆς περισσεύει. εἶτα ἐπ' αὐτὴν βαδίζει τὴν σύμφυτον λιβάδα τῆς σαρκὸς ἡ ἐν ἡμῖν πύρωσις, τὸ νοτερὸν διώκουσα καὶ τὸ δίυγρον. γενομένης οὖν ὥσπερ ἐν πηλῷ ξηρότητος, ποτοῦ μᾶλλον τὸ σῶμα δεῖσθαι πέφυκεν, ἄχρις οὗ πιόντων, ἀναρρωσθὲν καὶ ἰσχῦσαν τὸ θερμὸν ἐμβριθοῦς τροφῆς ὄρεξιν ἐργάσηται. τὸ γὰρ ἐν ἡμῖν μάλιστα δεῖται τροφῆς θερμὸν, ὥσπερ ἀμέλει βλέπομεν ἔξω μήτε ἀέρα, μήτε ὕδωρ, μήτε μὴν[6] ἐφιέμενα τρέφεσθαι, μήτε ἀναλίσκοντα τὸ πλησιάζον ἀλλὰ μόνον τὸ πῦρ. διὰ ταῦτα καὶ οἱ γέροντες ῥάστα νηστείαν φέρουσιν· ἀμβλὺ γὰρ ἐν αὐτοῖς καὶ μικρὸν ἤδη τὸ θερμόν ἐστι· καὶ τὰ ἄναιμα δὲ τῶν ζώων τροφῆς ἥκιστα προσδεῖται, δι' ἔνδειαν θερμότητος.

[7]Διατί πεινῶντες ἐὰν πίνωσι παύονται, διψῶντες δὲ ἐὰν φάγωσιν ἐπιτείνονται.

Ἡ δίψα τοῖς φαγοῦσιν ἐπιτείνεται, διότι τὰ εἰσερχόμενα σιτία τῇ ξηρότητι τὸ διεσπαρμένον ὑγρὸν καὶ ἀπολειπόμενον ἀσθενὲς καὶ ὀλίγον ἐν τῷ σώματι συλλέγουσι καὶ προεξικμάζουσι· διότι ἡ ὑγρότης τὰ ὑπόντα σιτία βρέξασα καὶ διαχέασα, χυμῶν ἐγγενομένων καὶ ἀτμῶν, ἀναφέρει τούτους εἰς τὸ σῶμα, καὶ προστίθησι τοῖς δεομένοις. ἐνδυομένη γὰρ ἔξωθεν ἡ ὑγρότης, εὐχυμότερα ποιεῖ καὶ τροφιμώτερα τὸ χαλᾶσθαι τὰ ἐντὸς, ὥστε τῆς πείνης τὸ σφόδρα πικρὸν καὶ θηριῶδες ἐνδιδόναι καὶ παρηγορεῖσθαι. ὥστε καὶ πολὺν χρόνον ζῶσιν ἔνιοι ἂν ὕδωρ μόνον λαμβάνοντες, ἄχρις οὗ πᾶν ἐξικμασθῇ τὸ τρέφον καὶ προστίθεσθαι δυνάμενον.

Περὶ τῆς τοῦ οὐρανοῦ οὐσίας.

Διάφοροι δόξαι περὶ τούτου παρ' Ἕλλησι καταβέβληται. οἱ μὲν γὰρ περὶ Κλεομήδην τὸ κενὸν ἐκτὸς τούτου τιθέασι. Πλάτων

[5] ἢ πεινῶσιν Fabr. Cod. et Allat. [6] γῆν Fabr. [7] Deest in Fabr. Cod.

Digitized by Google

δὲ ἐν τῷ Φαίδρῳ ἐξυμνεῖ τοῦτο δὴ τὸ μέρος, καὶ δυνάμεις τινὰς θείας τὰς τὸν κόσμον κατευθυνούσας ἐνταῦθα τίθεται. ὁ δέ γε Ἀριστοτέλης οὔτε κενὸν, οὔτε ἄλλό τι τῶν πάντων ὑπὲρ τὸν οὐρανὸν εἶναι οἴεται. νοῦν μὲν γὰρ δογματίζει δημιουργὸν τοῦ παντὸς, 5 οὐ μέντοι γε περιγράφει τοῦτον, οὔτε ἐν τοῖς τοῦ κόσμου, οὔτε ἐκτός· οὐδὲ διατειχίζει αὐτὸ τὸν οὐρανὸν, ἀλλ' ὑπὲρ τὸ πᾶν μὲν οἴεται, οὐ βούλεται δὲ οἷον τινὰ σωματικὴν φύσιν ἐκτὸς τοῦ οὐρανοῦ περικεχῦσθαι, ἢ ἑστηκέναι, ἀλλ' ἑαυτοῦ εἶναι ἀτόπως καὶ ἀρρήτως.

10 ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΟΥΡΑΝΟΥ ΟΥΣΙΑΣ.

Πλάτων μὲν ὁ φιλόσοφος ἀπὸ τῶν τεσσάρων στοιχείων πάντα πλάττων τὰ σύνθετα σώματα, ἀπὸ τῶν αὐτῶν συγκεῖσθαι καὶ τὸν οὐρανὸν ἀποφαίνεται. τοσοῦτον δέ φησι πρὸς τὰ ἄλλα τὴν διαφορὰν ἔχειν, ὅτι τὰ μὲν ἐπὶ γῆς σώματα, ἀπὸ τῆς ἐσχάτης μερίδος 15 τῶν στοιχείων εἶναι, τῆς οἷον παχυτέρας καὶ ὑλωδεστέρας, τὸν δὲ οὐρανὸν ἀπὸ τῆς αὐγοειδεστέρας αὐτῶν μοίρας οὐσιῶσθαι. Ἀριστοτέλης δὲ τὰ μὲν τέσσαρα στοιχεῖα κατ' εὐθείαν κινεῖσθαι λαβὼν, τὸν δὲ οὐρανὸν κύκλῳ φέρεσθαι ἀπὸ τῆς διαφόρου κινήσεως, διάφορον αὐτῷ καὶ τὴν οὐσίαν πρὸς τὰ στοιχεῖα δίδωσι, καὶ τόν τε 20 οὐρανὸν, καὶ τοὺς ὑπ' αὐτὸν ἀστέρας καὶ μέχρι σελήνης, αἰθέρα καλεῖ, καὶ πέμπτον σῶμα κατονομάζει.

ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ.

Τὴν εἱμαρμένην εἴ τις γνοίη σὺν ἀκριβείᾳ, καὶ ὅθεν καὶ ὁποία τὴν φύσιν, μερίδα πρὸς φιλοσοφίαν μεγίστην προσείληφε. παρὰ 25 μὲν γὰρ τοῖς πολλοῖς ἀτιμάζεται τὸ ὄνομα· παρὰ δὲ τοῖς σοφωτέροις, θαυμάζεται. ἔστι δὲ γενικῶς μὲν εἰπεῖν, ἡ φύσις τοῦ κόσμου ἡ κινοῦσα τὰ σώματα, κατὰ μέρος δὲ δευτέρα τίς προνοίας ἔλλαμψις καὶ ἐπιστασία, οὐ κατ' εὐθείαν τὴν κίνησιν ἔχουσα, ὥσπερ ἡ κυρίως ἐστὶ πρόνοια, ἀλλὰ δεομένη καιρῶν καὶ 30 τόπων εἰς ἀποτέλεσμα· ὅθεν καὶ εἱμαρμένη λέγεται, ὡς εἰρομένη τίς φύσις καὶ συμπεπλεγμένη διὰ πολλῶν. τὰ μὲν οὖν ἀσώματα ὑπὸ πρόνοιαν ἐστὶ μόνην, τὰ δὲ σώματα, ὑπὸ πρόνοιαν καὶ εἱμαρμένην.

Digitized by Google

Περὶ χρόνοτ.

Ὁ χρόνος ἐπινοίας ἀνθρωπίνης ἐστὶν ὄνομά τε καὶ νόημα. ἐπειδὴ γὰρ τὰ μὲν αἰώνια ἀεὶ ὄντα καὶ ἀκίνητα ἐστὶ, τὰ δὲ ὑπὸ κίνησιν, ῥέοντα καὶ φθειρόμενα· αὐτὸ δὴ τὸ μέτρον τῆς κινήσεως, χρόνον ὠνόμασαν οἱ φιλόσοφοι. οὐδὲ γὰρ αὐθύπαρκτον πρᾶγμα ὁ χρόνος ἐστὶν, οὐδὲ σῶμα φαινόμενον, οὐδὲ ἀσώματός τις ὑπόστασις, ὥσπερ ἡ φύσις, καὶ ἡ ψυχὴ καὶ ὁ νοῦς, ἀλλὰ πρᾶγμα ἐν ἐπινοίᾳ μόνῃ κείμενον. ἡ τοίνυν ψυχὴ ἑνωθεῖσα μὲν τῷ κρείττονι, ἐν τῷ ἑστῶτι αἰῶνι ἐστίν· ἀφειμένη δὲ τοῦ αἰῶνος, καὶ περί τι πρᾶγμα τῆς γενέσεως κινηθεῖσα, χώραν τῷ χρόνῳ δίδωσιν. οὐδὲν οὖν ἕτερον ἐστὶν ὁ χρόνος, ἢ μέτρον κινήσεως.

Περὶ κινήσεως.

Δυσκατανόητόν τι πρᾶγμα ἡ κίνησις· ἔστι δὲ εἶδός τι καὶ ἐνάργεια κινουμένου πράγματος, καθ' ὃν χρόνον κινεῖται, οἷόν τι λέγω. ἔστι τί πρᾶγμα αὐξανόμενον, καὶ ἄλλο ἀλλοιούμενον, καὶ ἄλλο φερόμενον· καὶ τοῦ μὲν αὐξανομένου κίνησις, ἡ αὔξησις· τοῦ δὲ ἀλλοιουμένου, ἡ ἀλλοίωσις· τοῦ δὲ φερομένου, ἡ φορά· καὶ ὅλως τοῦ γινομένου, ἡ γενέσις. ἔστιν οὖν ἡ κίνησις, οὔτε ἀρχὴ, οὔτε τέλος, ἀλλὰ τὸ μεταξὺ τούτων· τῆς γὰρ οἰκοδομήσεως, οὔτε ἡ ἀρχή τις κίνησις, οὔπω γὰρ κεκίνηται, οὔτε τὸ τέλος, πέπαυται γὰρ τὸ οἰκοδομηθὲν· τὸ δὲ ἐν μέσῳ τούτων, οἷον ἡ οἰκοδόμησις, τοῦτο κίνησις ἐστὶν, ὅπερ δὴ καὶ ἐντελέχειαν ὁ Ἀριστοτέλης ὠνόμασεν.

Περὶ ἀνάγκης.

Ἀνάγκην ὀνομάζουσιν οἱ φιλόσοφοι, δύναμιν τινὰ ἀναγκαστικὴν τοῦ ἀποτελέσματος· οἷον τί λέγω. ἡ ἀστρολογία τῶν ἀστρώων σχημάτων ἐξήρτηται, καὶ τῶν ὑψωμάτων καὶ τῶν φύσεων[7] καὶ τῶν οἰκοδεσποτιῶν[8], καὶ τῶν ἄλλων. ὅταν οὖν συνδράμῃ πάντα πρὸς τὸ γενέσθαί τι ἢ μὴ γενέσθαι, καὶ μηδέν τι ᾖ ἀντιπίπτον, ἢ ἀντικείμενον, ἀνάγκην τοῦτο εἰρήκασιν, ὡς ἀπαραίτητόν τε καὶ ἀμετάθετον. τὸ δὲ ἐν μερικοῖς σημείοις τὴν δύναμιν ἔχον, τοῦτο ἐνδεχόμενον ἀπεφήναντο, ὡς δυνάμενον καὶ γενέσθαι καὶ μὴ γενέσθαι. κυρίως ἐνδεχόμενον ἐστὶ τὸ ὑπὸ τὴν ἡμετέραν προαίρεσιν κείμενον, καὶ τὴν ἐφ' ἑκάτερα ῥοπὴν ἴσην καὶ ὁμοίαν δεχόμενον.

[7] φάσεων Fabr. [8] οικοδεσποτῶν Fabr.

Digitized by Google

Περὶ τῆς πρὸς τὸ θεῖον τῶν ὄντων ἐπιστροφῆς.

Τῶν παρὰ τοῦ Θεοῦ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθέντων, τὰ μέν ἐστι μόνως ὄντα, ὡς τὰ ἄψυχα σώματα· τὰ δὲ καὶ ὄντα καὶ ζῶντα, ὡς τὰ ἔμψυχα σώματα· τὰ δὲ καὶ ὄντα καὶ ζῶντα καὶ νοοῦντα, ὡς αἱ ψυχαὶ καὶ οἱ νόες. ἕκαστον οὖν πρὸς τὸν Θεὸν ἀφ' οὗ παρήχθη, κατὰ τὴν ἰδίαν ὕπαρξιν ἐπιστρέφει· τὸ μὲν ὂν, οὐσιώδη ποιεῖται τὴν ἐπιστροφήν· τὸ δὲ ζῶν, καὶ οὐσιώδη καὶ ζωτικόν· τὸ δὲ καὶ νοοῦν, καὶ οὐσιώδη καὶ γνωστικόν· ἕκαστον γὰρ ὡς προῆλθεν, οὕτω καὶ ἐπέστραπται. τοῦτο δὲ τὸ φιλοσόφημα, καὶ ὁ φιλόσοφος Πρόκλος ἐν τοῖς κεφαλαίοις αὐτοῦ τίθησι, καὶ διακρίνει[9]· καὶ πρὸ τούτου, ὁ Ἀρεωπαγίτης[10] Διονύσιος σαφέστερον τοῦτον διακριβοῖ· καὶ ἔστιν ὁ λόγος τῶν πάνυ σπουδαζομένων, ἀληθέστατός τε καὶ ἀκριβέστατος ὤν.

Εἰ κακὸν[11] ἡ ὕλη.

Πλάτων ὁ φιλόσοφος ἐν μὲν τῷ Τιμαίῳ μητέρα καὶ τιθήνην τῆς τῶν καλῶν γενέσεως καὶ συναιτίαν τῆς τοῦ κόσμου δημιουργίας αὐτὴν ἀποφαίνεται· ἐν δὲ τοῖς τοῦ Ἐλεάτου ξένου λόγοις, αἰτίαν αὐτὴν λέγει τῆς τοῦ παντὸς ἀταξίας· ἐν δὲ τῷ διαλόγῳ τῷ καλουμένῳ Φιλήβῳ, ἀπὸ τοῦ Θεοῦ καὶ ταύτην παράγων, ἔνθεον αὐτὴν καὶ ἀγαθὸν καὶ διὰ τὴν ἀπὸ Θεοῦ γένεσιν ἀποφαίνεται. Πρόκλος δὲ ὁ φιλόσοφος, οὔτε ἀγαθὸν αὐτὴν οἴεται οὔτε κακόν· ὡς μὲν γὰρ ἔσχατον τῶν ὄντων, καὶ πόρρω τοῦ ἀγαθοῦ, οὐκ ἀγαθὸν λέγει· ὡς δὲ αἰτίαν δημιουργικὴν ἐν τοῖς ἀγαθοῖς ἀναγκαζόμενος τιθέναι, μέσην αὐτὴν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ τιθεὶς, ἀναγκαῖαν ἐπονομάζει. τὸ γὰρ ἐνδεὲς αὐτῆς τῶν ἀγαθῶν, συντελεῖν λέγει πρὸς τὴν τῶν αἰσθητῶν δημιουργίαν ὅπερ ἀναγκαῖον ἔστιν.

Περὶ ἐπισημασίας ἀστέρων, καὶ πῶς γίνεται χειμὼν καὶ θέρος.

Ἐπισημασία ἐστὶν, ὅταν ἐπιτέλλων ὁ ἀστὴρ καὶ συνανατέλλων τῷ ἡλίῳ ὥσπερ ὁ καλούμενος κύων καὶ ὁ Ὠρίων, καὶ ὁ ἀρκτοῦρος, ἢ ἕτερός τις τῶν ἀπλανῶν ἀλλοιώσῃ τὸν ἀέρα κατὰ τοὺς τέσσαρας καιροὺς τοῦ ἔτους· τοῦτο γὰρ καὶ Μωσῆς ὑπαινίττεται λέγων·

9 διευκρινεῖ Fabr. 10 Ἀρεωπαγίστης Cod. 11 καλὸν Fabr.

Digitized by Google

"ἔσονται εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτούς·" ἐπισημαίνεται γάρ τι ὁ ἀστὴρ τῶν περὶ τὸν ἀέρα παθῶν, ἑώαν[11] ἐπιτολὴν[12] ἢ ἑσπέριαν ποιούμενος. περὶ μέντοιγε θέρους καὶ χειμῶνος καὶ τῶν λοιπῶν ὡρῶν, ἰστέον, ὡς ὅταν μὲν ὁ ἥλιος βόρειος ἡμῖν γένηται, καὶ ὑπὲρ κεφαλῆς κινοῖτο, θέρος ποιεῖ· ὅταν δὲ πρὸς νότον ἀπελαθῇ, χειμῶνα ἐργάζεται· καὶ ὅταν μὲν κατὰ τὸν κριὸν τὸ ζώδιον γένηται, ἰσημερίαν καὶ ἔαρ ποιεῖ. ὅταν δὲ κατ' ἀντικρὺ διαπορεύηται τῶν χηλῶν, μεσόπωρον καὶ ἰσημερίαν αὖθις.

Περὶ τέτοῖ, χαλάζης, χιόνος, πάχνης, καὶ δρόσου.

Κομῆται μὲν καὶ γαλαξίας, ἔστι δὲ δοκίδες, καὶ διάττοντες, καὶ τ' ἄλλα τὰ εἰρημένα, ἐν τῇ καπνώδει γίγνονται ἀναθυμιάσει· ὑετὸς δὲ καὶ χάλαζα, καὶ χιὼν, καὶ πάχνη, καὶ δρόσος, ἐν τῇ ἀτμιδώδει ἀναφορᾷ, ἥτις μετὰ τὴν καπνώδη διακέχυται, ὑγρὰν τὴν φύσιν ἐκ τῆς γῆς καὶ αὕτη ἀναφερομένη· αὕτη γὰρ ἡ ἀτμιδώδης ἀναθυμίασις ἡ ὑγρὰ καὶ θερμὴ, ἢ ἀλλοιοῦται, καὶ μεταβάλλεται εἰς ὕδωρ, καὶ εἰ μὲν λαβρότερον κατέλθοι, ὑετὸν ποιεῖ· εἰ δὲ κατὰ μέρος ἐνεχθῇ, ψεκάδα· ἢ πήγνυται μόνον, καὶ ποιεῖ χιόνα, ἢ μεταβάλλεται πρότερον, εἶθ' οὕτως πήγνυται καὶ γίνεται χάλαζα. εἰ μὲν οὖν ἄνω κουφισθῇ ἡ ἀτμὶς, ταῦτα ποιεῖ· εἰ δὲ ἐν τῷ περιγείῳ σταίη ἀέρι, ἢ μεταβάλλεται καὶ ποιεῖ δρόσον, ἢ πήγνυται καὶ γίνεται ὁ παγετός· ὁ δὲ Ἀριστοτέλης, αἴτιον τούτων ἁπάντων τὴν ψύξιν λέγει.

[13] Περὶ δρόσου αἴθις, καὶ πάχνης.

Πάχνη καὶ δρόσος νηνεμίας καὶ αἰθρίας οὔσης γίνεται· πολλοῦ γὰρ ἀνέμου πνεόντος, διασκίδναται ἡ ἀτμὶς ὑπὸ τῆς πνεύματος βιαίας κινήσεως· πλὴν ἡ μὲν δρόσος ἐν τοῖς ἀλεεινοτέροις μάλιστα καιροῖς καὶ χωρίοις· ἡ δὲ πάχνη, ἐν τοῖς ψυχροτέροις γίνεται· καὶ ἡ μὲν δρόσος, νοτίων πνευμάτων ἐπικρατούντων, συνίσταται· ἡ δὲ πάχνη, βορείων. ἀναλογεῖ δὲ ἡ μὲν πάχνη τῇ χίονι· ἡ δὲ δρόσος, τῷ ὑετῷ. ἡ δὲ χάλαζα καὶ ὁ κρύσταλος ἄμφω πῆξις εἰσὶν ὕδατος· ψυχρότατον δὲ ὂν ἡ χάλαζα, ἐν ταῖς θερμοτέραις

[11] εὐωᾶν Cod. [12] ἐπιστολὴν Cod. [13] Deest in Fabr.

Digitized by Google

ὥραις μάλιστα γίνεται ἀέρι[14] καὶ φθινοπώρῳ· πολλάκις δὲ καὶ τοῦ θέρους· διότι φυσικῶς ἀντιπεριΐσταται τὸ θερμὸν πρὸς τὸ ψυχρόν· ὅταν δὲ ἐκτὸς φέρηται τὸ ψυχρὸν, ἔνδον συνάγεται τὸ θερμόν. ἐν οὖν ταῖς θερμοτέραις ὥραις, τὸ ψυχρὸν ἔσω ἀντιπεριϊ-
5 στάμενον τῷ θερμῷ ποιεῖ τὴν χάλαζαν.

Περὶ Ἴριδος.

Ἡ ἶρις τὸ καλούμενον παρὰ τοῖς πολλοῖς οὐρανίον τόξον, τῇ φύσει μὲν ἀνυπόστατόν ἐστιν· ἔμφασις δέ ἐστι καὶ φάντασμα τῆς ὁράσης ὄψεως ἀκτίνων ἀπὸ τῶν ὀφθαλμῶν προσπιπτουσῆς·
10 εἶτα δὴ ἀνακλωμένων καὶ τοῦ τόξου σχῆμα ἐμφαινουσῶν. ἔστι δὲ ἀληθῶς τόξον ἄντικρυς κατὰ τὸ σχῆμα. οὐδέποτε γὰρ φαίνεται κυκλοτερὲς, ἀλλ᾽ ἢ ἔλαττον ἢ πλέον κύκλου. φαίνεται δὲ ὡς ἐπὶ τὸ πλεῖστον μὲν ἀπὸ τοῦ ἡλίου· σπανίως δὲ ἀπὸ τῆς σελήνης· καὶ μάλιστα μὲν ἡμέρας, σπανίως δὲ περὶ τὸν μεσημβρινὸν
15 κύκλον· πολλάκις δὲ ἐν ταύτῳ, καὶ δύο φαίνονται ἶριδες· ἔστι δὲ πᾶσα ἶρις τρίχροος· ἡ μὲν γὰρ ἐντὸς αὐτῆς ζώνη, φοινική· ἡ δὲ δεύτερα, πράσινος· ἡ δὲ τρίτη, ἁλουργὸς καὶ οἷον ὑποπόρφυρος· συνίσταται δὲ ἐπὶ ἀνωμάλοις καὶ ἀνομοιομερέσι νέφεσιν.

Περὶ κεραυνοῦ[15].

20 Ὁ κεραυνὸς, οὐκ ἔχει τὸ φλέγον· λεπτομερὴς γάρ ἐστιν ἡ οὐσία αὐτοῦ· ὅθεν ταχέως διερχόμενος τὰ σώματα διὰ τὴν λεπτότητα οὐ καταφλέγει αὐτά. ἔνθέν τοι καὶ κεραυνὸς ὠνόμασται, ἀπὸ τοῦ εὐκραὴς εἶναι καὶ μὴ φλέγειν· πάνυ γὰρ λεπτομέρεστερος ὢν, ὡς εἴρηται, ὀξύτατα τὸ σῶμα διείσιν· ὥστε μήτε καίειν,
25 μήτε μελαίνειν· ὅθεν καί τινες ἄργητα τοῦτον ὠνομάκασιν, ἤτοι λαμπρόν· ἀργὸν[16] γὰρ τὸ λευκόν· εἰ γὰρ καὶ πῦρέ στι καὶ φύσει ἔχει τὸ καίειν, ἀλλ᾽ ἡ λεπτότης καὶ ἡ παχυτὴς[17] τῆς διόδου μὴ ἐγχρονίζουσα τῷ σώματι, ἄκαυστον τοῦτο ἐᾷ· πᾶν γὰρ τὸ καῖον, οὐ μόνον μέγεθος οἰκείου δεῖται πρὸς τὴν καῦσιν, ἀλλὰ καὶ τοῦ
30 ἐμβραδῦναι τῷ καυστῷ σώματι· παρὰ ταύτην οὖν τὴν αἰτίαν οὐ φλέγει ὁ κεραυνός.

14 Leg. ἐάρι. 15 κεραυνῶν Fabr. 16 ἄργεν Cod. 17 Leg. ταχύτης.

Digitized by Google

Πῶς συνέστη[18] ὁ κόσμος.

Τὴν σύστασιν ὁ κόσμος ἔλαβεν ἀπὸ τῆς φύσεως καὶ κινήσεως τῶν στοιχείων· ἐπειδὴ γὰρ τούτων τὰ μὲν εἰσὶ κουφότατα· οἷον τὸ πῦρ καὶ ἀήρ· τὰ δὲ βαρύτατα· οἷον ὕδωρ καὶ γῆ· τὰ μὲν ὅσα βαρύτατα, κάτω τοῦ παντὸς ὑπεκάθητο· τὰ δ' ὅσα κουφότατα, εἰς τὸ μετέωρον ἐπεθλίβετο· τὰ δ' αὐτὰ ταῦτα, καὶ εἰς τὸ πῦρ ἐξεφέρετο. πᾶν δὲ τὸ ἀπὸ τῆς γῆς φερόμενον, ἄνω ἐστί· διὰ ταύτην οὖν τὴν αἰτίαν, οἷον περικεκλασμένος καὶ κυρτὸς ἐστὶν ὁ κόσμος. συνθλιβομένων δὲ τῶν σωμάτων ἀλλήλοις, ἡ τοῦ ὕδατος ἐγεννήθη φύσις· ῥευστικῶς δὲ τοῦτο καταφερόμενον, ἐκοίλανε τοὺς ὑποκειμένους τόπους· καὶ τοὺς καλουμένους κόλπους θαλαττίους ἐποίησεν. ἐκ μὲν οὖν τῶν ὑποκαθιζόντων σωμάτων, ἐγεννήθη ἡ γῆ· ἐκ δὲ τῶν μετεωριζομένων, οὐρανὸς, πῦρ, ἀήρ.

Εἰ ἓν τὸ πᾶν.

[19]Οἱ πολλοὶ κόσμοι σωματικοὶ κατ' ἐνίους τῶν φιλοσόφων εἰσίν· ἀλλ' εἷς τέλειος, καὶ οὐδὲ κυρίως ἓν ὀνομάζεται· πῶς γὰρ ἓν ὁ κόσμος· σύνθετος ὢν καὶ πολυμερὴς; ἀλλὰ διὰ τὴν πρὸς ἄλληλα τῶν μερῶν αὐτοῦ ἕνωσιν τὴν τοῦ ἑνὸς ἔσχε προσηγορίαν· κυρίως γὰρ, ἓν ὁ Θεὸς, ὡς ὑπὲρ πᾶσαν ἁπλότητα. ὅσα δὲ μετὰ Θεὸν, οὐ κυρίως ἕν· ἀλλὰ διὰ τὴν ἕνωσιν καὶ τὴν μετοχὴν τοῦ ἑνὸς, οὕτω προσαγορεύεται. καὶ γὰρ ὁ νοῦς ἕν ἐστι καὶ πολλά· ὅσα γὰρ τὰ ὄντα, τοσαῦτα καὶ ὁ νοῦς· ἐπεὶ καὶ τὰ παραδείγματα τούτων, ἐν ἑαυτῷ περιέχει πολλὰ καὶ ἡ ψυχὴ διαιρετὴ γὰρ, πολλῷ πλέον τὰ στοιχεῖά τε καὶ τὰ σώματα. ἀλλ' ἐπειδὴ ἑνώσεως ἀκριβοῦς καὶ ὁ κόσμος κεκοινώνηκεν, ἓν διὰ τὴν ἕνωσιν ὀνομάζεται, καὶ διὰ τὴν τελειότητα τῶν στοιχείων αὐτοῦ εἷς ἐστι καὶ μόνος· ἀλλ' οὐ κόσμοι πολλοί.

Εἰ ἔμψυχος ὁ κόσμος.

Ὁ μὲν καθ' ἡμᾶς λόγος, οὐδὲ ἀκροθιγῶς τοῖς ὠσὶν, ἔμψυχον εἶναι τὸν κόσμον προσίεται, προνοίᾳ μέντοιγε διοικούμενον. οἱ δὲ

[18] συνέστηκεν Fabr. [19] Οὐ leg. cum Fabr.

Digitized by Google

τελεώτεροι τῶν φιλοσόφων Πλάτων καὶ Ἀριστοτέλης, καὶ ὅσοι τούτοις ἐπηκολούθησαν, καὶ ἔμψυχον καὶ ἔννουν σαφῶς ἀπεφήναντο· ἐγκεῖσθαι δὲ οὐ τὰς ψυχὰς ἔν γε τῷ οὐρανῷ καὶ ταῖς ὑποκειμέναις σφαίραις, ἀλλ' ἀνάπαλιν τὸ σώματα τῶν θειοτέρων
5 ψυχῶν ἠρτῆσθαι διωρίκασιν· οὐκ ἀντικεῖσθαι μέντοι γε τὴν φύσιν οὔτε ταῖς ψυχαῖς τούτων, οὔτε ταῖς νοεραῖς διατάξεσιν· ἀλλ' ὑπ' αὐτῶν μάλιστα κατευθύνεσθαι· ἀλλ' οὐδὲ δεσμεῖσθαι τὰς ψυχὰς ἢ τους νοῦς τοῖς τούτων ὠήθησαν σώμασιν· ἀλλ' ὑπ' ἐκείνων ἐξάπτεσθαί τε καὶ καταλάμπεσθαι.

10 Εἰ ἀγέννητος ὁ κόσμος καὶ ἄφθαρτος.

Οὔτε ἀγέννητος παρ' ἡμῖν ὁ κόσμος δοξάζεται οὔτε ἄφθαρτος· γεγενῆσθαί τε γὰρ αὐτὸν παρὰ τῆς γραφῆς καὶ φθαρήσεσθαι μεμαθήκαμεν. Ἀριστοτέλης δὲ καὶ ἀγέννητον αὐτὸν καὶ ἄφθαρτον τίθεται. Πλάτων δὲ γέννᾳ μὲν αὐτὸν ἐν τῷ Τιμαίῳ, ἀποφαί-
15 νεται δὲ μὴ φθαρήσεσθαι τὸν ἅπαντα χρόνον. καὶ ἐπειδὴ ἀντίκειται αὐτῷ, πῶς σύνθετος ὤν, οὐ φθαρήσεται· πᾶν γὰρ τὸ σύνθετον καὶ διαλυτόν· διαστέλλεται λέγων, ὅτι ὅσον μὲν ἐπὶ τῇ φύσει, φθαρτός ἐστι· σῶμα γὰρ οὐ χωρεῖ ἀϊδιότητα, ἀλλὰ τὸ ἄφθαρτον ἐπεισάκτως παρὰ τοῦ θεοῦ κομίζεται. ὁ δέ γε Πρόκλος
20 ἐν τοῖς ἐξηγητικοῖς τοῖς περὶ τὸν Τίμαιον λόγοις, πειρᾶται δεικνύναι βιαιότερον, ὅτι μηδὲ γεννητὸν ὁ Πλάτων τὸν κόσμον οἴεται, ἀλλὰ κατὰ μὲν τὸν χρόνον ἀγέννητον ἀποφαίνεται, κατὰ δὲ τὴν σύνθεσιν, ἐπινοίᾳ γεννητόν.

Εἰ τρέφεται ὁ κόσμος.

25 Οὐ πόρρω μοι εὐηθείας δοκοῦσιν εἶναι οἱ τρέφεσθαι τὸν κόσμον ὑπολαμβάνοντες, εἴτε τὸν οὐρανὸν μόνον κόσμον κατονομάζουσιν, ὡς ὁ Πλάτων ἐν τῷ Τιμαίῳ, εἴτε μετὰ τοῦ αἰθέρος καὶ τὰ στοιχεῖα. εἰ γὰρ τελεώτατος κατ' αὐτοὺς ὁ κόσμος, μάλιστα δὲ καὶ ἀΐδιος, πῶς ἂν δεηθείη τροφῆς[21]· τὸγ ἀρ ἀτελὲς καὶ τὸ ἐνδεὲς τρέ-
30 φεται, ἀλλ' οὐχὶ τὸ πλῆρες καὶ ἀνενδεές· εἰ δὲ τὸ τρέφον τῷ τρεφομένῳ προσθήκην ποιεῖ καὶ αὔξησιν, αὐξηθείη ἂν καὶ ὁ κόσμος τρεφόμενος, ἀλλὰ καὶ φθίνοι κενούμενος· ὥστε μείζων ὁ κόσμος ἑαυτοῦ καὶ ἐλάττων γενήσεται· τοῦτο δὲ πρὸς τῷ ἀτόπῳ,

20 δεηθῇ.

Digitized by Google

καὶ γελοῖον ἄντικρυς· εἰ οὖν οὔτε αὐξήσεως δεῖ τῷ κόσμῳ, οὔτε κινήσεως, οὔτε τροφῆς ἂν αὐτῷ δεήσοι[20] ποτέ.

Πόθεν ἄν τις γνοίη ἑλληνικαῖς ἀποδείξεσι τὴν τοῦ κόσμου συντέλειαν.

"Περὶ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας, οὐδεὶς οἶδεν οὐδὲ οἱ ἄγγελοι 5 "τῶν οὐρανῶν" κατὰ τὴν τοῦ Εὐαγγελίου φωνὴν "εἰ μὴ ὁ Πατὴρ" καὶ ὁ συναΐδιος ἐκείνῳ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον. Ἕλληνες δὲ βιάζονται καὶ ταύτην εἰδέναι διὰ κενῶν ἀποδείξεων. ὁ Κρόνος ποιεῖται τὴν μεγίστην ἀποκατάστασιν δι' ἐτῶν διακοσίων ἑξήκοντα πέντε· Ζεὺς δὲ διὰ τετρακοσίων εἰκοσιεπτά· 10 Ἄρης δὲ, διὰ διακοσίων ὀγδοήκοντα τεσσάρων· ἥλιος διὰ χιλίων τετρακοσίων ἑξηκονταενός· Ἀφροδίτη διὰ χιλίων ἑκατονπεντηκονταενός· Ἑρμῆς διὰ τετρακοσίων ὀγδοήκοντα· ἡ σελήνη δι' ἐτῶν εἰκοσιπέντε· ἡ δὲ κοσμικὴ ἀποκατάστασις.....

Hic desunt plura folia. 15

[21] Ψῆφος περὶ τοῦ εὑρεῖν τὸ νομικὸν πάσχα.

Κράτησον ὅσην ψῆφον ἔχει ἡ σελήνη τῇ πρώτῃ τοῦ Ἰαννουαρίου μηνὸς, καὶ ἀναβίβασον ἡμέρας ἑκατὸν πέντε σὺν τῇ ψήφῳ τῆς σελήνης· καὶ ὅπου φθάσουσιν αἱ ἑκατὸν πέντε ἡμέραι, ἐκεῖ ἔσται τὸ νομικὸν Πάσχα. 20

Ἰστέον δὲ ὅτι τὰ ἐπέκεινα τοῦ ἀριθμοῦ τῆς σελήνης κατὰ τὴν πρώτην τοῦ Ἰαννουαρίου μηνὸς[22] μετρᾶς, οἷον τῇ πρώτῃ τοῦ Ἰαννουαρίου, ἤγουν ὁ θεμέλιος εἶχε δεκαοκτὼ, λοιπὸν πρόσθες ὀγδοήκοντα ἑπτὰ, ὁμοῦ ἑκατὸν πέντε, ἤτοι ἔασον τὰς δεκαοκτὼ τῆς σελήνης, καὶ ἄρξαι ἀπὸ τῶν λοιπῶν ὀγδοήκοντα ἑπτά· δὸς τῷ 25 Ἰαννουαρίῳ τριάκοντα μίαν, τῷ Φευρουαρίῃ κ̅η̅, καὶ τῷ Μαρτίῳ κ̅η̅, νομικὸν Πάσχα, ἔνθα δηλαδὴ πεπλήρωται ὁ ὀγδοηκοστὸς ἕβδομος ἀριθμός.

Ἐὰν θέλῃς εὑρεῖν ἐν ποίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος φθάνει τὸ νομικὸν Πάσχα, εὑρὲ τὸν κύκλον τοῦ ἡλίου ποῖος ἐστὶ, καὶ 30

[20] δεήσῃ Cod.
[21] Hic incipiunt variæ computationes ad inveniend. Pasch.
[22] Vel μὴ.

Digitized by Google

πρόσθες καὶ τὸ τέταρτον, καὶ ἄρξαι ἀπὸ μηνὸς Ὀκτωβρίου καὶ ὅσοι μῆνες ἔχουσιν ἀπὸ λα, θὲς ἀνὰ τριάκοντα, καὶ ὅσοι ἀπὸ τριάκοντα, ἀνὰ δύο, καὶ τοῦ μηνὸς ἐκείνου ὅπου πίπτει τὸ νομικὸν Πάσχα, ὅλας· καὶ ὕφειλε ἐπὶ τῶν ἑπτὰ, καὶ ὃ ἀπομείνει ἔλαττον
5 τῶν ἑπτὰ, εἰ μὲν δύο, ἐστὶν ἐν δευτέρᾳ ἡμέρᾳ, εἰ δὲ τρία, ἐν τρίτῃ καὶ καθεξῆς· εἰ δὲ λάχει ἐν ἡμέρᾳ τὸ νομικὸν Πάσχα, πασχάζουσιν οἱ Χριστιανοὶ τῇ ἐπιούσῃ ἡμέρᾳ, ἅμα γὰρ οὐκ ἐνδέχεται.

Περὶ τῆς ἀποκρέας.

Ἴδε εἰς τὰς πόσας πασχάζεις, εἴτε Μάρτιον εἴτε Ἀπρίλλιον,
10 καὶ πρόσθες τρεῖς ὀπισθοτελείας, εἴτε εἰς τὸν Φευρουάριον, εἴτε εἰς τὸν Ἰαννουάριον, εἰ δὲ ἦν βίσεκστον, θὲς τέσσαρας, καὶ ἦν ἡ ἀποκρέα τότε.

Ψῆφος ποιμενικὸς τοῦ νομικοῦ Πάσχα.

Ψήφιζε πόσας ἔχει τὸ φέγγος τῆς ἡμέρας τῶν καλάνδων, καὶ
15 κράτει ταύτας μόνας, καὶ ἄφες τὸν Ἰαννουάριον, καὶ συμψήφιζε τῷ φέγγει ἀπὸ τῆς πρώτης τοῦ Μαρτίου μηνὸς ἕως οὗ γένωνται με ἡμέραι, καὶ εἰς ὅσας ἡμέρας σταθῶσι τοῦ μηνὸς Μαρτίου, εἴτε Ἀπριλλίου με ἡμέραι, πασχάζουσι τότε οἱ Ἑβραῖοι· τὸ δὲ φέγγος κατὰ καιρὸν ια ἡμέρας προστίθησιν εἰς τὰ κάλανδα, ἤγουν
20 εἰς τὸ θεμέλιον· ὁ δὲ κύκλος αὐτοῦ ἄρχεται ἀπὸ Ἰαννουαρίου μηνός.

Μέθοδος τοῦ εὑρεῖν ποίῳ μηνὶ καὶ ποσταίαι ἡμέραι τὸ Πάσχα τὸ νομικὸν συμβαίνει.

Κράτει τὸ ποσὸν τοῦ θεμελίου τῆς σελήνης, καὶ προστίθει
25 τούτοις ἀρξάμενος ἀπ' ἀρχῆς τοῦ Μαρτίου μηνὸς ἑτέραν ποσότητα, ὥστε συμπληροῦσθαι διὰ τῶν ἀμφοτέρων τὸν με ἀριθμὸν, εἰς οἵαν ἡμέραν καταντήσει, εἴτε τοῦ Μαρτίου, εἴτε τοῦ Ἀπριλλίου· ἐν ἐκείνῃ δέ ἐστιν ἐκπαντὸς τὸ νομικὸν Πάσχα· πλὴν ὁπόταν πολλάκις ὁ θεμέλιος πολλὴν ἔχων ποσότητα πρὸ τῆς κα τοῦ
30 Μαρτίου συμπληροῖ τὸν ζητούμενον με ἀριθμὸν, τότε τὸν μὲν Μάρτιον παντελῶς καταλίμπανε, μίαν μόνην ἡμέραν ἀντὶ ὅλου τούτου προσλαμβάνων ἐν τῇ ψήφῳ, τὰ δὲ λοιπὰ ἐκ τῆς ἀρχῆς

Digitized by Google

τοῦ Ἀπριλλίου πάλιν προστίθει, καὶ ἐν τῇ συμπληρώσει τῶν $\overline{\mu\epsilon}$ εὑρήσεις ὁμοίως τὸ Πάσχα τὸ νομικόν.

Μέθοδος ψήφοτ δι' ἧς εὑρίσκεται ἀκριβῶς ἡ ποστιαία ἡμέρα τῆς σελήνης.

Ἐνδεκαίδεκα μέν εἰσι πάντες τῆς σελήνης ἐνιαυσιαῖοι κύκλοι, καὶ ῥᾴδιον εὑρίσκειν ἐν ὁποίῳ τις χρόνῳ τῶν ἀπὸ κτίσεως κόσμου ζητοίη, πόστος ἐστίν ὁ τῆς σελήνης κύκλος, ὥσπερ δὲ καὶ ἐν τῷ παρόντι ἔτει, ἤγουν τῷ $\overline{\text{ϛφπζ}}$ εὑρίσκεται ὑπάρχων τρισκαιδέκατος, τὸ δὲ καὶ τόσας ἔχειν τὴν σελήνην σήμερον, ὁπόταν δηλονότι καὶ ζητεῖται, τοῦτο διασαφητέον ὅσως ἀπὸ ψήφου καταλαμβάνεται· ἡμέραι δὲ αἱ πᾶσαι ἑκάστης σελήνης αὐξανούσης τε καὶ ληγούσης κατὰ τὸ ἀκριβὲς κϑ. Τὸν ἐφεστῶτα κύκλον τῆς σελήνης πενταπλασίασον, εἶτα τῷ συναχθέντι ποσῷ πρόσθες τὰς ἀπὸ τῆς ἀρχῆς τοῦ Ἰαννουαρίου μηνὸς, καὶ τῶν ἐφεξῆς πάντων μηνῶν ἡμέρας ἁπάσας τὰς ἄχρις αὐτῆς τῆς ζητουμένης διαδραμούσας· κορυφώσας δὲ πάντα τοῦτον τὸν ἀριθμὸν, τότε ὕφελε αὐτὸν ἐπὶ τῶν ἑξήκοντα, καὶ τὰ καταλιμπανόμενα κάτωθεν τῶν ἑξήκοντα κράτει ταῦτα λέγοντα λεπτά· ἔπειτα ὅσας ἑξηκοντάδας ἔφθασας ἀπολύσαι, τοσαύτας μονάδας προσεπίβαλε πάλιν τοῖς λεπτοῖς· μετὰ δὲ ταῦτα τὸν δηλωθέντα πάλιν κύκλον τῆς σελήνης, ὃν τὸ πρότερον ἐπενταπλασίασας, νῦν ἑξαπλασίασον, καὶ πρόσθες τοῦτο τὸ ποσὸν τοῖς προεχομένοις· καὶ ἐπὰν συναγάγῃς ὅλα, ὕφελε πάλιν αὐτὰ ἐπὶ τῶν τριάκοντα, καὶ ὅσα ἂν εὑρεθῶσι τελευταῖον ἀπομείναντα κάτωθεν τῶν τριάκοντα, ἢ καὶ σῶα τριάκοντα, τοσαῦται εἰσὶν αἱ ἡμέραι τῆς σελήνης ἐκπαντός.

Αὕτη ἀκριβὴς μέθοδος ψήφου εὑρισκούσης τὸ ποσὸν τῆς σελήνης.

Ἀποτέλεσμα.

Ὑποδείγματος δὲ χάριν ψηφιστέον καὶ εὑρετέον διὰ τῆς προλεχθείσης μεθόδου ὁπόσας ἔχει σήμερον ἡ σελήνη, καθ' ἣν δηλονότι ταῦτα γράφομεν ἡμέραν. Ἔτος μὲν οὖν ἀρτίως ἀπὸ κτίσεως κόσμου $\overline{\text{ϛχπζ}}$ ὡς προδεδήλωται, μὴν δὲ φέρει ἑβδόμην· ζητητέον οὖν πρῶτον πόστος ἐστὶ νῦν ὁ κύκλος τῆς σελήνης, καὶ τοῦτο

Digitized by Google

ῥάδιον ἐστὶν εὑρεῖν ὡς προείπομεν. κατατεμνομένων γὰρ τῶν ,ϛφπζ ἐτῶν εἰς δεκαεννεοστὰ μέρη, τοσοῦτοι γάρ εἰσιν οἱ πάντες κύκλοι τῆς σελήνης, ὡς ἔμαθες, εὐκόλως καταλαμβάνεται ὅτι ιγ̅ ἐστὶ κατὰ τὸ παρὸν ἔτος ὁ κύκλος τῆς σελήνης. ψηφίσωμεν οὖν οὕτως κατὰ τὸ παράγγελμα τῆς μεθόδου· πεντάκις ιγ̅ ξε̅, εἶτα κράτησον ἀπὸ ἀρχῆς τοῦ Ἰαννουαρίου τὰς μέχρι τῆς σήμερον διαδραμούσας ἡμέρας, ἤγουν τῆς ζ̅ τοῦ Φευρουαρίου, ὡς προδεδήλωται, καὶ εὑρίσκονται λη̅. προστίθεμεν ταύτας τοῖς προτέροις ξε̅, καὶ ὁμοῦ ργ̅· ἔπειτα μέλλοντες ὑφαιρεῖν αὐτὰς ἐπὶ τῶν ξ̅, μίαν ἑξηκοντάδα εὑρίσκομεν, ἣν καὶ ὑφαιροῦντες, ἔχομεν τὰ καταλιμπανόμενα κάτωθεν τῶν ξ λεπτὰ μγ̅· λεπτὰ δὲ λέγονται, ὅτι βραχέα τεμμάχια εἰσὶ τῆς ὅλης ἡμέρας· τὰ γὰρ ἑξήκοντα λεπτὰ ποιοῦσιν ἡμέραν μίαν· ὥστε τὰ πέντε λεπτὰ ὥραν μίαν πληροῦσιν. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανίωμεν. ἐπεὶ οὖν κατελείφθη τὰ κρατούμενα μγ̅, ὡς προεδηλώθη, προστιθέαμεν τούτοις κατὰ τὸ παράγγελμα ἀντὶ τῆς ὑφαιρεθείσης μιᾶς ἑξηκοντάδος, μονάδα α̅, καὶ λοιπὸν μδ̅· πάλιν οὖν ἑξαπλασιάζοντες τὸν κύκλον τῆς σελήνης λέγομεν οὕτως, ἑξάκις δεκατρεῖς, ἑβδομήκοντα πέντε· καὶ ταῦτα προστιθέντες τοῖς προεχομένοις μδ̅, ποιοῦμεν ὁμοῦ ρκβ̅· εἶτα ὑφαιροῦμεν ἅπαντα ἐπὶ τῶν τριάκοντα, καὶ εὑρίσκομεν καταλιμπανόμενα κάτωθεν τῶν τριάκοντα δύο. καὶ τοσαῦται εἰσὶ καὶ σήμερον αἱ ἡμέραι τῆς σελήνης, ἤγουν δύο, ἐν τῇ ζ̅ τοῦ Φευρουαρίου μηνὸς, ἰνδικτιῶνος β̅, ἔτους ϟχπζ, κύκλου τῆς σελήνης ιγ̅. καὶ τοῦτο δὲ μὴ λάθῃ σε, ὅτι ἡ ἀρχὴ τοῦ ἐνιαυσιαίου κύκλου τῆς σελήνης ἀπὸ τῆς πρώτης τοῦ Ἰαννουαρίου μηνὸς καὶ λογίζεται καὶ ψηφίζεται, καὶ τὸ τέλος ἄχρι Δεκεμβρίου ὅλου. ὥσπερ πάλιν καὶ ὁ τοῦ ἡλίου ἐνιαυσιαῖος κύκλος ἄρχεται μὲν ἀπ' αὐτῆς τῆς πρώτης τοῦ Ὀκτωβρίου μηνὸς, τελειοῦται δὲ δι' ὅλου τοῦ Σεπτεμβρίου μηνὸς, ἰδίαν ἑκάτερος τάξιν περιόδου φυλάττοντες παρὰ τὴν ἰνδικτιῶνα καὶ τὸ ἔτος.

Digitized by Google

Ἑτέρα μέθοδος ψήφοι δι' ἧς εὑρίσκονται ἀκριβῶς ἐν ὁποτέρῳ τῶν δύο μηνῶν, ἤγουν Μαρτίου καὶ Ἀπριλλίου, καὶ εἰς τὰς πόσας τοῦ μηνὸς γίνεται ἐν ἑκάστῳ ἔτει τὸ πάσχα τὸ νομικόν.

Τὸν ἐφεστῶτα κύκλον τῆς σελήνης ἑνδεκαπλασίασον, καὶ τὰ συναγόμενα κρατῶν, πρόσθες τούτοις καὶ ἕτερα ἔξωθεν ἓξ, οὐκ ἀεί. κορυφώσας δὲ τὰ πάντα, ὕφελε αὐτὸν ἐπὶ τῶν $\bar{\lambda}$, καὶ τὰ καταλειπόμενα κάτωθεν τῶν $\bar{\lambda}$, κράτει. κρατῶν δὲ ταῦτα τὰ καταλειφθέντα, ἀναλόγισαι πόσα σοι λείπουσι πρὸς τὸν πεντηκοστὸν ἀριθμόν· καὶ ἀρξάμενος ἀπὸ τῆς πρώτης τοῦ Μαρτίου μηνὸς προστίθει τοῖς κρατουμένοις ἀπὸ τῶν ἡμερῶν τοῦ μηνὸς τὰ ἐλλείποντα, καὶ ὅτε οὐ σώζουσιν αἱ πᾶσαι ἡμέραι τοῦ Μαρτίου μετὰ τῶν κρατουμένων ἐκπληρῶσαι τὸν ζητούμενον πεντηκοστὸν ἀριθμὸν, βάδιζε καὶ ἐπὶ τὸν Ἀπρίλλιον, τοῦτο γὰρ καὶ ὡς ἐπὶ τὸ πολὺ συμβαίνει· καὶ προστίθει πάλιν καὶ ἐξ αὐτοῦ τοῦ Ἀπριλλίου μηνὸς, τὰ ἐλλείποντα πρὸς τὰ πεντήκοντα. καὶ ἁπλῶς οὕτω προβαίνων, ἔνθα ἂν εὕρῃς συμπληρούμενον τὸν πεντήκοντα ἀριθμὸν, ἐκείνῃ τῇ ἡμέρᾳ τελεῖται ἐκπαντὸς τὸ Πάσχα τὸ νομικόν.

Ἐν τῇ προεκτεθείσῃ μεθόδῳ κατὰ τὸ προλαβὸν τῇ εὑρισκούσῃ τὸ Πάσχα τὸ νομικὸν, τοῦτο παρελείφθη, μερικὸν ὑπάρχον παρατήρημα· ἐπεὶ γὰρ ἐδιδάχθης ἐκεῖ μετὰ τὸ ἑνδεκαπλασιάσαι τὸν ἐφεστῶτα τῆς σελήνης κύκλον προστιθέμεναι ἔξωθεν ἐπακτὰς ἓξ, καὶ τότε ποιεῖν πάλιν τὰ λοιπὰ παραγγέλματα πρὸς τὸ εὑρίσκειν τὸ Πάσχα τὸ νομικὸν, τοῦτο πλέον καὶ ἀναγκαῖον πάλιν νῦν σοι ὑποτίθεμεν, ὅτι τὰς προτιθεμένας ταύτας ἔξωθεν ἐπακτὰς ἐπὶ μὲν τῶν $\overline{\iota\varsigma}$ πάντων κύκλων τῆς σελήνης, ἓξ ὀφείλεις λαμβάνειν, ὡς προδεδήλωται· ἐπὶ δὲ τῶν τελευταίων αὐτῆς τριῶν κύκλων, ἤγουν τοῦ $\overline{\iota\xi}$, τοῦ $\overline{\iota\eta}$, καὶ τοῦ $\overline{\iota\theta}$, $\bar{\zeta}$ προστιθέναι κατὰ λόγον δεκαπλασιασμῷ τοῦ κύκλου ἐπακτὰς, καὶ οὕτως ὑφαιρεῖν τὰ ὅλα ἐπὶ τῶν $\bar{\lambda}$, καὶ κατὰ τὴν δηλωθεῖσαν ὑποθήκην εὕρισκε τὸ Πάσχα.

Ἀποτέλεσμα.

Ὑποδείγματος δὲ χάριν ψηφιστέον καὶ εὑρετέον διὰ ταύτης τῆς προεκτεθείσης μεθόδου, πότε μέλλει τελεῖσθαι κατὰ τὸν

Digitized by Google

παρόντα καιρὸν τὸ Πάσχα τὸ νομικόν. τὸ μὲν οὖν ἐνεστὼς ἔτος, καὶ ὁ τρέχων ἐν τούτῳ τῆς σελήνης κύκλος, ἤδη προεδηλώθη· ψηφίσωμεν δὲ οὕτω κατὰ τὸ παράγγελμα τῆς μεθόδου ἑνδεκάκις δεκατρεῖς, ρμγ, τούτοις προσθετέον, ὡς ἐμάθομεν, καὶ ἕτερα ἔξωθεν ς, καὶ ὁμοῦ ρμθ. ταῦτα οὖν ὑφαιροῦντες ἐπὶ τῶν λ, ἔχομεν καταλελειμμένα κάτωθεν τῶν λ, κθ, καὶ λοιπὸν κρατοῦντες ἀπὸ τῆς ἀρχῆς τοῦ Μαρτίου μηνὸς προστίθεμεν εἰς ἀναπλήρωσιν τῶν ν κα, καὶ ἰδοὺ εἰς τὴν κα Μαρτίου μέλλει τελεῖσθαι κατὰ τὸ παρὸν ἔτος τὸ Πάσχα τὸ νομικὸν ἐκ παντός.

Ἐπεὶ δὲ περὶ μὲν τῆς τοῦ νομικοῦ Πάσχα εὑρέσεως μέθοδον ἐξεθήκαμεν, καὶ ἀπεδείξαμεν ὅπως καταλαμβάνεται, τὸ δὲ ἡμέτερον τῶν Χριστιανῶν Πάσχα οὐκ ἐντεῦθεν διετρανώθη καὶ αὐτὸ, ἄδηλον γὰρ εἰσέτι μετὰ πόσας ἡμέρας ἑκάστοτε τοῦ νομικοῦ παρ' ἡμῶν ἐκτελεῖται· οὐ γὰρ τὸ αὐτὸ πάντη διαφυλάττει διάστημα, ἀλλὰ τὸ μὲν νομικὸν Πάσχα ποτὲ μὲν ἐν δευτέρᾳ τῆς ἑβδομάδος ἡμέρᾳ τελεῖται, ποτὲ δὲ ἐν τρίτῃ, ποτὲ δὲ ἐν ταῖς ἄλλαις πάσαις τῆς ἑβδομάδος ἡμέραις, ἔνθα δηλονότι ἡ ιε τῆς σελήνης καταντᾷ· ἡμεῖς δὲ αὐτὸ ἀεὶ ἐν κυριακῇ ἡμέρᾳ ἐκτελοῦμεν διὰ τὴν μνήμην τῆς ἀναστάσεως τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν. κἂν ἐν κυριακῇ καὶ τὸ νομικὸν Πάσχα τύχῃ πολλάκις γενέσθαι, ἡμεῖς διὰ τὸ μὴ συνελθεῖν τοῖς θεομάχοις Ἑβραίοις, εἰς τὴν ἐπιοῦσαν κυριακὴν τὸ ἡμέτερον ἑορτάζομεν Πάσχα, καὶ διὰ ταῦτα ὁ καταλαβὼν ἀπὸ τῆς προρρηθείσης μεθόδου τὸ Πάσχα τὸ νομικὸν γενησόμενον λόγου χάριν ἐν τῇ κα τοῦ Μαρτίου μηνὸς, καθὼς μέλλει γενέσθαι κατὰ τὸν παρόντα καιρὸν, ὡς προείπομεν οὐκ ἤδη, καὶ περὶ τοῦ ἡμετέρου Πάσχα διέγνω[1] εἰς τὰς πόσας τοῦ αὐτοῦ Μαρτίου μηνὸς τελεσθήσεται· οὐ γὰρ ἐδιδάχθη καὶ ἐν ποίᾳ τῆς ἑβδομάδος ἡμέρᾳ ἡ κα τοῦ Μαρτίου, ἤγουν τὸ Πάσχα τὸ νομικὸν λαγχάνει, ἵνα ἀπὸ τῆς ἡμέρας ἐκείνης ψηφίζων ἄχρι καὶ τῆς κυριακῆς, εὕρισκε καὶ τὸ τῶν Χριστιανῶν Πάσχα εἰς πόσας καὶ αὐτὸ τοῦ μηνὸς ὤφειλε γενέσθαι· ἐπεὶ οὖν ἄδηλον τοῦτο εἰσέτι καταλέλειπται, ῥητέον νῦν καὶ περὶ αὐτοῦ, καὶ διασαφητέον καὶ τοῦτο διὰ μεθόδου ἀπταίστου καὶ ἀκριβοῦς πρὸς βεβαίαν κατάληξιν.

[1] Leg. διεγνώκαμεν.

Digitized by Google

Μέθοδος ψήφοι εὑρισκοῦσης ἐν ἑκάστῃ ἡμέρᾳ ἑκάστου μηνὸς ποία τῆς ἑβδομάδος ἡμέρα τυγχάνει.

Πρῶτον μὲν οὖν ἰστέον ὅτι ιγ̅ οἱ πάντες κύκλοι τοῦ ἡλίου εἰσὶ πληρούμενοι, καὶ πάλιν ἀρχόμενοι ὥσπερ οἱ τῆς σελήνης ιθ̅. καὶ ῥᾴδιον κἀνταῦθα εὑρίσκειν ἐν ὁποίῳ τινὶ χρόνῳ τῶν ἀπὸ κτίσεως κόσμου ζητοίη, πόσος ἐστὶν ὁ τοῦ ἡλίου κύκλος, ὥσπερ δὴ καὶ ἐπὶ τῆς σελήνης προεδηλώθη. τέμνων γὰρ τοὺς ἀπὸ κτιστοῦ κόσμου χρόνους ἐπὶ τῶν κ ϛ̅, συντόμως καταλαμβάνει τὸν ἐν τῷ ζητουμένῳ καιρῷ τρέχοντα τοῦ ἡλίου κύκλον. ἔπειτα δὲ καὶ τοῦτό σοι ἔστω ἐγνωσμένον, ὅτι ἕκαστος τοῦ ἡλίου ἐνιαυσιαῖος κύκλος, ἀπὸ τοῦ πρώτου Ὀκτωβρίου μηνὸς τὴν ἀρχὴν ἔχει, καὶ τῷ τελεῖ τοῦ Σεπτεμβρίου συμπερατοῦται καὶ αὐτὸς, καθὰ καὶ τοῦτο προειρηκότες ἐφθάσαμεν.

Ἀρκτέον ἤδη τῆς μεθόδου. τὸν ἐφεστῶτα τοιγαροῦν κύκλον τοῦ ἡλίου ὁπόσος ἐστὶ, κράτει οὕτως ἁπλοῦν. ἔπειτα συλλογιζόμενος ἐν ἑαυτῷ πόσας ἔχει τετράδας ἐν ἑαυτῇ ἡ κρατουμένη ποσότης, κατὰ μίαν τετράδα, μίαν μονάδα πρόσθες τῷ ἀριθμῷ ἑκάστῳ, ἥτις λέγεται ἐπακτή· ποιεῖ δὲ ταύτην τὸ διὰ τεσσάρων ἐτῶν ἀποτελούμενον δίσεξστον, μεθὸ δὲ καὶ τὴν τοιαύτην ἀπὸ τῶν τετράδων προσθήκην συναγαγὼν ὁμαδεύσεις, τότε πάλιν ἀρξάμενος ἀπὸ τοῦ Ὀκτωβρίου μηνὸς μέχρι καὶ τοῦ ἐνισταμένου, ἐν ᾧ δηλονοτι ζήτεις, προστίθει τῷ προκρατουμένῳ ποσῷ ἀφ' ἑκάστου μηνὸς τοῦ μὲν ἔχοντος λα̅ ἡμέρας τ, τοῦ δὲ ἔχοντος λβ' ϛ'' Φευρουαρίου μόνου μηδόλως ἐντάττων τῷ ἀριθμῷ, ἀλλὰ παρατρέχων αὐτόν· καταντῶν δὲ εἰς μηνὰ ἐν ᾧ ἡ ζήτησις, ὅλας τὰς διαδραμούσας αὐτὰς ἡμέρας ἕως καὶ αὐτῆς τῆς ζητουμένης πρόσθες τοῖς προλαβοῦσι πᾶσι, καὶ μετὰ τὸ ἀναβιβάσαι σὲ καὶ κορυφῶσαι ταῦτα πάντα εἰς ἀριθμὸν, ὕφελε τὰ ὅλα ἐπὶ τῶν ἑπτά· καὶ ὅσα ἂν ἀπομείνωσι κατὰ τῶν ἑπτὰ, τοιαύτη ἐστὶ καὶ ἡ ζητουμένη τῆς ἑβδομάδος ἡμέρα. εἰ μὲν γὰρ ἓν εὑρεθῇ ἀπομεῖναν, κυριακή ἐστιν ἡ ἡμέρα περὶ ἧς ζήτεις μαθεῖν· εἰ δὲ δύο, β̅ζ̅ (sic), καὶ καθεξῆς ὁμοίως· ἐὰν ἓξ καταλειφθῶσιν, παρασκευή· καὶ ἐὰν ἑπτὰ σῶα, σάββατον, καὶ οὕτως ἀπταίστως εὑρίσκεται τὸ τῆς ἑβδομάδος ἡμερολόγιον· κἀντεῦθεν πάντα δυνατὸν καταλαμβάνεσθαι καὶ τὸ τῶν Χριστιανῶν Πάσχα εἰς πόσας τυγχάνει τοῦ

Digitized by Google

μηνός· εὑρίσκων γὰρ τὸ νομικὸν Πάσχα κατὰ τὴν προλαβοῦσαν τῆς σεληνιακῆς ψήφου μέθοδον ὁ ζητῶν ἐν ποίῳ τῷ μηνὶ καὶ εἰς τὰς πόσας τελεῖται τοῦ μηνὸς, τότε πάλιν ἐκ ταύτης τῆς κατὰ τὴν ἡλιακὴν ψῆφον μεθόδου τὴν ποστιαίαν ἐκείνην ἡμέραν τοῦ
5 μηνὸς, τὴν καὶ τὸ νομικὸν Πάσχα φέρουσαν, καταλαμβάνει ῥαδίως ἐν ποίᾳ ἡμέρᾳ τῆς ἑβδομάδος λαγχάνει· καὶ κράτει ἀπ' ἐκείνης μέχρι τῆς ἐρχομένης κυριακῆς ψηφί (sic), καὶ προστιθεὶς ὁμοίως τοσαῦτα τῷ πόσῳ τοῦ μηνὸς, ἀποφαίνεσαι συντόμως καὶ περὶ τοῦ ἡμετέρου Πάσχα εἰς τὰς πόσας μέλλει γίνεσθαι τοῦ μηνός.

10 Ἀποτέλεσμα.

Ὑποδειγμάτων δὲ χάριν ψηφιστέον, ὥσπερ ἐπὶ τῶν ἄλλων ἐποιήσαμεν, οὕτω καὶ τὸ περὶ τῆς ἡμέρας καὶ τῆς ἐντεῦθεν εὑρέσεως τοῦ Χριστιάνων Πάσχα, ἐπὶ τοῦ παρόντος καιροῦ, ἐν ᾧ κύκλος ἐστὶ τοῦ ἡλίου ἕβδομος. καὶ τοῦτο σαφὲς ἀπὸ τοῦ ἀριθμοῦ τῶν ὅλων ἐτῶν
15 ,ϛφπζ, ὥσπερ δεδήλωται, νῦν ὑπαρχόντων· τούτων γὰρ κατατεμνομένων ἐπὶ τὴν κϛ, τοσοῦτοι γὰρ οἱ πάντες κύκλοι τοῦ ἡλίου εἰσὶν, ὡς πολλάκις εἴπομεν, ταχέως καὶ ἀσφαλῶς ἀποδείκνυται ἕβδομος ὡς ἐρέθη ὁ κατὰ τὸν παρόντα καιρὸν τρέχων τοῦ ἡλίου κύκλος. ἐπεὶ οὖν προαπεδείξαμεν τὸ νομικὸν Πάσχα εἰς τὸν κζ τοῦ
20 Μαρτίου μηνὸς κατὰ τὴν παροῦσαν ἐγχρονίαν τελεσθησόμενοι, ψηφίσωμεν οὕτως κατὰ τὸ τῆς μεθόδου παράγγελμα· ὥστε εὑρεῖν ἐν ποίᾳ τῆς ἑβδομάδος ἡμέρᾳ λαγχάνει ἡ κζ τοῦ Μαρτίου μηνὸς, ἤγουν τὸ Πάσχα τὸ νομικόν. ἑβδόμου γὰρ ὄντος τοῦ κύκλου τοῦ ἡλίου, κρατοῦμεν πρῶτον ἑπτὰ, καθὼς ἐδιδάχθημεν, ἔπειτα συλλο-
25 γιζόμενοι πόσας τετράδας ἔχει ὁ ἑπτὰ ἀριθμὸς ἐν ἑαυτῷ, εὑρίσκομεν ὅτι μίαν μόνην, καὶ προστιθέντες ἀντὶ ταύτης τῆς μίας τετράδος μονάδα μίαν τῷ ἑπτὰ ἀριθμῷ, ποιοῦμεν Ὀκτώβριον· εἶτα κρατοῦμεν πρῶτον ἀπὸ τοῦ Ὀκτωβρίου μηνὸς, ὡς παρηγγέλθημεν, καὶ ὡς ἔχοντα λζ ἡμέρας, ἀποφαινοῦμεν ϝ, καὶ προστίθεμεν τοῦ
30 προτέρου Ὀκτωβρίου, ὁμοῦ ιζ. καὶ καθεξῆς ἀπὸ τοῦ Νοεμβρίου ὡς ἔχοντος λ' ἡμέρας, πάλιν δύο. καὶ προστιθέντες καὶ αὐτὸν ποιοῦμεν πάλιν ιϟ. ἀπὸ τοῦ Δεκεμβρίου ὁμοῦ ις. ἀπὸ τοῦ Ἰανουαρίου ϝ· ὁμοῦ ιϟ. τὸν Φευρουάριον καταλιμπάνομεν πάντως, ὡς ἐδιδάχθημεν. καταντῶντες δὲ εἰς τὸν Μάρτιον, ἐπεὶ ἐν αὐτῷ ἐστὶ

Digitized by Google

τὸ ζητούμενον, τὰς ὅλας τούτου ἡμέρας, τὰς ἕως αὐτῆς δηλονότι τῆς ζητουμένης, ἤγουν τῆς κζ, συναριθμοῦμεν τοῖς προτέροις ι ∽. καὶ γίνονται αἱ ὅλαι ὁμοῦ μδ. ταῦτα δὲ λοιπὸν ὑφαιροῦμεν ἐπὶ τῶν ἑπτὰ, καὶ εὑρίσκονται ἀπομένοντα κάτωθεν τῶν ἑπτὰ, πέντε. ἔσται οὖν κατὰ τὸ τῆς μεθόδου ἀκριβὲς παράγγελμα. καὶ ἐν ☉ ἡμέρᾳ τῆς ἑβδομάδος, ἡ κζ τοῦ Μαρτίου μηνὸς, τοῦ κατὰ τὸν παρόντα καιρὸν μέλλοντος ἐπιστῆναι οὐκ εἰς μακρὸν, ἤγουν τὸ Πάσχα τὸ νομικὸν, καὶ λοιπὸν ῥαδίως ἐντεῦθεν καὶ περὶ τοῦ τῶν Χριστιανῶν Πάσχα διαγνῶναι τοῦ ἐν κυριακῇ ἀεὶ ἑορταζομένου. ὅσαι γὰρ ἡμέραι τῆς ἑβδομάδος ἀπὸ τῆς πέμπτης μέχρι τῆς κυριακῆς τρεῖς δηλονότι, τοιαύτῃ τῇ κζ τοῦ μηνὸς προστίθενται τρεῖς δηλαδὴ πάλιν, ἀπταίστως ἀποφαινόμενοι ἐν τοῖς κδ τοῦ Μαρτίου μηνὸς ἔσεσθαι καὶ τὸ τῶν Χριστιανῶν Πάσχα ἐν τῷ παρόντι καιρῷ.

Ταύτας τοιγαροῦν τὰς μεθόδους τοῦ τε μηνολογίου, τοῦ διὰ τῶν σεληνιακῶν κύκλων ἀποτελουμένου, καὶ τοῦ ἡμερολογίου πάλιν, τοῦ διὰ τῶν ἡλιακῶν κύκλων καταλαμβανομένου, ἀκριβῶς τις ἐπιγινώσκων, δύναιτο πάντως καὶ ἐπὶ πάντων τῶν μελλόντων χρόνων ἀπταίστως ἐκθεῖναι τὰ ἐτήσια πασχάλια, τά τε νομικὰ δηλαδὴ, καὶ τὰ τῶν Χριστιανῶν. Ἵνα δὲ καὶ περὶ τῆς ἀποκρέω ἔσχῃ προειδέναι, ὁπότε καὶ αὕτη ἐν ἑκάστῳ καιρῷ μέλλοι προβαίνειν, σαφεστάτην καὶ τούτου διάγνωσιν καὶ συντομωτάτην ταύτην ἐχέτω παραλαβών. ἐπειδὰν γὰρ διὰ τῶν προτεθέντων ἀπταίστων μεθόδων εὕρῃ τὸ τῶν Χριστιανῶν Πάσχα ἐν τῷ ζητουμένῳ καιρῷ γενησόμενον, κατὰ τὰς τοσαύτας τοῦ δεῖνος μηνὸς ὀπισθοδρομῶν εὐθὺς εἰς τὸ πρὸ τοῦ πρὸ ἐκείνου τοῦ μηνὸς ἐν τῷ παρατρέχειν δηλονότι τὸν μέσον, κρατῶν πάλιν τούτου τοῦ μηνὸς τοσαύτας ἡμέρας, εἶτα προσθεὶς ταύταις ἑτέρας τρεῖς ἡμέρας κατὰ προαίρεσιν, ὅτε δηλονότι οὐκ ἔστι δίσεξστον, εἰ δὲ ἐστὶ, τέσσαρα αὐτὴν τὴν καταλαμβανομένην ποστιαίαν ἡμέραν τοῦ μηνὸς, ἐκείνην ἀποφηνάσθω εἶναι ἀποκρέω. Τεθείσθω δὲ καὶ τούτου ὑπόδειγμα σαφὲς πάλιν ἀπὸ τοῦ ἐνεστῶτος καιροῦ. ἐπειδὴ γὰρ, ὡς προαποδέδεικται, ἐν τῇ κδ τοῦ Μαρτίου μηνὸς μέλλει ἐξ ἀνάγκης τὸ ἡμέτερον Πάσχα νυνὶ τελεσθήσεσθαι, ὀπισθοδρομοῦμεν κατὰ τὸ παράγγελμα εἰς τὸν πρὸ Μαρτίου μηνὸς, ἤγουν τὸν Ἰαννουάριον, παρατρέχοντες τὸν μέσον δηλονότι τὸν Φευρουάριον, καὶ κρατοῦμεν τοῦ Ἰαννουαρίου τὰς κδ,

Digitized by Google

ὅσας δηλαδὴ μέλλει ἔχειν καὶ ὁ Μάρτιος ἐν τῷ μζ' τοῦ Πάσχα καὶ ταύταις ταῖς κδ τοῦ Ἰαννουαρίου προστίθεμεν ἑτέρας γ̄, ὡς ἐδιδάχθημεν, ἐπειδὴ ἐν τῷ παρόντι ἔτει δίσεξστον οὐκ ἔστι, καὶ εὑρίσκομεν τὴν κζ̄ τοῦ Ἰαννουαρίου, καὶ ἐν αὐτῇ προβαίνουσαν ἐκ παντὸς τὴν ἀποκρέω· καὶ μενοῦν καὶ τότε ἀποκρεώσαντες ἤδη ἐφθάσαμεν σὺν Θεῷ.

Ἔστι καὶ ἑτέρα ψῆφος τῆς εὑρέσεως τῆς ἡμέρας τῆς γενέσεως, ἣν καλοῦσι ποιμενικὴν, πλὴν οὐ συνᾴδει κατὰ τὸ ἀποτέλεσμα τῇ προλαβούσῃ ψήφῳ, ἤγουν τῇ νοταρικῇ. ἔστι δὲ αὕτη. Ἴδε πόσας ἔχει ἡ σελήνη εἰς τὴν πρώτην τοῦ Ἰαννουαρίου μηνὸς, ὅπερ λέγεται θεμέλιον, καὶ κρατῶν τοῦτο τὸ ποστὸν ἄρξαι ἀπὸ μηνὸς Μαρτίου, καθ' ἕνα μῆνα μίαν ἡμέραν προστιθεὶς ἕως τοῦ ἐνεστῶτος μηνὸς, τούτου δὲ πάλιν τοῦ μηνὸς πάσας τὰς παραδραμούσας ἡμέρας ἄχρι καὶ τῆς ζητουμένης συνάγων, καὶ ὁπηνίκα ὁμαδεύσῃς ἁπάσας, ὕφειλε τὸ πᾶν τοῦ ἀριθμοῦ ἐπὶ τῶν λ̄, καὶ τὰ ὑπολιμπανόμενα κάτωθεν τῶν λ̄, ἢ καὶ σῶα τὰ λ, δηλοποιοῦσι τὴν ποστιαίαν ἡμέραν τῆς σελήνης.

Πῶς εὑρίσκεται ἐξ ἀρχῆς ὁ θεμέλιος τῆς σελήνης.

Ἀνάλυε τὰς τξε ἡμέρας τοῦ ἐνιαυτοῦ ἐπὶ τῶν ξ̄, καὶ μετὰ ἓξ ἑξηκοντάδων ἀφαίρεσιν ὑπολιμπάνονται, πάντα ταῦτα κρατῶν, καὶ προστίθει καὶ ἓξ ἀντὶ τῶν ἀφαιρεθεισῶν ἓξ ἑξηκοντάδων, καὶ ἰδοὺ ἕνδεκα, τούτοις προσεπίβαλε καὶ τὴν $α^{ην}$ Ἰαννουαρίου, καὶ ἰδοὺ ιβ̄, καὶ οὗτός ἐστιν ὁ πρῶτος θεμέλιος τοῦ πρώτου κύκλου τῆς σελήνης· ἐντεῦθεν ὁρμώμενος καὶ εἰς τὸν ἐπιόντα κύκλον τῆς σελήνης, ἤγουν τὸν β̄, κατὰ τὴν ᾱ τοῦ Ἰαννουαρίου προστίθει τοῖς πρόρρηθεῖσι ιβ̄ ἕτερα ιᾱ, καὶ ὁμοῦ κγ̄, καὶ ταῦτα πάλιν ἐστὶν ὁ θεμέλιος τοῦ β̄ κύκλου τῆς σελήνης. ὁμοίως καὶ ἐπὶ τοῦ τρίτου κύκλου προστίθει πάλιν ἕτερα ιᾱ, καὶ ἰδοὺ λδ̄, ὕφελε τὰς λ̄, καὶ μένουσι τέσσαρα, καὶ ταῦτα εἰσὶν ὁ θεμέλιος τοῦ τρίτου κύκλου, καὶ οὕτω καθεξῆς προβαίνων καὶ προστιθεὶς καθ' ἕκαστον ἐνιαυτὸν τὰς ιᾱ. ὅτε δὲ ὑπερβαίνουσι τὰ λ̄, ὑφαιρῶν τὰ ἐπέκεινα, εὑρήσεις τῶν ιθ κύκλων τοὺς θεμελίους.

Digitized by Google

Περὶ τῶν κλιμάτων τῆς γῆς ἐν οἷς συμβαίνει αὔξησις καὶ μείωσις τοῦ νυχθημέρου ἐναλλὰξ διὰ τοῦ ἐνιαυτοῦ ἐφ' ἑκάστῳ ἀλλήλοις.

Κλίματα ἑπτὰ τῆς ὅλης ὑπάρχουσι γῆς τὰ δεχόμενα διάφορον ἕκαστον τὴν τοῦ νυχθημέρου αὔξησιν καὶ μείωσιν κατὰ τὰς τῶν καιρῶν δηλονότι τοῦ ἐνιαυτοῦ ἀλλοιώσεις· ἐκτὸς μέντοι τοῦ μέρους ἐκείνου ἐν ᾧ κατοικοῦσιν οἱ Αἰθίοπες. ἐκεῖσε γὰρ δι' ὅλου τοῦ ἐνιαυτοῦ ἰσημερία ἐστι, μηδέποτε κατὰ μηδένα καιρὸν ἐπιδιδούσης ἢ ληγούσης τῆς ἡμέρας ἢ τῆς νυκτὸς, ἀλλ' ἀεὶ καὶ δι' ὅλου τοῦ χρόνου ἴσων ἀλλήλαις διαμενουσῶν ἑκατέρων, ἤτοι ἀνὰ δώδεκα ὥρας διὰ παντὸς ἐχουσῶν, ἀλλ' ἤδη περὶ τῶν ἐπιδεχομένων τὰς παρ' ἑκατέρου τοῦ νυχθημέρου αὐξήσεις, ὡς προείρηται, διαληπτέον κλιμάτων. Τὸ μὲν οὖν πρῶτον κλίμα ἐστὶ τὸ διὰ Μερόης, ἐν ᾧ καταμένουσι Τρωγλοδύται. ἐνταῦθα ἡ θερινὴ τροπὴ ἀρχομένη ἀπὸ τῆς $\bar{\kappa}$ τοῦ Μαρτίου μηνὸς, καὶ ὑπεραναβαίνουσα τὴν ἰσημερίαν ἄχρι τῆς κγ τοῦ Ἰουνίου μηνὸς, καὶ προστιθεῖσα ἑκάστοτε ὡς εἰκὸς μικράν τινα αὔξησιν τῇ ἡμέρᾳ, διὰ πασῶν τῶν ἐν τῷ μέσῳ ἡμερῶν, εἰς ὥρας μιᾶς διάστημα τὴν τελευταίαν καὶ μείζονα πρόσθεσιν ἀποτελεῖ. ὡς γεγενῆσθαι τὴν μεγίστην τοῦ θέρους ἡμέραν ἐν ἐκείνῳ τῷ τόπῳ ὡρῶν ιγ, μιᾶς δηλονότι, καθὰ προδιασεσάφηται, προστεθείσης ὥρας αὐτῇ, μετὰ τὴν ἰσημερίαν διὰ τῆς κατὰ μικρὸν προαυξήσεως. τὸ δ' αὐτὸ πάντως καὶ ἐπὶ τῆς χειμερινῆς τροπῆς ἀμοιβαδὸν περὶ τὴν νύκτα συμβαίνει· αὐξανομένην γὰρ καὶ αὐτὴν κατὰ μικρὸν ἀπὸ τῆς κβ τοῦ Σεπτεμβρίου μηνὸς ἄχρι τῆς κε τοῦ Δεκεμβρίου μηνὸς, ὅλην τὴν ὥραν τὸ μεῖζον καὶ τελευταῖον ἐπέκεινα τῆς ἰσημερίας εἰς ἐπίδοσιν προσλαμβάνει. δῆλον δὲ πάντως ὅτι ὅτε ἑκατέρα ιγ ὡρῶν ἀποτελεῖται, τὴν νύκτα λέγω καὶ τὴν ἡμέραν, ἡ ἑτέρα ια ὡρῶν καθίσταται· ὃ γὰρ θατέρᾳ προστίθεται, τοῦτο τῇ ἑτέρᾳ ἐλλείπει.

Τὸ δὲ δεύτερον κλίμα τὸ διὰ Συήνης ἐστὶν, ἐν ᾧ οἰκοῦσιν Αἰγύπτιοι· ἐνταῦθα αἱ τροπαὶ τῶν καιρῶν κατὰ ἐναλλαγὴν συμβαίνουσαι, ὡς εἰρήκαμεν, τῇ τε ἡμέρᾳ καὶ τῇ νυκτὶ ἀνὰ μίαν ὥραν καὶ ἡμίσειαν τὸ μεῖζον καὶ ἔσχατον προστιθέασιν εἰς ἐπαύξησιν

Digitized by Google

τῆς ἰσημερίας, ὡς τὴν μείζονα ἐξ ἑκατέρας ἐν τῷ οἰκείῳ καιρῷ ιγ̄ ὡρῶν ἀποτελεῖσθαι.

Τὸ δὲ τρίτον κλίμα ἐστὶν ὅπου ἡ Ἀλεξάνδρεια καὶ τὰ περὶξ αὐτῆς. ἐνταῦθα ἡ μεγίστη ἡμέρα καὶ νὺξ κατὰ τὸν οἰκεῖον δηλον-
5 ότι ἑκατέρα καιρὸν εἰς ιδ̄ ὥρας προβαίνει, ὥστε ἡ ἐλάττων εἰς ῑ καταντᾷ.

Τὸ δὲ τέταρτον κλίμα πέφυκεν ἐν ᾧ Ῥόδος καὶ Ἑλλὰς καὶ ἡ Ἀσία. ἐνταῦθα ἡ μείζων νὺξ καὶ ἡμέρα ἐναλλὰξ αὐξόμεναι καὶ μειούμεναι ιδ̄ ὡρῶν ἀποτελεῖται, ὥστε καὶ ἡ ἐλάττων αὖθις ἐξ
10 ἑκατέρας εἰς θ̄ κανταντᾷ.

Τὸ δὲ πέμπτον κλίμα ἐστὶ τὸ δι' Ἑλλησπόντου, ἤγουν τὰ βορειότερα τῆς Ἑλλάδος, καὶ τὰ μεσόγεια τοῦ τε Ὀψικίνου καλουμένου, τῶν Βουκελάρων, καὶ τῶν Ἀρμενιακῶν. ἐνταῦθα ἡ μείζων ἡμέρα καὶ νὺξ ιε̄ ὡρῶν ἀποτελεῖται, ὥστε ἡ ἐλάττων κατὰ
15 τὸ ἀναλογοῦν θ̄ ὡρῶν.

Τὸ δὲ ἕκτον κλίμα ἐστὶν ἔνθα κεῖται ἡ Ἀβὰρ, καὶ ὁ Εὔξεινος πόντος, ἔνθα κατοικοῦσιν οἱ Ἀρμένιοι, καὶ τὰ μέρη τῶν Κασπίων πυλῶν, ἐνταῦθα ἡ μείζων ἡμέρα καὶ νὺξ εἰς ιε̄ ὥρας προβαίνει, καὶ ἡ ἐλάττων ὑποβαίνει κατὰ ἀναλογίαν εἰς η̄.

20 Τὸ ἕβδομον κλίμα ἐστὶ τὸ διὰ Βορυσθένους, ἤγουν τοῦ Δανούβεος καὶ τὰ βορειότερα, ὅπου κατοικοῦσι Φράγγοι καὶ Χάζαροι, ἐγγίζοντες τῷ ὠκεανῷ. ἐκεῖ ἡ μείζων ἡμέρα καὶ νὺξ ἀποτελεῖται διὰ δεκαὲξ ὡρῶν, ἡ δὲ ἐλάττων ὀκτώ. Κατὰ δὲ τὸ πάνυ βορειότερον μέρος τῆς γῆς, κεῖται ἡ νῆσος ἡ Θούλη ἐν τῷ ὠκεανῷ·
25 γίνεται δὲ ἐν αὐτῷ ἡ μείζων ἡμέρα τε καὶ νὺξ, κατὰ τὸν οἰκεῖον ἑκάτερον καιρὸν, ὡς προδεδήλωται, ὡρῶν εἴκοσιν, ὥστε ἡ ἐλάττων πάλιν ὡρῶν τεσσάρων.

Ἐπὶ δὲ τῶν βορειοτέρων πάλιν οἰκήσεων, ἤγουν τῶν Κιμμερίων, τῶν ἐρήμων καὶ ἀοικήτων, λέγουσιν ἑκατέραν τροπὴν εἰς τὸ παν-
30 τελὲς τῇ τε ἡμέρᾳ καὶ τῇ νυκτὶ, ἀνὰ μέρος τὰς κδ̄ ὅλας ὥρας προστιθέναι κατ' ἐπαύξησιν. ὥστε ἀπὸ τῆς εἰκοστῆς τοῦ Μαρτίου μηνὸς, ὅθεν ἡ θερινὴ τροπὴ ἄρχεται, ἄχρι τῆς κβ̄ τοῦ Σεπτεμβρίου, ἐν ὅλῳ δὴ τῷ ἑξαμήνῳ, ἡμέραν διὰ παντὸς ἐκεῖσε εἶναι ἀνέσπερον, φωτιζομένου διηνεκῶς τοῦ τόπου, καὶ νυκτὶ μὴ διδόν-
35 τος ὅλως παρείσδυσιν· καὶ ἔμπαλιν ἀπὸ τῆς εἰκοστῆς δευτέρας

Digitized by Google

τοῦ Σεπτεμβρίου ἄχρι τῆς εἰκοστῆς τοῦ Μαρτίου, κατὰ τὴν χειμερινὴν δηλονότι τροπὴν, ἑσπέραν καθόλου ἀφεγγῆ τυγχάνειν ἅπαν τὸ ἑξάμηνον, τοῦ ἡλίου τηνικαῦτα πρὸς τῷ νοτιωτέρῳ μέρει τῆς γῆς γινομένου, καὶ ἀποκρυπτομένου ἐκεῖθεν παντελῶς, καὶ μηδὲ βραχὺ φῶς τῷ τόπῳ παρέχοντος, ἄχρι πάλιν φθάσει τὴν εἰκοστὴν τοῦ Μαρτίου μηνὸς, καὶ γένηται ἐν τῷ κριῷ καὶ τοῖς βορείοις μέρεσι, καὶ ἄρξηται πάλιν διηνεκῶς φωτίζειν τοὺς τόπους ἐκείνους.

Περὶ τοῦ ποτέρα προτέρα ἡ ἡμέρα τῆς νυκτὸς, ἢ ἡ νὺξ τῆς ἡμέρας.

Κατὰ μὲν τὴν Μωσαϊκὴν τοῦ νόμου κοσμοποιΐαν, ἀδύνατον ἐστὶν εἰπεῖν προτερεύειν τὴν νύκτα τῆς ἡμέρας· πρώτη γὰρ τοῦ Θεοῦ τοῦ ἀληθινοῦ φωτὸς φωνὴ, τὴν τοῦ φωτὸς, φύσιν ἐποίησε· καὶ λοιπὸν ἐγένετο ἑσπέρα, δύναντος τοῦ φωτὸς, ἥτις ἐκλήθη νύξ· καὶ ἐγένετο πρωὶ ἡμέρα μία. ἐπειδὴ δὲ "εἴ τις ἐν Χριστῷ καινὴ "κτίσις," ὥς φησιν ὁ Ἀπόστολος, οὐκέτι ἡ Χριστοῦ ἐκκλησία τῇ Μωσαϊκῇ ἀκολουθίᾳ συνίσταται, ἐπεὶ εὑρίσκεται ὁ Χριστὸς σαββάτῳ ἐκ νεκρῶν ἀναστὰς, τουτέστι τῇ νυκτὶ τῇ μετὰ τὸ σάββατον, διὸ ᾠκονόμησε καὶ προσέταξεν ὁ Θεὸς καὶ Ἰουδαίοις ἀπὸ ἑσπέρας ἄρχεσθαι τοῦ σαββάτου, τουτέστιν ἀπὸ ἡλίου δυσμῶν τῆς παρασκευῆς, ἵνα μὴ ἔχωσιν εὔλογον πρόφασιν καθ' ἡμῶν ἀρχομένων ἀπὸ ἑσπέρας τοῦ σαββάτου τῆς κυριακῆς. τοῦτο δὲ ἐποίησεν ὁ Θεὸς, ἵνα μάθῃς ὅτι ἀπὸ σκότους εἰς φῶς ἔλθομεν, διὰ τοῦτο ἀπὸ σκότους μὲν ἀρχόμεθα, εἰς φῶς δὲ καταπαύομεν τῆς ἡμέρας. Ἰστέον ὅτι τὸ Μωϋσῆς ὄνομα ψηφιζόμενον, συνάγει εἰς ἀριθμὸν, χίλια ἑξακόσια τεσσαράκοντα ὀκτὼ, καὶ εὑρέθη ὁ Μωσαϊκὸς νόμος κρατήσας τοσαῦτα ἔτη· τὸ δὲ Χριστὸς ὄνομα πάλιν ψηφιζόμενον συνάγει ἀριθμὸν χίλια τετρακόσια ὀγδοήκοντα· καὶ λέγουσιν οἱ ταῦτα ἑρμηνεύοντες, ὅτι τοσαῦτα ἔτη μέλλει κρατῆσαι καὶ τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, ἀριθμούμενα ἀπὸ τοῦ καιροῦ τῆς ἐνανθρωπήσεως αὐτοῦ· οἱ δὲ τὸ σταυρὸς ὄνομα ψηφίζοντες, συνάγουσιν ἀριθμὸν χίλια διακόσια ἑβδομήκοντα ἓν, καὶ λέγουσι πάλιν ὅτι τοσαῦτα ἔτη μέλλει κρατῆσαι ἡ προσκύνησις τοῦ σταυροῦ, ἀριθμούμενα ἀπὸ τοῦ καιροῦ τῆς ἐν αὐτῷ προσηλώ-

Digitized by Google

σεως τοῦ Χριστοῦ· ὁποτέρως δ' ἂν ἔχοι τὸ ἀληθὲς, ἕως τότε καὶ ὁ παρὼν συμπληροῦσθαι ὀφείλει αἰὼν, ὡς ἐκ τῶν γραφῶν μανθάνομεν.

Ἰστέον δὲ καὶ τοῦτο, ὅτι τριάκοντα τριῶν ἐτῶν γενόμενος ὁ Χριστὸς, κατὰ τὴν ἔνσαρκον αὐτοῦ ἐπὶ τῆς γῆς παρουσίαν, ἐσταυρώθη καὶ ἀπέθανεν ὡς ἄνθρωπος, καὶ τοῦτο ἀναμφίβολον παρὰ πᾶσιν ἐστίν. οἱ οὖν λέγοντες ὅτι ὁ Χριστὸς ἐγεννήθη μὲν τὸ κατὰ σάρκα ἐν ἔτει ,εφ, ἐσταυρώθη δὲ ἀκολούθως ἐν ἔτει τῷ ,εφλγ, ψεύδονται σφάλλοντες· καὶ πῶς σαφὴς ἡ ἀπόδειξις. συμψηφιζομένων γὰρ τούτων τῶν ἐξ ἀρχῆς ἁπάντων ἐτῶν τῶν ,εφλγ, καὶ περιοδευομένων ἐπὶ τῶν δεκαεννέα, τοσοῦτοι γάρ εἰσιν οἱ κύκλοι τῆς σελήνης, εὑρίσκεται ὁμολογουμένως τέταρτος ὁ κύκλος τῆς σελήνης ἐν ἐκείνῳ τῷ ἔτει, ἤγουν τῷ ,εφλγ· τετάρτου δὲ ὄντος ἐκ παντὸς κύκλου τῷ τότε τῆς σελήνης, εὑρίσκεται διὰ τῆς ἀπταίστου τοῦ πασχαλογίου ψήφου τὸ Πάσχα τὸ νομικὸν ἐν τῇ τριακοστῇ τοῦ Μαρτίου μηνὸς γενόμενον, κατὰ τὴν ιε τῆς σελήνης δηλονότι ἡμέραν. ὅτε δὲ ἔπαθεν ὁ Χριστὸς ὑπὲρ ἡμῶν τὸ σωτήριον πάθος, εἰκοστὴ τρίτη ἦν τοῦ Μαρτίου μηνὸς, καὶ ιδ τῆς σελήνης, ἑσπέρα δηλονότι τοῦ Πάσχα τοῦ νομικοῦ, ὃ καὶ προλαβὼν μίαν ἡμέραν ἔφαγεν ὁ Χριστὸς μετὰ τῶν μαθητῶν αὐτοῦ διὰ τὸ μέλλειν τελευτᾷν, ἤγουν τῇ μεγάλῃ πέμπτῃ, τῇ κβ τοῦ Μαρτίου μηνὸς, καὶ ιγ τῆς σελήνης. οὕτως οὖν εὑρίσκονται σφάλλοντες περὶ τὸν καιρὸν τῆς κατὰ σάρκα γεννήσεως τοῦ Χριστοῦ οἱ λέγοντες αὐτὸν ἐν ἔτει ,εφ γεννηθῆναι. ἀπὸ τοῦ προσκρούειν τῇ ψήφῳ τοῦ νομικοῦ Πάσχα, καὶ ἐναντιοῦσθαι ταῖς γραφαῖς, καὶ τοῖς ὡμολογουμένοις ἐν τῷ πάθει τοῦ σωτῆρος παρακολουθήμασιν. οἱ δέ γε ἀκριβέστερον ἀναγράψαντες τοὺς χρόνους καὶ τῆς ἀληθείας ὡς ἐπίσης ἐχόμενοι, λέγουσιν, ὅτι ἡ μὲν τοῦ Θεοῦ λόγου ἐνανθρώπησις γεγόνεν ἐν ἔτει ἀπὸ κτίσεως κόσμου ,εφς, τὸ δὲ σωτήριον αὐτοῦ πάθος, ἐπεὶ τριάκοντα τρεῖς χρόνους τοὺς πάντας, ὡς ὡμολόγηται, ἀνεστράφη ἐπὶ τῆς γῆς, ἐν ἔτει ,εφλθ, ὁπηνίκα δὴ καὶ εὑρίσκεται δέκατος προτρέχων τῆς σελήνης κύκλος, ἐν τούτῳ δὲ ψηφιζόμενον τὸ Πάσχα εὑρίσκεται ἐν τῇ κδ τοῦ Μαρτίου μηνὸς γινόμενον· τότε γὰρ φέρει ἡ σελήνη ιε ἐν ἡμέρᾳ σαβ-

Digitized by Google

βάτου, καὶ οὕτως φαίνεται συνᾴδων ὁ χρόνος πάσῃ τῇ τότε ἀκολουθίᾳ· ἐν γὰρ τῇ κγ τοῦ Μαρτίου μηνὸς ἰδ τῆς σελήνης ἡμέρᾳ παρασκευῇ τὸ σωτήριον πάθος ὑπέστη Χριστὸς ὁ Θεὸς ἡμῶν, τῇ ἑσπέρᾳ δηλαδὴ τοῦ νομικοῦ Πάσχα, καὶ τῇ κε τοῦ αὐτοῦ Μαρτίου μηνὸς, ἀνέστη μετὰ τρεῖς δηλονότι τοῦ ἀποθανεῖν ἡμέρας, συντρε- 5 χόντων ἐπὶ τὸ αὐτὸ καὶ τῶν ἄλλων ἁπάντων τοῦ καιροῦ ἐκείνου παρατηρημάτων· κατὰ τὸν προειρημένον τοῦ σοφοῦ Χρυσοστόμου ἀκριβασμὸν τῆς τε ἰσημερίας καὶ τῆς πανσελήνου, καὶ τῆς ἐκπτώσεως τοῦ πρωτοπλάστου, καὶ πασῶν τῶν λοιπῶν προθεσμιῶν, ὧν ὁ Χρυσόστομος τρανότερον διεξῆλθεν, ὡς προείπομεν, ἐν τῷ εἰς 10 τὸ Πάσχα λόγῳ αὐτοῦ, οὗ ἡ ἀρχὴ, "Χθὲς ἀδελφοὶ περὶ τῆς προ- "θεσμίας τοῦ Πάσχα."

Τοῦ Ἁγίου Γρηγορίου τοῦ Νύσσης.

Ἡ δὲ συνήθης αὕτη τῶν ὀνείρων ὄψις, κοινὴ πάντων ἐστὶ, πολυτρόπως καὶ πολυειδῶς ταῖς φαντασίαις ἐγγινομένη· ἢ γὰρ παρα- 15 μένει, καθὼς εἴρηται, τῷ μνημονικῷ τῆς ψυχῆς τῶν μεθημερινῶν ἐπιτηδευμάτων τὰ ἀπηχήματα, ἢ πολλάκις καὶ πρὸς τὰς ποιὰς τοῦ σώματος διαθέσεις ἡ τῶν ἐνυπνίων κατάστασις ἀνατυποῦται· οὕτω γὰρ ὁ διψῶδης ἐν πηγαῖς εἶναι δοκεῖ, καὶ ἐν εὐωχίαις ὁ τροφῆς προσδεόμενος. ἔτι δὲ πρὸς τὰς τῶν ἠθῶν καταστάσεις 20 προτυποῦται τοῖς πολλοῖς τὰ ἐνύπνια· ἄλλα τοῦ ἀνδρείου, καὶ ἄλλα τοῦ δειλοῦ τὰ φαντάσματα· ἄλλοι τοῦ ἀκολάστου οἱ ὄνειροι, καὶ ἄλλοι τοῦ σώφρονος, οὐδαμοῦ τῆς διανοίας, ἀλλὰ τῆς ἀλογωτέρας διαθέσεως ἐν τῇ ψυχῇ τὰς τῆς αὐτῆς φαντασίας ἀνατυπούσης. 25

Σεβηριανοῦ ἐπισκόπου Γαβάλων.

Ἡ τοῦ ἀνθρώπου προσηγορία τῇ Ἑβραϊκῇ φωνῇ πῦρ ἑρμηνεύεται· τοῦτο τὸ ὄνομα οὐκ ἐδόθη ἀργῶς τῷ[1] Ἀδὰμ, ἀλλὰ τέσσαρα εἰσὶ στοιχεῖα ἐν τῷ κόσμῳ, γῆ, ὕδωρ, ἀὴρ, πῦρ· τῶν ἄλλων στοιχείων ἕκαστον, ὡς ἔστι μένει· οἷον ἐὰν λάβῃς βῶλον γῆς, πρόσ- 30 θῆναι αὐτοῦ οὐ δύνῃ ἀπ' αὐτοῦ τοῦ κατεχομένου, ἀλλ' οἷον ἐστὶ μένει· ὕδωρ ἐὰν λάβῃς μέτρῳ τινὶ, μένει τὸ αὐτὸ ὕδωρ, προσ-

[1] τὸ Cod.

Digitized by Google

θήκην μὴ λαμβάνον· ἀέρος ἐὰν πληρώῃς ἀσκὸν, μένει τὸ μέτρον· ἄλλον ἀσκὸν ἀπ' ἐκείνου πληρῶσαι οὐ δύνῃ· τὸ δὲ πῦρ οὐ μένει, οἷον ἐστί. μικρὸν ἅπτεσθαι λύχνον, καὶ μυρίας ἐξ αὐτοῦ ἀνάπτει λαμπάδας, κάμινον ὅλην, φλόγα πᾶσαν ἀποτελεῖ ἐν τῇ ἰδίᾳ ὄψει· 5 καὶ ὅσον ἂν λάβῃ τινὰ ὕλην, πλεονάζει τὸ πῦρ. ἐπεὶ οὖν προῄδει ὁ Θεὸς ὅτι ἀπὸ ἑνὸς ἀνθρωπίνου σώματος πληροῦται τῆς οἰκουμένης τὰ πέρατα· καὶ εἰς λύχνον τοσαύτας ἐξάπτει λαμπάδας, ἀνατολῆς, δύσεως, ἄρκτου, καὶ μεσημβρίας, ἔθηκεν ὄνομα τοῦ πράγματος, διὰ τοῦτο καὶ αὐτοῦ τοῦ Ἀδὰμ τὸ ὄνομα ἀρραβὼν 10 ἦν τῆς οἰκουμένης· ἐπειδὴ ἔμελλε τὰ τέσσαρα κλίματα ἐξ αὐτοῦ πληροῦσθαι, τίθησιν αὐτοῦ Ἀδάμ· ἄλφα, ἀνατολή· δέλτα, δύσις· ἄλφα, ἄρκτος· μῦ, μεσημβρία· καὶ τὸ ὄνομα καὶ τὰ γράμματα, μάρτυρας τῷ ἀνθρώπῳ τῷ μέλλοντι πληροῦν τὴν οἰκουμένην. καλεῖται τοίνυν τῇ Ἑβραικῇ φωνῇ πῦρ· ἐπειδὴ τὸ πῦρ, ὡς ἔφθην 15 εἰπὼν, ἀπὸ μικροῦ μέγα γίνεται, καὶ ὁ ἄνθρωπος ἀπὸ ὀλίγου, τουτέστιν ἑνὸς, τὰ πέρατα τῆς οἰκουμένης ἐπλήρωσεν. ἐκλήθη οὖν ὁ ἄνθρωπος πῦρ διὰ τοῦτο· τῇ γὰρ Ἑβραικῇ γλώσσῃ τὸ ποιήσωμεν ἄνθρωπον, πῦρ ὠνομάζετο.

[1] Εἰρηναίοτ Λτγδοτνοτ[2] ἐκ τοῦ εἰς τὴν Γένεσιν.

20 Ἕτερόν ἐστι πνοὴ ζωῆς, ἡ καὶ ψυχικὸν ἀπεργαζομένη τὸν ἄνθρωπον, καὶ ἕτερον πνεῦμα ζωοποιοῦν τὸ πνευματικὸν αὐτὸν ἀποτελοῦν· καὶ διὰ τοῦτό φησιν ὁ Ἠσαΐας· "οὕτως λέγει Κύριος, "ὁ ποιήσας τὸν οὐρανὸν καὶ στερεώσας αὐτὸν, ὁ πήξας τὴν γῆν "καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα 25 "τοῖς ποιοῦσιν αὐτήν." τὴν μὲν πνοὴν κοινῶς παντὶ τῷ ἐπὶ γῆς λαῷ φήσας δεδόσθαι· τὸ δὲ πνεῦμα ἰδικῶς[3] τοῖς καταπατοῦσι τὰς γεώδεις ἐπιθυμίας· ὅθεν πάλιν ὁ αὐτὸς διαστέλλων τὰ προειρημένα φησὶ, "πνεῦμα γὰρ παρ' ἐμοῦ ἐξελεύσεται, καὶ πνοὴν ἐγὼ "πᾶσαν ἐποίησα λέγει Κύριος." τὸ μὲν πνεῦμα ἰδίως ἐπὶ τοῦ

[1] Hoc insigne frag. huc induxi e Cod. 1555. A. fol. 184. qui et alia Anecdota continet, secundo vol. adhibita. Hoc autem excerptum videtur ex Irenæi Commentario in Genesim esse depromptum. Codex Chartaceus est form. in fol. et Sæc. XIV. [2] λύγδονος Cod. [3] ἰδικῶ Cod.

Digitized by Google

Θεοῦ τάξας τοῦ ἐκχέοντος αὐτὸ διὰ τῆς υἱοθεσίας ἐπὶ τὴν ἀνθρωπότητα· τὴν δὲ πνοὴν κοινῶς ἐπὶ τῆς κτίσεως· καὶ ποίημα ἀναγορεύσας αὐτήν· ἕτερον δέ ἐστιν τὸ ποιηθὲν τοῦ ποιήσαντος· ἡ δὲ πνοὴ πρόσκαιρος, τὸ δὲ πνεῦμα ἀένναον· καὶ ἡ μὲν πνοὴ ἀκμάσασα πρὸς βραχὺ, καιρῷ τινι παραμείνασα, μετὰ τοῦτο πορεύεται, 5 ἄπνουν ἐγκαταλείπουσα περὶ (sic) ἣν πρότερον, τὸ δὲ περιλαβὸν ἔνδοθεν καὶ ἔξωθεν τὸν ἄνθρωπον, ἅτε δὴ παραμένον οὐδεπότε ἐκλείψει[4].

Περὶ Χαρτίων[5].

Οἱ ἀρχαῖοι ἐν ταῖς σανίσιν ἔγραφον, ὅθεν μέχρι τοῦ νῦν ἔνθα 10 γράφουσι τὰ τῶν στρατιωτῶν ὀνόματα ματρίκια ὀνομάζουσιν ὃ σημαίνει τὸ πλατὺ καὶ παχὺ ξύλον· ἄλλοι δὲ εἰς φλοιοὺς δένδρων καλῶς ἀποξεσμένων· ὁ δὲ Πτολεμαῖος ἔχων Ἀρίσταρχον γραμματικὸν συμβουλευόμενον αὐτῷ ἀπέστειλε τὰς χαρτὰς εἰς Ῥωμὴν, καὶ ἐξένισεν αὐτούς. φθονήσας δὲ τῷ Ἀριστάρχῳ Κράτης 15 ὁ γραμματικὸς ὑπάρχων μετὰ Ἀττάλου τοῦ Περγαμηνοῦ, ἐκ δερμάτων ἔκαμε βεμβράνας καὶ ἔπεισε τὸν Ἄτταλον ἀποστεῖλαι αὐτὰς εἰς Ῥωμήν· ὅθεν εἰς μνήμην τοῦ ἀποστείλαντος μέχρι τοῦ νῦν περγαμηνὰς τὰς βεμβράνας καλοῦσιν.

Sequuntur deinceps Secundi Sententiæ, et postea fol. 20 192. r. hæc Opuscula physica et Astronomica quæ Cod. Dionysio cuidam attribuit.

4 Seq. eod. Cod. Αὐγουστίνου ἐκ τῶν δογματικῶν. fol. 185. Εὐσεβίου ἐκ τῶν Χρονικῶν de Nativitate Christi. Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν. f. 186. Ἡσυχίου ἐκ τοῦ εἰς τὴν Χριστοῦ γέννησιν. 5 Iterum resumuntur excerpta e Cod. 854. qui habet hoc frag. fol. 175. post Georg. Chœrobosci Opusculum de tropis poeticis. Est autem depromptum e Jo. Lydo de Mens. et quidem non ex epitome, sed integro ut opinor opere. Vid. Excerpt. Nostr. p. 314–315. et p. 11. ed. Corp. Byz.

Digitized by Google

Διονυσίου περὶ τῆς προσηγορίας τῶν ἀνέμων, καὶ πόσοι εἰσί· καὶ πόθεν ἕκαστος αὐτῶν πνεῖ.

Ἀπὸ τῶν τεσσάρων κλιμάτων, τέσσαρες αὐθεντικοὶ πνέουσιν ἄνεμοι· ὁ Ἀπηλιώτης, ὁ Ζέφυρος, ὁ Βορέας, καὶ ὁ Νότος. ὁ μὲν οὖν Ἀπηλιώτης ἀπὸ τοῦ ἀνατολικοῦ κέντρου φερόμενος, ἔχει παραπνέοντας καὶ μεσάζοντας, αὐτὸν τὸν Εὖρον, καὶ τὸν Καικίαν· ὁ δὲ Ζέφυρος ἐκ τοῦ δυτικοῦ κέντρου πνέων, ἔχει μεσάζοντας, αὐτὸν Ἰάπυγον καὶ Λίβα· ὁ δὲ Βορέας ἐκ τοῦ ἀρκτικοῦ κέντρου καταπνέων, ἔχει μεσάζοντας, αὐτὸν Θρασκίαν καὶ τὸν Ἀπαρκτίαν· ὁ δὲ Νότος ἀπὸ τῆς μεσημβρίας φερόμενος, ἔχει μεσάζοντας, αὐτὸν τὸν Λιβόνοτον καὶ τὸν Εὐρόνοτον· ὡς εἶναι τοὺς πάντας ἀνέμους, δώδεκα. τὸν δὲ Ζέφυρον συνεργὸν εἶναι τῇ γεωργίᾳ μᾶλλον τῶν ἄλλων πάντων ἀνέμων, καὶ ὁ Φλωρεντῖνος φησὶ, καὶ ἡμεῖς συνομολογοῦμεν. ἄνεμον δὲ προμηνύει θάλασσα κυμαίνουσα, καὶ ἐπὶ τοῖς αἰγιαλοῖς μεγάλως ἠχοῦσα, καὶ τῶν ὀρῶν αἱ ἄκραι καθαραὶ οὖσαι, καὶ ἄκανθα καὶ ξηρὰ φύλλα ἐναντίον ὑπὸ τῶν ἀνέμων εἰλούμενα· βρονταὶ καὶ ἀστραπαὶ θέρους ὅθεν φέρονται, ἐκεῖθεν ἄνεμον δεῖ προσδοκᾶν· ἀστέρες διαπίπτοντες, ὅπου τρέπονται, ἐκεῖ χρὴ τὸ πνεῦμα προσδέχεσθαι.

Περὶ τῶν τεσσάρων στοιχείων.

Τέσσαρα εἰσὶ τὰ πρῶτα καὶ ἁπλᾶ καὶ ἀσύνθετα στοιχεῖα, ἀρχαὶ τῶν ὄντων καὶ φαινομένων πάντων ἐξ αὐτῶν συγκειμένων, πῦρ, ἀὴρ, γῆ, ὕδωρ· ταῦτα γὰρ πρῶτον ὑπέστησεν ὁ Θεὸς ἁπλᾶ, ὡς προείρηται, καὶ καθ' ἑαυτὰ συνιστάμενα. ἔπειτα διὰ τῆς τούτων μίξεως καὶ συγκράσεως, καὶ τὰ λοιπὰ πάντα προήγαγε. διὰ τοῦτο καὶ τὰ μὲν τοιαῦτα στοιχεῖα ὡς ἁπλᾶ καὶ μήπεσθεν ἄλλοθεν συντεθέντα μένει ἀεὶ ἀδιάφθορα καὶ ἀθάνατα· πᾶν γὰρ ἁπλοῦν καὶ ἀθάνατον, ὡς μὴ ἔχον ἀναλυθήσεσθαι εἰς ἕτερόν τι, ὅθεν οὐ συνετέθη· ὁ γὰρ θάνατος οὐδὲν ἄλλο ἐστὶ καὶ ἡ φθορὰ, ἀλλ' ἢ χωρισμὸς τῶν ἑνωθέντων, καὶ ἀνάλυσις τῶν συνθέτων εἰς τὰ ἁπλᾶ· ταῦτα καὶ πρῶτα στοιχεῖα, ἐξ ὧν καὶ συνετέθησαν.

Καὶ ταῦτα μὲν ὡς ἁπλᾶ καὶ ἀσύνθετα, καθὼς εἴπομεν, ἀναγκαίως καὶ ἀθάνατα. τὰ δὲ ἐκ τούτων συγκείμενα πάντα θνητὰ

Digitized by Google

καὶ φθαρτά. πᾶν γὰρ σύνθετον καὶ θνητὸν, ὡς ἀναλυόμενον πάλιν εἰς τὸ ἐξ ὧν συνετέθη. αὐτὰ μὲν καθ᾽ ἑαυτὰ τὰ τέσσαρα ταῦτα πρῶτα καὶ ἁπλᾶ στοιχεῖα διαφορὰν ἔχει πρὸς ἄλληλα ἕκαστον, καὶ τὴν ποιότητα, ἤγουν τὴν κράσιν, καὶ τὴν ποσότητα καὶ τὴν γεῦσιν, καὶ τὴν φθορὰν καὶ τὸν σταθμόν. τὸ μὲν γὰρ πῦρ τῇ κράσει θερμὸν καὶ ξηρόν· ὁ δὲ ἀὴρ ὑγρὸς καὶ θερμὸς, ἡ γῆ ψυχρὰ καὶ ξηρὰ, τὸ ὕδωρ ψυχρὸν καὶ ὑγρόν. τῇ ποσότητι πάλιν, πολὺ μὲν τὸ ὕδωρ, ἔτι δὲ πλείων ὁ ἀὴρ, ὀλίγον τὸ πῦρ, ἔτι δὲ ὀλιγωτέρα ἡ γῆ. τῇ γεύσει πάλιν, τὸ μὲν πῦρ πικρὸν, ὁ δὲ ἀὴρ, γλυκὺς, ἡ δὲ γῆ, [5] · τὸ δὲ ὕδωρ, [6] τῷ σταθμῷ πάλιν κοῦφος μὲν ὁ ἀὴρ, κουφότερον δὲ τὸ πῦρ· βαρὺ τὸ ὕδωρ, βαρυτέρα δὲ ἡ γῆ· κἀντεῦθεν καὶ τῇ φορᾷ, τὸ μὲν πῦρ καὶ ὁ ἀὴρ ἄνω φέρονται διὰ τὴν κουφότητα, ἡ δὲ γῆ τὸ ὕδωρ κάτω φέρει διὰ τὴν βαρύτητα καὶ ψυχρότητα.

Οὕτω δὲ διαφόρων ὄντων τῶν τεσσάρων τούτων πρώτων καὶ ἁπλῶν στοιχείων, τῇ τε κράσει καὶ τοῖς λόγοις οἷς προείπομεν, ἔτι διαφορώτερα καὶ ποικιλώτερα τὰ ἐξ αὐτῶν συντεθέντα καὶ κατασκευασθέντα ἀπετελέσθησαν· ὡς διαφόρως καὶ τῆς κατασκευῆς αὐτῶν γενομένης, καὶ ἄλλου ἐξ ἄλλων στοιχείων συντεθέντα, καὶ παντοδαπῆς τῆς μίξεως, καὶ ἐφ᾽ ἑκάστῳ παρηλλαγμένης γεγονυίας παρὰ τοῦ ταῦτα σοφῶς τεχνησαμένου Θεοῦ. τὰ μὲν δὴ ἄλλα πάντα τῶν αὐτοῦ δημιουργημάτων, ἐκ δύο μόνων στοιχείων καὶ τριῶν συντέθειται· μόνος δὲ ὁ ἄνθρωπος, ὡς πάντων τελειότερος καὶ ἐντιμότερος, ἐκ τῶν τεσσάρων ὁμοῦ στοιχείων συνέστη. ἔχων ἐκ μὲν ἀέρος, τὸ αἷμα· ἐκ δὲ πυρὸς, τὴν ξανθὴν χολὴν, ἐξ ὕδατος δὲ τὸ φλέγμα· ἐκ δὲ τῆς γῆς τὴν μέλαιναν χολήν. τούτων δὲ τὸ μὲν αἷμα ἔστιν ἐν τῇ καρδίᾳ· τὸ δὲ φλέγμα ἐν τῇ κεφαλῇ· ἡ ξανθὴ χολὴ ἐν τῷ ἥπατι, καὶ ἡ μέλαινα ἐν τῇ σπληνί.

Περὶ οὐρανοῦ καὶ γῆς, ἡλίου, σελήνης, ἀστέρων, χρόνου καὶ ἡμερῶν.

Ὁ οὐρανὸς ἐν σχήματι κύβου ἢ δέρεως ἐκτίσθη, ὡς φησὶν ὁ Θεὸς τῷ Ἰὼβ περὶ αὐτοῦ· " κεχύκασιν αὐτὸν ὥσπερ γῆ κονίαν·

[5] Sic. [6] Sic.

Digitized by Google

" κεκόλληκε δὲ ὥσπερ λίθον κύβῳ." καὶ ὁ μὲν Δαυὶδ λέγει· " ὁ ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέριν." ὁ δὲ Ἡσαΐας, " ὁ στήσας " τὸν οὐρανὸν ὡσεὶ καμάραν." ὅ τε γοῦν κύβος καὶ ἡ δέρις καὶ ἡ καμάρα, τὸ αὐτὸ σχῆμα σημαίνουσιν. ἐποίησε δὲ αὐτὸν πρῶτον
5 ὁ Θεὸς τῆς ὁρατῆς πάσης κτίσεως περιοχὴν οἱονεὶ καὶ συντήρησιν. οὗτος γὰρ περιλαβὼν τὸν αἰσθητὸν ἅπαντα καὶ φαινόμενον τοῦτον κόσμον, συνέχει ὥσπερ σαγήνην ἐγκλείσας ἔσω. ἔστι δὲ ἀεικίνητος, τήν γε σωματικὴν λέγω κίνησιν, καὶ στάσιν οὐδόλως οὐδέποτε ἔχων. περιφέρει δὲ τῇ οἰκείᾳ κινήσει καὶ πάντας μεθ'
10 ἑαυτοῦ τοὺς φωστῆρας, ἥλιον λέγω καὶ σελήνην καὶ ἀστέρας, καὶ ἕλκει καὶ τούτους ἀπὸ ἀνατολῶν εἰς δυσμάς· καί τοι ἐκείνους ἀπὸ δυσμῶν εἰς ἀνατολὴν τὰς ἰδίας κινήσεις ποιουμένους.

Καὶ δῆλον ἐκ τοῦδε· πῶς γὰρ ὁ ἥλιος ἀρχόμενος πρώϊθεν ἐξ ἀνατολῶν πορεύεσθαι κατὰ τὴν οἰκείαν κίνησιν τὴν βραδ . . . διὰ
15 τῶν δώδεκα ὡρῶν τῆς ἡμέρας δύναιτο φθάνειν εἰς δυσμάς· ὥστε καὶ ἀπὸ πύργου εἰς πύργον, ἢ ἀπὸ ζωδίου εἰς ζώδιον, δι' ὁλοκλήρου μόλις φθάνει μηνός; πῶς δὲ καὶ ἡ σελήνη ἀπὸ ἑσπέρας ἀρχομένη τοῦ οἰκείου δρόμου, ἡνίκα πανσέληνος ὀφθείη, δύναιτο διὰ μιᾶς μόνης νυκτὸς ὅλον τὸν οὐρανὸν διελθεῖν ἄχρι τοῦ αὔγους; ἤγε
20 δι' ὁλοκλήρου μόλις μηνὸς τοῦτο ἔγνωσται ποιεῖν. ἀλλ' οὔτε οἱ λοιποὶ πλανῆται δύναιντο ἐκ τῶν οἰκείων κινήσεων ποιεῖν, ἀνωμαλότερον μᾶλλον τοῦ ἡλίου καὶ τῆς σελήνης τὸν δρόμον ἔχοντες. σαφὲς οὖν ἐστὶν ὅτι ὁ οὐρανὸς ἐστὶν ὁ τούτους ἀνθέλκων καὶ μεταφέρων τῇ οἰκείᾳ ὀξύτητι καὶ κινήσει ἀπὸ ἀνατολῶν εἰς
25 δυσμάς.

Ἡ γῆ δὲ οἷα στιγμή τις ἐν μέσῳ τοῦ οὐρανοῦ κειμένη κάτω τῷ κόλπῳ τῶν ὑδάτων ὥσπερ ἐννήχεται, τοῦ ὠκεανοῦ πάντοθεν αὐτὴν περικυκλοῦντος, ὅς ἐστιν ἡ μεγάλη τῶν ὑδάτων σύστασις ἄπλετος καὶ ἀπέραντος. αἱ γὰρ λοιπαὶ θάλασσαι μέρη ἐκείνου
30 εἰσὶ, καὶ οἱονεὶ γλωσσίδες ἀπ' αὐτοῦ ἐξερχομένου. ἔστι δὲ ἡ γῆ τῷ σχήματι κωνοειδής· κῶνος δέ ἐστιν ὁ στρόβυλος, καὶ κωνάρια τὰ στροβύλια. κατὰ μὲν γὰρ τὸ νοτιαῖον μέρος αὐτοῦ, ἤγουν τὸ μεσημβρινὸν, κατωφερὲς καὶ χθαμαλόν· κατὰ δὲ τὸ ἀρκτικὸν, ἤτοι τὸ βόρειον, ἀνωφερὲς εἰς ὕψος ἐπηρμένον δίκην κώνεως.

Digitized by Google

Ο γοῦν ἥλιος τῇ τοῦ πόλου ἀστάτῳ καὶ ὀξείᾳ φορᾷ, ὡς προείρηται, συμπεριφερόμενος ἀπὸ ἀνατολῶν εἰς δυσμὰς καθ' ἑκάστην, ἐν μὲν τῇ ἡμέρᾳ ὅλῃ ἐπὶ μεσημβρίαν ποιεῖται τὴν πορείαν, ἐν δὲ τῇ νυκτὶ πάλιν ἐπιστρέφων ἑαυτὸν, ἐπὶ τὸν βορρὰν παλινδρομεῖ, καὶ ἐπανακάμπτει ἐπὶ τὸν ἴδιον τόπον τῆς ἀνατολῆς. ἐντεῦθεν οὖν δῆλον ὅτι ἐκεῖνος ἐστὶν ὁ τῆς ἡμέρας καὶ τῆς νυκτὸς αἴτιος· ὅτε μὲν γὰρ κατὰ μεσημβρίαν ὁδεύει, ἔνθα τὸ χθαμαλώτερον μέρος τῆς γῆς, ὡς προείπομεν, πᾶσαν ὡς ἀφ' ὕψους ἐκλάμπων ἀκωλύτως καταφωτίζει τὴν οἰκουμένην, καὶ ἡμέραν ἐργάζεται· ὅτε δὲ ἐπιστρέφει ἐπὶ τὸ βόρειον μέρος, ἔνθα τὸ ὑψηλότερον καὶ ὑπερανέχον μέρος τῆς γῆς ὀπίσω τοῦ κώνου[7] πορευόμενος, καὶ ἀπὸ χθαμαλωτέρων ἐκλάμπων, οὐ δύναται φωτίζειν τὴν οἰκουμένην, τῆς τοῦ κώνου[8] σκιᾶς ἐμποδιζούσης, καὶ σκότος ἐμποιούσης καὶ νύκτα ἀποτελούσης.

Καὶ ταῦτα σαφῶς ἡμῖν καὶ ὁ σοφώτατος Σολομῶν ὑποτιθεὶς φησὶν ἡμῖν ἐν τῷ Ἐκκλησιαστῇ· "ἀνατέλλει ὁ ἥλιος καὶ δύνει "ὁ ἥλιος, καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει· ἀνατέλλων αὐτὸς ἐκεῖ "πορεύεται πρὸς νότον, καὶ κυκλοῖ πρὸς βορρὰν κυκλοῖ κυκλῶν, "καὶ ἐπὶ κύκλου αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα." καὶ ἡ σελήνη δὲ ὁμοίως τὸν νότον διαπερᾶσα κατὰ τὰς νυκτερινὰς ὥρας, δαδουχεῖ τῷ ἰδίῳ φέγγει τὴν νύκτα· ἐν δὲ τῇ ἡμέρᾳ ἀπὸ τοῦ κώνου καὶ αὐτὴ καλυπτομένη ὡς ἐπέκεινα αὐτῷ διοδεύουσα, ἀφανῆς ἡμῖν γίνεται, μέχρι πάλιν ἐν ἀνατολῇ ἀναλάμψει. καὶ οἱ λοιποὶ δὲ πλανῆται μεταφέρονται ὑπὸ τοῦ πόλου κατὰ τὸν αὐτὸν τρόπον· οἱ δὲ πῦργοι, ἤγουν τὰ ιβ ζώδια ἐστηριγμένα εἰσὶν ἐν τῷ πόλῳ, οἰκείαν κίνησιν μηδόλως ἔχοντα, ἀλλ' ἐν αὐτοῖς ὁ ἥλιος καὶ ἡ σελήνη καὶ οἱ λοιποὶ πλανῆται πολεύουσιν.

Ἰστέον δὲ ὅτι πάντες μὲν οἱ πλανῆται ἀστέρες ἀφισταμένου τοῦ ἡλίου μοίρας ιε φαίνονται, ἔλαττον δὲ τῶν ιε μοιρῶν ἀφιστάμενοι, οὐ φαίνονται, μόνη δὲ ἡ σελήνη ἀφισταμένη τοῦ ἡλίου ἡμέραν μίαν τελείαν φαίνεται κατὰ προκοπὴν αὔξουσα. διὰ γὰρ τῆς τοῦ δρόμου ὀξύτητος κυκλοῖ τὴν ἰδίαν ζώνην δι' ἡμερῶν εἰκοσιεννέα ἥμισυ· καὶ ὅσον μὲν ἀφίσταται τοῦ ἡλίου, κατὰ μικρὸν

[7] κύνου Cod. [8] κύνου Cod.

Digitized by Google

αὔξει τὸ οἰκεῖον φῶς, ὥστε καὶ ὁπηνίκα κατὰ τὴν διάμετρον αὐτοῦ γένηται, ἤγουν αὐτὸς μὲν ἐν τῷ ἀνατολικῷ ἄκρῳ τοῦ οὐρανοῦ, ὁ δὲ ἥλιος ἐν τῷ δυτικῷ ἄκρῳ, ὁλόφωτος ἡ σελήνη φαίνεται. ὅτε δὲ ὡς ταχεῖα οὖσα παλινδρομήσει πρὸς τὸν ἥλιον, ἀμαυροῦται κατὰ
5 μέρος· ἕως ἐνταθεῖσα αὐτῷ ἀφανὴς γένηται, πλεονεκτουμένου τοῦ φωτὸς αὐτῆς ὑπὸ τῆς ἡλιακῆς λαμπηδόνος ὡς ὑπερεχούσης καὶ λαμπροτέρας.

Τοῦτο ἐστὶ καθ' ἕκαστον μῆνα ἀπόσβεσις τῆς σελήνης καὶ αὖθις ἀναγέννησις καὶ ἐκπλήρωσις, τὸ πλησιάζειν τῷ ἡλίῳ καὶ
10 αὖθις ἀφίστασθαι. ἐντεῦθεν καὶ ἐκλείψεις πάσχει ἡ σελήνη δὶς τοῦ σεληνιακοῦ ἔτος, ἤγουν κατὰ ἑκατὸν ἑβδομηκονταεπτὰ ἡμέρας, διὰ τὸ εὑρίσκεσθαι κατὰ διάμετρον ὁδεύουσα τοῦ ἡλίου, ἀλλ' οὐχὶ ἀπὸ ἀνατολῶν εἰς δυσμὰς τῆς ἀντιβλέψεως γενομένης· ἢ γὰρ ἂν πληρεστάτη μᾶλλον οὕτως ἐγίνετο ἡ σελήνη, ὡς προδεδήλωται,
15 διὰ τὴν ἄκραν τοῦ ἡλίου ἀπόστασιν, ἀλλ' ἐξ ὕψους εἰς βάθος, καὶ ἔμπαλιν ἐκ βάθους εἰς ὕψος, ἤγουν κατὰ κάθετον. ἀλλ' ὅτε μὲν ὁ ἥλιος ἐν τῷ ὕψει ἐστὶ, καὶ ἡ σελήνη ἐν τῷ βάθει, ἀντικρὺ ἐκείνου γινομένου, ἐκλείπει μὲν ἐξ ἀνάγκης, οὐ φαίνεται δὲ ἡμῖν, διὰ τὸ μὴ ἄνω πολεύειν αὐτὴν τηνικαῦτα, ἀλλ' ὑπὸ τὸν κῶνον τρέ-
20 χειν τῆς γῆς καὶ μὴ ὁρᾶσθαι ὅλως ὑφ' ἡμῶν· καταλαμβάνεται δὲ μόνῃ τῇ ψήφῳ. ὅτε δὲ ἐκ τοῦ ἐναντίου ἄνω μὲν ἐκείνη πολεύει, κάτω δὲ ὁ ἥλιος, ἀντικρὺ ταύτης καὶ κατὰ κάθετον, τηνικαῦτα ἐκλείπει ἡ σελήνη, καὶ ἡ ἔκλειψις αὐτῆς φανερὰ πᾶσι γίνεται, ὡς ὑπὲρ γῆν οὔσης καὶ ὁρωμένης.

25 Ἔδοξε δέ τισι τῶν ἀρχαιοτέρων, καὶ περὶ μεγέθους ἡλίου καὶ σελήνης εἰπεῖν. ὁ μὲν οὖν Σεραπίων ὀκτωκαιδεκαπλασίονα εἶναι τῆς γῆς τὸν ἥλιον ἔφη· Ἐρατοσθένης δὲ ἑκατονταπλασίονα μὲν τὸν ἥλιον τῆς γῆς, τριακονταεννεαπλασίονα δὲ τὴν σελήνην· οἱ δὲ τῆς ἡμετέρας Ἐκκλησίας διδάσκαλοι ἴσον τῇ γῇ τὸν ἥλιον ἀπε-
30 φήναντο, ὡς καὶ ἀληθὴς ἔχει λόγος.

Ἔχει δὲ τὸ στερέωμα καὶ ζώνας ἑπτὰ, αἵτινες καὶ κύκλοι καλοῦνται, ἐν οἷς ἔθετο ὁ Θεὸς τοὺς ἑπτὰ πλανήτας, φωστῆρας τούτους· ἐν μὲν τῇ ὑψηλοτέρᾳ καὶ πρώτῃ τὸν Κρόνον, οὗ καὶ τὸ σημεῖον τόδε ϟ. ἐν δὲ τῇ ὑποκειμένῃ ταύτῃ καὶ δευτέρᾳ τὸν

Digitized by Google

Δία, οὗ καὶ τὸ σημεῖον τόδε ♃. ἐν δὲ τῇ μετ' αὐτὴν καὶ τρίτῃ τὸν Ἄρεα, οὗ καὶ τὸ σημεῖον τόδε ♂. ἐν δὲ τῇ μέσῃ καὶ τετάρτῃ, τὸν ἥλιον, οὗ καὶ τὸ σημεῖον τόδε ☉. ἐν τῇ πέμπτῃ τὴν Ἀφροδίτην, ἧς καὶ τὸ σημεῖον τόδε ♀. ἐν δὲ τῇ ἕκτῃ, τὸν Ἑρμῆν, οὗ καὶ τὸ σημεῖον τόδε ☿. ἐν δὲ τῇ ἑβδόμῃ καὶ χθαμαλωτέρᾳ τὴν σελήνην, ἧς καὶ τὸ σημεῖον τόδε ☾. 5

Τέτακται δὲ ὁ ἥλιος μέσος, ὡς εἴρηται, τούτων, ἵν' ᾖ φωτισμὸς τῶν ἄνω καὶ τῶν κάτω. ἐξ αὐτοῦ γὰρ ὡς ἔκ τινος πηγῆς, ἥτε σελήνη καὶ οἱ λοιποὶ πλανῆται φωτίζονται, καὶ περιοδεύουσι τὸν πόλον, κατὰ τὴν οἰκείαν κίνησιν ἕκαστος. ὁ μὲν γὰρ Κρόνος διὰ τὸ ὕψος καὶ τὸ εὖρος τῆς ζώνης, κυκλοῖ τὸ στερέωμα, ἤτοι τὸν πόλον, δι' ἐτῶν ὅλων τριάκοντα, ποιῶν ἐν ἑκάστῳ οἴκῳ μῆνας τριάκοντα· ὥστε εἶναι τὴν μίαν μοίραν τοῦ Κρόνου μῆνα ἕνα. ὁ δὲ Ζεὺς κυκλοῖ τὴν ἰδίαν τοῦ πόλου ζώνην δι' ἐτῶν δώδεκα, μένων ἐν ἑκάστῳ οἴκῳ μῆνας δώδεκα· ὥστε εἶναι τὴν μίαν μοῖραν τοῦ Διὸς, ἡμέρας δώδεκα, καὶ ἀκολούθως οἱ λοιποὶ, κατ' ἔλλειψιν ὁ μὲν Ἄρης δι' ἐτῶν δύο, ποιῶν ἐν ἑκάστῳ οἴκῳ μῆνας δύο· ὥστε εἶναι τὴν μίαν μοίραν αὐτοῦ ἡμέρας δύο. 10 15

Ὁ δὲ ἥλιος δι' ἐνιαυτοῦ ἑνὸς κυκλοῖ τὴν ἰδίαν τοῦ πόλου ζώνην, ποιῶν ἐν ἑκάστῳ οἴκῳ μῆνα ἕνα· ὥστε εἶναι τὴν μίαν μοίραν αὐτοῦ ἡμέραν μίαν. κατὰ δὲ τὸ ἀκριβὲς ἡ μία μοῖρα τοῦ ἡλίου ἔστιν ἡμέρα μία, καὶ ἑξηκοστὸν, ἤτοι λεπτὸν, τὰ γὰρ ἑξήκοντα λεπτὰ ποιοῦσιν ἡμέραν μίαν, ὥστε συνάγεσθαι διὰ τῶν τριάκοντα μοιρῶν ἡμέρας τριάκοντα ἥμισυ. ἡ Ἀφροδίτη πάλιν δι' ἐνιαυτοῦ ἑνὸς κυκλοῖ τὴν ἰδίαν τοῦ πόλου ζώνην, ποιοῦσα ἐν ἑκάστῳ οἴκῳ ἡμέρας εἰκοσιεννέα· ὥστε εἶναι τὴν μίαν μοίραν αὐτῆς ἡμέραν μίαν παρὰ τριακοστὸν, ἤγουν λεπτὰ δύο. ὁ Ἑρμῆς δι' ἐνιαυτοῦ ἑνὸς ποιῶν ἐν ἑκάστῳ οἴκῳ ἡμέρας εἰκοσιεπτά· ὥστε εἶναι τὴν μίαν μοίραν αὐτοῦ ἡμέρα ᾱ παρὰ λεπτὰ τέσσαρα· ἔφημεν δὲ ὅτι τὰ ἑξήκοντα λεπτὰ ποιοῦσιν ἡμέραν μίαν. 20 25 30

Ἡ δέ γε σελήνη διὰ τὸ ἐν στενωτέρᾳ εἶναι ζώνῃ, [9]

οἶκοι δὲ εἰσὶ τῶν πλανητῶν τούτων οἱ προρρηθέντες πῦργοι, ἤτοι τὰ δώδεκα ζώδια ἐστηριγμένα ὄντα ἐν τῷ οὐρανῷ, καὶ οἰκείαν κίνησιν

9 Sic.

Digitized by Google

μηδόλως ἔχοντα· ἅπερ εἰσὶ ταῦτα· Κριὸς ♈· Ταῦρος ♉· Δίδυμοι ♊· Καρκῖνος ♋· Λέων ♌· Παρθένος ♍· Ζυγός ♎· Σκορπίος ♏· Τοξότης ♐· Αἰγόκερως ♑· Ὑδροχόος ♒· Ἰχθύες ♓. τούτων οἱ μὲν πρότεροι ἓξ, τῷ βορείῳ μέρει τοῦ πόλου ἐστηριγμένοι
5 πεφύκασι· οἱ δὲ δεύτεροι ἓξ, ἐν τῷ νοτίῳ, καὶ ἐν αὐτοῖς οἱ πλανῆται πολεύουσιν ὡς ἐν οἴκοις.

Ἔχει δὲ ὁ πόλος καὶ κλῆσιν εὔκαιρον, καὶ οἱονεὶ τεχνικὴν, σημαντικὴν τῶν τεσσάρων τροπῶν τοῦ ἐνιαυτοῦ, ἔαρος, θέρους, μετοπώρου, χειμῶνος. ἀπὸ γὰρ τοῦ μεσαιτάτου ὅσον πρὸς τὴν γῆν
10 τόπου κλινόμενος ὁ οὐρανὸς ἐπὶ τὰ κάτω καὶ νοτιώτερα μέρη, καὶ συγκαταφέρων ἑαυτῷ καὶ τὸν ἥλιον, τοῦτο δὲ ἄρχεται ποιεῖν ἀπὸ τῆς εἰκοστῆς πέμπτης τοῦ Σεπτεμβρίου μηνὸς, ἐργάζεται τὸ μετόπωρον· ὁπότε δὲ καὶ ἡ νὺξ ἄρχεται βιάζεσθαι τὴν ἡμέραν, τῇ ταύτης ἀπομειώσει αὐξανομένη αὐτὴ κατὰ μικρὸν, διὰ τὸ τὸν
15 ἥλιον ἀπὸ τῶν ὑψηλοτέρων καὶ βορειοτέρων μερῶν ἀνατέλλοντα, καὶ ὁμοίως πάλιν εἰς τὰ ἀντικρὺ ὑψηλότερα καὶ βορειότερα δύνοντα, μακροτέραν ὡς εἰκὸς τὴν ὑπὲρ γῆς πορείαν ποιεῖσθαι, καὶ μείζονα τὴν ἡμέραν ἀποτελεῖν, καὶ κατὰ τοσοῦτον ἔμπαλιν βραχυτέραν τὴν νύκτα· ἄχρις οὗ τῇ κατ᾽ ὀλίγον ἀναφορᾷ καὶ ἀνα-
20 δρομῇ ὁ πόλος διὰ τριμήνου πάλιν φθάσει εἰς τὸν ἄκρον καὶ ὑψηλότατον καὶ βορειότατον τόπον, τὸν ὑπὸ τοῦ Θεοῦ ἀρχῆθεν ὡρισμένον αὐτῷ· αὐξήσας διὰ τελείαν τὴν ἡμέραν ὥραις ὅλαις τρισὶ, καὶ τοσαύταις ἐξ ἀντιθέτου ἐλαττώσας τὴν νύκτα, ὡς ἐννέα μὲν αὐτὴν καταστῆσαι ὡρῶν, πεντεκαίδεκα δὲ τὴν ἡμέραν·
25 τοῦτο δὲ ἀποτελεῖται κατὰ τὴν εἰκοστὴν τετάρτην τοῦ Ἰουνίου μηνός.

Ἐντεῦθεν δὲ πάλιν ἀναστρέφει ὁ πόλος ἐπὶ τὰ κάτω μετὰ τοῦ ἡλίου, τὴν αὐτὴν αὖθις ὁδὸν ἀντικατερχόμενος, ἣν ἀνήει τὸ πρότερον· καὶ ἀπὸ τοῦ ἄκρου ἐκείνου, καὶ ὑψηλοτάτου καὶ βορειοτέρου
30 μέρους κατανεύων καὶ καταφερόμενος πάλιν κατὰ μικρὸν ἐπὶ τὰ κάτω καὶ χθαμαλώτερα, καὶ ἀποτελῶν μὲν τὸ θέρος, ἐλαττῶν δὲ αὖθις κατὰ τοσοῦτον τὴν ἡμέραν, ὅσον ἔτυχεν αὐξήσας αὐτὴν ἐν τῇ ἀνόδῳ· διὰ τὸ καὶ τὸν ἥλιον χθαμαλωτέραν πάλιν τοῦ προτέρου καὶ νοτιωτέρου, ὀλίγον καὶ τὴν ἀνατολὴν ἑαυτοῦ καὶ τὴν δύσιν
35 ἔχοντα, ἐπιτομωτέραν τὴν ὑπὲρ τῆς γῆς πορείαν ποιεῖσθαι· ἤγουν

Digitized by Google

αὐτὴν τὴν ἡμέραν ἕως ἂν τῇ πρὸς βραχὺ καθ' ἑκάστην καταφορᾷ καὶ κατανεύσει, διὰ τριμήνου πάλιν ὁμοίως ὁ πόλος κατάντης ἐπανακάμψας εἰς τὸ μεσαίτατον ἐκεῖνο ὅριον, τὴν κυρίαν καὶ ἀκριβῆ ἀνατολὴν ὡς προείπομεν, καὶ ὅθεν πρῶτον παρεξήει, ἀναβαίνων ἐπὶ τὸν ἄκρον καὶ ὑψηλότατον τόπον. 5

Ὅταν δὴ καὶ κατὰ μικρὸν ἡ ἡμέρα ἐλαττουμένη, ὡς εἴρηται, καὶ ἀφαιρουμένη τὰς περισσὰς τρεῖς ὥρας ὡς τῆς νυκτὸς πάλιν ἀπολαμβανούσης αὐτὰς, ἰσομοιρεῖ καὶ αὖθις μετ' αὐτῆς ἀνὰ δώδεκα ὥρας ἑκατέρας ἐχούσης, καὶ τῆς λεγομένης ἰσημερίας πάλιν ἐκ δευτέρου ἀποτελουμένης. γίνεται δὲ τὸ τοιοῦτον κατὰ 10 τὴν εἰκοστὴν πέμπτην τοῦ Σεπτεμβρίου μηνὸς, καὶ ἰδοὺ ἐτελειώθη ὁ ἐνιαυτός. καὶ πάλιν εἰς τὸ ἑξῆς ὁμοίως τὰς κινήσεις καὶ μετακλίσεις ὁ πόλος σὺν τῷ ἡλίῳ ποιούμενος, διηνεκῆ καὶ ἀνένδοτον καὶ ἀπαραποίητον τὴν ἐπιταχθεῖσαν αὐτῷ παρὰ τοῦ κτίστου λειτουργίαν ἐκτελεῖ, τοὺς ἐνιαυτοὺς, καθ' ὃν εἴρηται τρόπον, ἐργα- 15 ζόμενος, καὶ τὰς ἀνατολὰς καὶ δύσεις τοῦ ἡλίου, καὶ τὰς ἐντεῦθεν τροπὰς τῶν καιρῶν, καὶ τοὺς μῆνας καὶ τὸ ἡμερονύκτιον.

Γίνονται γὰρ, ὡς προαποδέδεικται, καθ' ἕκαστον ἐνιαυτὸν, ἀνατολαὶ μὲν τοῦ ἡλίου τρεῖς, ὑψηλὴ, μέση, καὶ χαμηλή· καὶ δύσεις ὁμοίως τοιαῦται τρεῖς, ἀντικρὺ συμβαίνουσα τῶν ἀνατολῶν. εἰ 20 γὰρ καὶ τετράκις τοῦ ἐνιαυτοῦ μετακινεῖται, ὡς εἴπομεν, ὁ πόλος σὺν τῷ ἡλίῳ καὶ μετακλίνεται, ἀλλ' οἱ τρόποι τρεῖς εἰσιν ἐφ' οὓς καὶ ἐξ ὧν μεταβαίνει καὶ μετατίθεται, ὡς καὶ τοῦτο δεδήλωται· τὰς γὰρ δύο τῶν αὐτοῦ μεταβιβάσεων εἷς τόπος ὁ μέσος ἀπολαμβάνει, ἐκ δευτέρου τοῦτον ὑποδεχόμενος. 25

Τροπαὶ δὲ τῶν καιρῶν τέσσαρες ἰσάριθμοι ταῖς τοῦ πόλου μεταφοραῖς· μᾶλλον δὲ συνοπαδοὶ καὶ ἐκ τούτων ἀποτελούμενοι, ὥσπερ ἐκ τῶν σωμάτων αἱ σκιαί. ἡνίκα μὲν γὰρ ὁ ἥλιος ἀπὸ τοῦ μέσου τόπου ἐπὶ τὸν ὑψηλότερον καὶ βορειότερον ἄνεισι τῷ πόλῳ συνεπαιρόμενος, τὸ ἔαρ τριμηναῖον ἀποτελεῖ. αὖθις δὲ ἐκεῖθεν διὰ 30 τῆς τοῦ πόλου συννεύσεως καὶ ἐπάνω κάμπτων πάλιν ἐπὶ τὸν μέσον, τὸ θέρος τριμηναῖον ὁμοίως ποιεῖ. ὁπηνίκα δὲ πάλιν ἀπὸ τοῦ μέσου τούτου παρεξιὼν ἐπὶ τὰ χθαμαλώτερα καὶ νοτιώτερα κάτεισι τῷ πόλῳ συγκαταφερόμενος, τὸ μετόπωρον τριμηναῖον καὶ τοῦτο ἐργάζεται. ἔπειτα ἀνακάμπτων πάλιν ἐκεῖθεν ἐπὶ τὰ ἄνω καὶ 35

Digitized by Google

πρὸς τὸν μέσον τόπον παλινδρομῶν διὰ τῆς τοῦ πόλου ἀνανεύσεως, τὸν χειμῶνα τριμηναῖον καὶ αὐτὸν ἐκτελεῖ, καὶ οὕτως συμπληροῖ τὸν ἐνιαυτὸν δι' ὅλων δώδεκα μηνῶν, καὶ ἐνταῦθεν σαφὲς καθέστηκε καὶ ὅπως συμβαίνει καὶ ὅτε τὸ ψύχος τε καὶ ὁ καύσων.

5 Ὁπότε μὲν γὰρ ὑψουμένου, ὡς προείπομεν, τοῦ πόλου ἄνωθεν τοῦ μεσαιτάτου τόπου, συνυψοῦται καὶ ὁ ἥλιος ἀπὸ τῆς βορειοτέρας ἀνατολῆς ἐξερχόμενος, καὶ εἰς τὴν βορειοτέραν δύσιν ἀντικρὺ καταντῶν, καὶ τὴν ἡμέραν μηκύνων ἐπιπολὺ, τηνικαῦτα διὰ τῆς χρονίας καὶ μακρᾶς ἐπιλάμψεως τοῦ ἡλίου καὶ τοῦ ἐπιμήνου
10 φωτὸς θερμαίνεται μὲν ὁ ἀὴρ, διασκεδάζεται δὲ αὐτῷ τὸ παχὺ διαλυόμενον τῇ ἐκκαύσει, καὶ ἀποτελεῖται τὸ θάλπος· ὁπότε δὲ πάλιν κατανεύοντος τοῦ πόλου ἐπὶ τὸ νοτιώτερον, συγκαταβαίνει καὶ ταπεινοῦται ὁ ἥλιος, καὶ ἐπ' ὀλίγον ὑπὲρ γῆς διαπορευόμενος, σμικρύνει τὴν ἡμέραν μᾶλλον καὶ ἐλαττοῖ, τηνικαῦτα μὴ δυνά-
15 μενος ὁ ἀὴρ θερμανθῆναι διὰ τὸ βραχὺ καὶ ὀλιγοχρόνιον τῆς ἐπιλάμψεως τοῦ ἡλίου, μᾶλλον δὲ πλέον παχυνόμενος καὶ πυκνούμενος ὑπὸ τῆς μακρᾶς τοῦ σκότους ἐπιπολάσεως, μεγεθύνεται γὰρ ἔμπαλιν τότε ἡ νὺξ ἐπὶ πολὺ, μένει καὶ αὐτὸς ψυχρὸς καὶ ψύχει ἀκολούθως καὶ τὰ σώματα.

20 Τοῦ φωτὸς οὖν καὶ τοῦ σκότους ἀποτελέσματα καθεστήκασιν ἡ θέρμη καὶ τὸ ψύχος· φύσει μὲν γὰρ τὸ φῶς θερμὸν καὶ ἐκ πυρὸς ὂν· φύσει δὲ τὸ σκότος ψυχρὸν ὡς ἀνούσιον καὶ συμβεβηκὸς, καὶ ἀπὸ ἐλλείψεως τοῦ φωτὸς ἐπιγινόμενον, καὶ σκιὰ ὂν σώματος ἀντιφραττόντων τὸ φῶς, καὶ διὰ τοῦτο γοῦν ψυχρὸν, ὡς
25 ἐναντίον τοῦ φωτὸς ὄντος θερμοῦ.

Ὅτι δὲ οὐκ οὐσία τις ἐστὶ τὸ σκότος, οὐδὲ πρᾶγμα αὐθυπόστατον, δῆλον σαφῶς ἀπὸ τοῦ μὴ γεννηθῆναι καὶ τοῦτο παρὰ τοῦ δημιουργοῦ, καὶ ὡς αὐθύπαρκτον ὑποστῆναι, ὃν τρόπον καὶ τὰ λοιπὰ πάντα κτίσματα, ἀλλ' ἐπισυμβῆναι τὰ προγεγονότα ἐξ
30 ἀνάγκης ὡς ἂν τῷ σώματι τὴν σκιάν. ἐπειδὴ γὰρ ὥσπερ ὀροφή τις τὸ στερέωμα ἐπεκυρτώθη τῇ γῇ, παρηκολούθησεν εὐθὺς ἡ σκιὰ τοῦ στερεώματος, ἤγουν τοῦ σκότους καθόλου τοῦ μέσου τόπου, ἀλλὰ ταχύνας πάλιν ὁ σοφὸς ποιητὴς προήγαγεν ἐν τῷ μέσῳ τὴν ἡμέραν καὶ τὸν ἥλιον ἀπὸ τοῦ στερεώματος ἐκλάμποντα, καὶ διέ-
35 λυσεν εὐθὺς τὸ σκότος, ἤγουν τὴν σκιὰν τοῦ στερεώματος· πάλιν

Digitized by Google

δὲ ἐπειδὴ τὸν κυκλικὸν ἑαυτοῦ δρόμον ποιούμενος ἑκάστοτε ὁ ἥλιος, ὅτε μὲν ἀπὸ ἀνατολῆς ἐπὶ τὴν δύσιν πρόεισι διὰ τῶν νοτίων καὶ χθαμαλωτέρων τῆς γῆς ὁδεύει μερῶν, καὶ διὰ τοῦτο ὡς ἀπὸ τοῦ ὑψηλοτέρου ἐπιλάμπων καταυγάζει καὶ φωτίζει πᾶσαν αὐτὴν καὶ τὰ ὑπ᾽ αὐτήν· ὅτε δὲ ἀπὸ τῆς δύσεως ἔμπαλιν ἐπὶ ἀνατολὴν ἀνα- 5 στρέφει παλινδρομῶν καὶ ἀνακυκλῶν τὴν ἰδίαν πορείαν, ὡς ἐτάχθη παρὰ τοῦ κτίσαντος, διὰ τῶν βορειοτέρων μᾶλλον μερῶν ἐπανέρχεται, ὅπου δηλονότι τὸ ὑψηλότερον καὶ ὑπερανέχον μέρος ὑπάρχει τῆς γῆς, ἤγουν ὁ κῶνος· καὶ διὰ τοῦτο ὡς ἀπὸ χθαμαλωτέρων λάμπων, οὐ δύναται τὰς οἰκείας αὐγὰς ἐπὶ τὸ πλάτος προϊέναι τῆς 10 γῆς, ἐμποδίζοντος τοῦ κώνου, ὡς ὑψηλοτέρου καὶ τὸ φῶς ἀντιφράττοντος, ἀκολούθως τηνικαῦτα ἐπισυμβαίνει τὸ σκότος, σκιὰ ὂν τοῦ κώνου καὶ οὐδὲν ἕτερον.

Καὶ τοῦτο καλοῦμεν νύκτα διηνεκῶς παρακολουθοῦσαν τῇ ἡμέρᾳ, καὶ μετ᾽ αὐτῆς παρὰ μέρος τὸν ἐνιαυτὸν συμπληροῦσαν· οὐ 15 μέντοι καθ᾽ ἑαυτὴν ὑφισταμένην καὶ ἐνυπόστατον οὖσαν ὥσπερ τὸ φῶς, ἀλλὰ μᾶλλον παρακολούθημα τοῦ φωτὸς, ἢ ἐπισύμβαμα, ἢ οἰκειότερον εἰπεῖν πάθημα ἐπιγινόμενον ἀπὸ σώματος ἀντιφράττοντος· οὐδὲν γὰρ ἕτερον ἐστὶ τὸ σκότος, ἀλλ᾽ ἢ στέρησις φωτός· στέρησις δὲ φωτὸς ἄλλως οὐκ ἐπισυμβαίνει, τοῖς γε ὄψεως εὐπο- 20 ροῦσιν, εἰ μὴ ἀπὸ σκιᾶς σώματος· διὰ τοῦτο παρὰ τοῦ ἀσωμάτου σκότος οὐδέποτε ἔγνωσται, εἰ μὴ σκιὰ ἐκ σωμάτων παρακολουθοῦσα, ἀλλὰ φῶς ἀεὶ ἔχουσα διηνεκὲς, καὶ ἀδιάδοχον, καὶ ἀνέσπερον· καὶ τοιοῦτος μὲν ὁ τοῦ ἡλίου δρόμος δι᾽ οὗ ἐκτελεῖται ὁ ἐνιαυτός. 25

Ἀποροῦσι δὲ τινὲς πῶς ἡ σελήνη καθ᾽ ἕκαστον ἔτος προλαμβάνει τὸν ἥλιον ἡμέραις ὅλαις ἕνδεκα, καί τοι ἅμα ἀμφοτέρων τὴν ἀρχὴν κτισθέντων ὑπὸ Θεοῦ καὶ ἐν ταυτῷ προελθόντων, κατὰ τὴν τετάρτην δηλονότι τῆς κοσμοποιΐας ἡμέραν σὺν τοῖς ἄλλοις πᾶσιν ἄστρασι, καὶ αὐτίκα τοὺς οἰκείους δρόμων ἀρξαμένων ποιεῖν. 30

Καὶ λέγομεν εἰς τοῦτο, ὅτι ἀληθῶς ὁμοῦ μὲν καὶ ὑπέστησαν καὶ τοῦ τεταγμένου ἤρξαντο δρόμου. ἀλλ᾽ ὁ μὲν ἥλιος ἐπειδὴ ἀείποτε τέλειος ἐστὶ, καὶ σῶος φαίνεται τὸ ὁρώμενον, εἰκότως καὶ τηνικαῦτα τοιοῦτος εὐθὺς προελθὼν ἀρχὴν ἐκεῖθεν τοῦ ψηφίζεσθαι ἔλαβεν, ὅμως μέντοι καὶ αὐτὴ διὰ τὸ κατὰ τὴν τετάρτην τῆς 35

Digitized by Google

ἑβδομάδος ἡμέραν φανῆναι, ὡς προείπομεν, τεταρταῖος καλεῖται παρὰ τοῖς πᾶσι, καὶ διὰ τοῦτο καὶ τὸ τέταρτον καθ' ἕκαστον ἐνιαυτὸν παρεισάγομεν.

Ἡ δέ γε σελήνη ἐπεὶ ἐξ ἀτελοῦς εἴωθεν ἀεὶ καὶ κατὰ βραχὺ
5 προϊέναι εἰς τελειότητα· οὐκ ἔδει δὲ αὐτὴν τότε πρῶτον γεγονυῖαν ἀτελῆ ἐξ ἀρχῆς προαχθῆναι καὶ ἀφανεῖ τῷ πλείονι μέρει, εὐλόγως τελεία τότε εὐθὺς κτισθεῖσα προῆλθε καὶ ὁλόκληρος, καὶ οἵαν καλοῦμεν πανσέληνον· καὶ λοιπὸν ἤρξατο καὶ αὐτὴ αὐτίκα τοῦ οἰκείου δρόμου, πεντεκαιδεκαταία λογιζομένη, τοσαυτιαία γὰρ ἡ
10 πληροσέληνος, ὥστε τεταρταίου τηνικαῦτα καὶ τοῦ ἡλίου λογιζομένου δι' ἣν αἰτίαν προείρηται, ἀναλόγως ταῖς ὑπολοίποις ἕνδεκα ἡμέραις αἷς ἐλογίσθη προλαβεῖν ἐξ ἀρχῆς, καὶ πάλιν καθ' ἕκαστον ἔτος προτερεύει τοῦ ἡλίου ἡ σελήνη, ἐκπληροῦσα τὸν οἰκεῖον ἐνιαυτὸν δι' ἡμερῶν τῶν ὅλων τριακοσίων πεντήκοντα τεσσάρων, ὡς
15 λείπεσθαι ἡμέρας ἕνδεκα πρὸς τὴν τοῦ ἡλιακοῦ ἔτους ἐκπλήρωσιν.

Τινὲς δὲ ταῖς ἕνδεκα ταύταις ἡμέραις, αἷς προλαμβάνει τὸν ἥλιον ἡ σελήνη, καὶ μόριον προτιθέασιν ἐννεακαιδέκατον, οἱ δὲ ἀκριβέστεροι ἑξκαιδέκατον τέταρτον, καὶ συνάγονται ἐν ὅλοις ὀκτὼ ἔτεσιν ἀπὸ τῶν καθ' ἕκαστον ἔτος περισσευουσῶν ἕνδεκα τού-
20 των ἡμερῶν καὶ τοῦ ἑκκαιδεκάτου τετάρτου, ἡμέραι ὀγδοήκοντα ὀκτὼ καὶ ἡμίσεια, γινόμεναι μῆνες σεληνιακοὶ τρεῖς· ἕκαστος γὰρ τῶν τῆς σελήνης μηνῶν ἀνὰ εἰκοσιεννέα ἥμισυ ἡμέρας ἔχει. τούτους οὖν τοὺς περιττεύοντας διὰ τῶν ὀκτὼ ἐτῶν τρεῖς μῆνας τῆς σελήνης, προστίθεμεν πάλιν ἀνὰ ἕνα εἰς τρία ἔτη αὐτῆς, τοὺς
25 τρεῖς ἐνιαυτοὺς τῆς σελήνης ἀπὸ τῶν ὀκτὼ λογιζόμενοι τρισκαιδεκαμηναίους, καὶ οὕτως ἐξισάζομεν πάλιν διὰ τῶν ὀκτὼ ἐνιαυτῶν τοὺς σεληνιακοὺς χρόνους τοῖς ἡλιακοῖς, τοὺς περισσοὺς ἐκείνους μῆνας ἐμβολίμους προσαγορεύοντες, διὰ τὸ ἔξωθεν ἐμβάλλεσθαι καὶ προστίθεσθαι παρ' ἡμῶν εἰς τοὺς ἐνιαυτοὺς τῆς σελήνης.

30 Ἀλλ' ἐπὶ τὰς τροπὰς πάλιν τοῦ ἐνιαυτοῦ ἐπανιτέον, τὰς ἐκ τῶν μεταβάσεων τοῦ ἡλίου, ὡς προείπομεν, ἐπιβαινούσας, καὶ ῥητέον ὁποίας ἑκάστη αὐτῶν ἐστι κράσεως, πρὸς ἑαυτὴν τὸν ἀέρα συμμεταβάλλουσα. ἐν μὲν οὖν τῇ ἐαρινῇ ὥρᾳ θερμὸς ὁ ἀὴρ καὶ ὑγρὸς, ἐν δὲ τῇ θερινῇ, θερμὸς καὶ ξηρός· ἐν τῇ φθινοπωρινῇ, ψυχρὸς καὶ
35 ξηρὸς, καὶ ἐν τῇ χειμερινῇ, ψυχρὸς καὶ ὑγρός· πάλιν δὲ ἑκάστη

Digitized by Google

τούτων τῶν ὡρῶν ἔχουσα ἣν ἔλαχε κράσιν, οὐχ ὁμοίαν αὐτὴν ἔχει δι' ὅλων τῶν οἰκείων τριῶν μηνῶν· ἀλλὰ τὰ μὲν μέσα τῆς ὥρας, τὴν εἰλικρινεστάτην καὶ οἰκείαν κράσιν ἀκριβῶς διασώζει· τὰ δὲ πρῶτα καὶ ὕστατα ταῖς παρ' ἑκάτερα γειτνιαζούσαις ὥραις, συναφομοιοῦνται εἰς μέρος. 5

Λέγουσι δὲ καὶ τὴν σελήνην μὴ κατ' ἐνιαυτὸν ὡς ὁ ἥλιος, ἀλλὰ καθ' ἕκαστον αὐτῆς μῆνα τετράκις μετατρέπειν τὴν κράσιν τοῦ ἀέρος· ἡ μὲν γὰρ πρώτη τοῦ σεληνιακοῦ μηνὸς ἑβδομὰς, ἤγουν ἀπὸ νουμηνίας μέχρι τῆς ἑβδόμης καὶ αὐτῆς, θερμή ἐστι καὶ ὑγρὰ παραπλησίως τῷ ἀέρι· ἡ δὲ δευτέρα ἑβδομὰς μέχρι δη- 10 λονότι πανσελήνου, θερμὴ καὶ ξηρὰ παραπλησίως τῷ θέρει· ἡ δὲ τρίτη ἑβδομὰς, φθινούσης δηλαδὴ τῆς σελήνης, ψυχρὰ καὶ ξηρὰ παραπλησίως τῷ μεταπώρῳ· ἡ δὲ τετάρτη καὶ τελευταία ἑβδομὰς, ψυχρὰ καὶ ὑγρὰ παραπλησίως τῷ χειμῶνι· ἀλλὰ καὶ ἡμέρα ἑκάστη ἐναλλαγὰς φέρει περὶ τὸν ἀέρα τοσαύτας τε καὶ τοιαύ- 15 τας. ὁ μὲν γὰρ ὄρθρος, ἤτοι ἡ πρωΐα, θερμὴ καὶ ὑγρὰ ὡς τὸ ἔαρ· διὰ τοῦτο καὶ τὰ σώματα τῶν νοσούντων τηνικαῦτα ἀνίεται· καὶ τοῖς πυρέττουσι δὲ οὗτος ἀνεκτότερος ὁ καιρός· ἡ μεσημβρία δὲ θερμὴ καὶ ξηρὰ ὡς τὸ θέρος· ἡ δὲ δείλη ψυχρὰ καὶ ξηρὰ ὡς τὸ φθινόπωρον· καὶ ἡ ἑσπέρα ψυχρὰ καὶ ὑγρὰ ὡς ὁ χειμών· καὶ ἡ 20 νὺξ δὲ ὁμοίως τοσαυτάκις μετατρέπει τὸν ἀέρα, οὐκ ἀπὸ τοῦ θερμοῦ ἀρχομένη, ἐπεὶ φύσει ἐστὶ ψυχρὰ, ἀλλ' ὕστερον εἰς τὸ θερμὸν καταλήγουσα ἐν τῷ ἐγγίζειν τῇ ἡμέρᾳ· τὰ μὲν γὰρ πρῶτα τῆς νυκτὸς αὐτὴ ψυχρὰ καὶ ξηρὰ κατὰ τὸ μετόπωρον· τὰ δὲ μέσα ψυχρὰ καὶ ὑγρὰ κατὰ τὸν χειμῶνα· τὰ τρίτα θερμὰ καὶ ὑγρὰ 25 κατὰ τὸ ἔαρ· τὰ δὲ τελευταῖα καὶ ἐγγίζοντα τῇ ἡμέρᾳ θερμὰ καὶ ξηρὰ κατὰ τὸ θέρος.

Ἐπεὶ δὲ εἰς τὸ ἡμερονύκτιον κατηντήσαμεν, χρεὼν εἰπεῖν καὶ ὅπως τοῦτο λογίζεται παρ' ἑκάστῳ τῶν ἐθνῶν, εἶτ' οὖν ὅπως ἡ ἡμέρα μετρεῖται. Βαβυλώνιοι[9] μὲν οὖν ἀπὸ ἀνατολῶν ἡλίου 30 μέχρι δυσμῶν αὐτοῦ τὴν ἡμέραν ὁρίζονται, τῆς νυκτὸς μηδόλως μνείαν ποιούμενοι ἐν τῷ τῆς ἡμέρας λόγῳ, ὡς ἀνυποστάτου πράγματος.

[9] Quæ sequuntur de diei computatione apud varias gentes, videntur mutuata e Joanne Lydo de Mens, p. 13. Ed. Corp. Byz.

Digitized by Google

Αἰγύπτιοι δὲ ἀπὸ ἀρχῆς ἑσπέρας μέχρι τῆς ἐπιούσης πάλιν ἑσπέρας, τὴν προλαβοῦσαν δηλονότι νύκτα, μετὰ τῆς ἐπακολουθούσης ἡμέρας συνενοῦντες, καὶ μίαν ἀμφοτέρας ὀνομάζοντες ἡμέραν· ἀρχόμενοι δὲ πρότερον ἀπὸ τῆς νυκτὸς, διὰ τὸ ἀρχαιογο-
5 νώτερον εἶναι τὸ σκότος τοῦ φωτὸς, καὶ πρὸ τῆς διακοσμήσεως τοῦ δὲ τοῦ παντὸς ἔρεβος καὶ σκότον προϋποτίθεσθαι τοὺς κοσμογράφους· καὶ τὸ τὴν νύκτ' εἶναι μητέρα πάντων, ὅθεν καὶ οἱ μυθικοὶ ἀπὸ Λητοῦς τεχθῆναι τὸν Ἀπόλλωνα λέγουσι. Οὔμβροι δὲ ἔθνος Ἰταλικὸν καὶ ἀστρολόγον, ἀπὸ μεσημβρίας τὴν ἀρχὴν
10 τῆς ἡμέρας λαμβάνουσιν, ἕως πάλιν τῆς ἄλλης ἡμέρας μεσημβρίας μίαν λεγόντες ἡμέραν.

Ῥωμαῖοι δὲ τὸ μὲν πρῶτον ἴσα τοῖς Βαβυλωνίοις, καὶ αὐτοὶ τὴν ἡμέραν μόνην ἀπὸ ἀνατολῆς ἡλίου μέχρι δυσμῶν ἡμέραν ὁρίζονται, τὴν νύκτα μηδὲν λογιζόμενοι· ὕστερον δὲ ἀπὸ μέσης
15 νυκτὸς, ἤγουν τῆς ἀρχῆς τῆς ἑβδόμης ὥρας αὐτῆς, καὶ ἕως τῆς μέσης πάλιν τῆς ἐπιούσης νυκτὸς ἐτύπωσαν τὴν ἡμέραν καὶ νομίζεσθαι καὶ ὀνομάζεσθαι· [10] ὁ δὲ [11] τὴν ἡμέραν πάλιν τέμνει τετραχῶς, εἰς τρίτην ὥραν, ἕκτην, ἐννάτην, καὶ δωδεκάτην, θεσπίζων χρῆναι κατ' αὐτὰς ἐν τοῖς ἱεροῖς συνάγεσθαι
20 τοὺς εὐξομένους.

Ὧραι δὲ ἑκάστης ἡμέρας δώδεκα. εἰ γὰρ καὶ προερρήθη πλειόνων μὲν ὡρῶν τὰς θερινὰς ἡμέρας ἀποτελεῖσθαι, ἤγουν ἐπέκεινα τῶν δώδεκα, καὶ ἄχρι τῶν ἐννέα, ἀλλὰ κατ' ἄλλον πάλιν λόγον τοῦτο φαμὲν, οὐκ ἐναντιούμενοι τῇ ἐννοίᾳ ἐκείνῃ, ἀλλὰ δι' ἄλλου
25 τρόπου τὸ αὐτὸ πάλιν συνιστῶντες καὶ κατασκευάζοντες δόγμα. καὶ τῇ μεγάλῃ γὰρ ἡμέρᾳ καὶ τῇ μικρᾷ ἐπίσης ἀνὰ δώδεκα ὥρας χαριζόμεθα, οὐκ ἀμφοτέρας ἰσάζοντες κατὰ τὰς ποσότητας, ἀλλὰ τὰς τῆς ἑκατέρας ἡμέρας ὥρας αὐξάνοντες καὶ συστέλλοντες· ἵνα ὁ μὲν ἀριθμὸς τῶν ὡρῶν ὁ αὐτὸς ἦν ἐπὶ πασῶν ὁμοίως τῶν τοῦ
30 ἐνιαυτοῦ ἡμερῶν τῶν τε μεγάλων καὶ τῶν μικρῶν καὶ τῶν μέσων. μήτε πλεονάζων ποτὲ μήτε ἐλλείπων.

Ἡ δὲ πηλικότης τῶν ὡρῶν ἀναλόγως τῷ μήκει τῆς ἡμέρας μεγεθύνεται καὶ σμικρύνεται, καὶ οὕτως πάλιν αἱ ἡμέραι διαμείνωσι τὸ οἰκεῖον ἑκάστη ποσὸν περισώζουσα, πρὸς τὰς τοῦ ἡλίου

[10] Sic. [11] Sic.

Digitized by Google

τροπὰς καὶ μετακλίσεις ἑκάστοτε. ἡ δὲ αὔξησις καὶ μείωσις τῶν ὡρῶν καταλαμβάνεται ἀπὸ τῆς σκιᾶς τῆς ἐκ τοῦ ἡλίου ἀποτελουμένης ἐπὶ τοῖς σώμασιν. ὅθεν καὶ τὰ ὡρολόγια κατασκευάζονται, ὀβελῶν ἐμπηγνυμένων ἀντικρὺ τῆς ἐπιλάμψεως τοῦ ἡλίου, καὶ διὰ τῆς οἰκείας σκιᾶς ἐπὶ πάσας τὰς κύκλῳ διαγεγραμμένας δώδεκα ὥρας ἐπιπορευομένων παρ' ὅλην τὴν ἡμέραν εἰς τὸ ἀεὶ, νῦν μὲν βράδιον, νῦν δὲ αὖθις τάχιον, πρὸς τὴν τῆς ἡμέρας δηλονότι αὔξησίν τε καὶ μείωσιν.

Τινὲς δὲ καὶ ἀπ' αὐτῆς τοῦ ἀνθρωπείου σώματος τῆς σκιᾶς τὰς διαφορὰς τῶν ὡρῶν ἐτεκμήραντο, κατὰ τὸ ἐκείνης μῆκος λογιζομένων καὶ αὐτῶν, καὶ ἀπὸ τοῦ τῆς σκιᾶς μέτρου ἑκάστης τῶν τῆς ἡμέρας ὡρῶν δηλουμένης· πάλιν δὲ τοῦ μέτρου ἐναλλασσομένου πρὸς τὰς τῶν καιρῶν ἐναλλαγὰς, καὶ τὴν αὐτὴν ὥραν ἄλλως καὶ ἄλλως ἐν ἑκάστῳ καιρῷ καταμετροῦντες. τὸ μὲν οὖν μέτρον τῆς τοῦ ἀνθρωπείου σώματος σκιᾶς διὰ τῶν ποδῶν ἀποτελεῖται, σημειουμένου τοῦ τόπου ἀκριβῶς, ὅσον ἐπέσχεν ἡ σκιὰ καὶ τοῖς ποσὶ μετρούμενον· τὸ δὲ πόσων ποδῶν ἑκάστη ὥρα καθέστηκεν ἐν τῷδε τῷ μηνὶ, καὶ πόσων ἐν τῷδε τῇ ὑποκειμένῃ διαγραφῇ σαφῶς δηλωθήσεται. πρὸ δὲ ταύτης τὴν ἐπιστολὴν αὐτὴν ἐκθετέον ὡς ἔχει λέξεων πρὸς περισσοτέραν σαφήνειαν, ἣν Θεοδωρός τις πρὸς Θεόφιλον ἐκδέδωκε συνάμα καὶ τῇ διαγραφῇ, ἔχει δὲ ὧδε.

"Ἰδών σε φιλοτιμούμενον ἐκμαθεῖν τὰς τῶν ὡρῶν κινήσεις, ἐξ
" ὅσων ποδῶν συνέστηκε κατὰ μῆνα ἕκαστον ἑκάστη τῆς ἡμέρας
" ὥρα, ἐπειράθην δηλῶσαί σοι μετὰ πολλῆς ἀκριβείας, ὅπως μηδὲ
" τούτου ἄπειρος ᾖς. δεῖ σε τοιγαροῦν σημειοῦσθαι οὕτως τὰς
" ὥρας, μετροῦντα τὴν ἑαυτοῦ σκιὰν τοῖς ἰδίοις ποσὶν ἐν τῷ μετα-
" τιθέναι ἕνα παρ' ἕνα πόδα, ἕως τοῦ τόπου ἔνθα ἔτυχε τὸ ἄκρον
" τῆς κεφαλῆς σου ἐν τῷ ἵστασθαι σε ὀρθὸν καταντῆσαν διὰ
" τῆς σκιᾶς." ἐπὶ πάντων δὲ ὁμοίως τῶν καιρῶν καὶ τῶν μηνῶν ὑπερέχει ἡ μὲν πρώτη ὥρα τῆς δευτέρας πόδας δέκα· ἡ δὲ δευτέρα τῆς τρίτης, πόδας τέσσαρας· ἡ τρίτη τῆς τετάρτης, πόδας τρεῖς· ἡ τετάρτη τῆς πέμπτης, πόδας δύο· καὶ ἡ πέμπτη τῆς ἕκτης, πόδα ἕνα· αἱ δὲ ἐφεξῆς ἀνάπαλιν ἕως τῆς ἑνδεκάτης καὶ αὐτῆς· ἡ γὰρ δωδεκάτη εἰς ὕψος οὖσα πόδα οὐκ ἔχει.

Digitized by Google

Περὶ τῆς καλουμένης Ἀδιαβηνῆς χώρας [12].

Αὕτη ἡ χώρα κεῖται πρὸ τῆς Μεσοποταμίας, ὡς ἐπὶ ἀνατολὰς πέρα τοῦ Τίγριδος· ἐν αὐτῇ δὲ ἐστὶ καὶ ἄσφαλτος ἡ λεγομένη νάφθα. λέγεται δὲ Ἀδιαβηνὴ διὰ τὸ εἶναι πλείονας ποταμοὺς ἐν αὐτῇ, καὶ δυσχερεστέραν ποιεῖν τὴν διάβασιν· ἐκεῖ ἐστὶ καὶ ἡ Νινευί. τοσαύτην δὲ ἀσφάλειαν ποιεῖ τοῖς κτίσμασιν ἡ ἄσφαλτος, ὥστε ταῖς ὀπταῖς πλίνθοις καὶ τοῖς λεπτοῖς λίθοις συμμιγεῖσα ἰσχυροτέρα γίνεται παντὸς σιδήρου. ἐκεῖσε δὲ ἐστὶ καὶ τὸ ἄορνον στόμα· ἐξ οὗ δεινὸν πνεῦμα ἀναδίδοται, ὥστε πᾶν μὲν ἐπίγειον, πᾶν δὲ πτηνὸν, ἀποφθείρειν, καὶ εἰ πρὸς τὸ τυχὸν ὀσφρήσοιτο· εἰ δὲ ἐσκεδάννυτο ἔξω, οὐκ ἂν ὠκίσθη ὁ χῶρος· ἀλλὰ κατ' εὐθεῖαν ἄνεισι, καὶ ὀλίγον ἀνερχόμενος, πάλιν ἀνακλάται κάτω· καὶ ἐκ τούτου τάγε ἐν ὑψηλοτέρῳ πετώμενα σώζεται καὶ τὰ περιξ νεμόμενα. λέγει δὲ ὁ Δίων τοιοῦτόν τι ἐν Ἱεραπόλει τῆς Ἀσίας, ὅπερ πάντα τὰ ὀσφραινόμενα φθείρει, πλὴν τῶν εὐνούχων. ἔστι δὲ ἐν τῇ Ἀδιαβηνῇ καὶ Κτησιφὼν πόλις.

Ὅτι σιδήρου μήπω εὑρεθέντος ἐν τῷ βίῳ, χαλκῷ ἐχρῶντο οἱ παλαιοί· ὅθεν καὶ χαλκεῖς λέγονται ἕως τοῦ νῦν οἱ τὸ σίδηρον ἐργαζόμενοι.

[13] Περὶ ποδῶν μετρικῶν (hic titulus 2ª manu recentiori).

Ποῦς ἐστὶ μετρικὸν σύστημα συλλαβῶν· ὁ μὲν ἁπλοῦς, ἐκ δύο ἢ τριῶν· ὁ δὲ σύνθετος ἀπὸ τεσσάρων ἢ ἕξ· πόδες εἰσὶν ἁπλοὶ μὲν δώδεκα· ὧν δισύλλαβοι μὲν τέσσαρες· τρισύλλαβοι δὲ ὀκτώ· τετρασύλλαβοι δὲ ἑκκαίδεκα· οἱ δισύλλαβοι· σπονδεῖος, $\bar{\alpha}$ ἐκ $\bar{\beta}$ μακρῶν· = τετράχρονος οἷον ἥρως· πυρρίχιος $\bar{\text{B}}$ ἐκ $\bar{\text{B}}$ βραχύς υυ· δίχρονος οἷον λόγος· τροχαῖος $\bar{\Gamma}$· ἐκ μακρᾶς —· καὶ βραχείας. υ. τρίχρονος οἷον ζῆθος. ἴαμβος $\bar{\Delta}$· ἐκ βραχείας υ· καὶ μακρᾶς —· τρίχρονος οἷον Σόλων· οἱ τρισύλλαβοι, δάκτυλος, $\bar{\alpha}$· ἐκ μακρᾶς —. καὶ δύο βραχεῖων· $\overline{\upsilon\upsilon}$· τετράχρονος οἷον ἥλιος· ἀνάπαιστος $\bar{\text{B}}$· ἐκ δύο βραχεῖων· $\overline{\upsilon\upsilon}$· καὶ μακρᾶς· —· τετράχρονος οἷον πο-

[12] Hæc fere habet Suidas, v. Ἀδιαβηνὴ et Codin. de Orig. Constantinopol. p. 13. dedi ex eodem Cod. 854. fol. 175, r.

[13] E Cod. 1983. Membr. decimi sæculi.

Digitized by Google

λέμων. ἀμφίμακρος· Γ· ἐκ μακρᾶς —· καὶ βραχείας ῡ· καὶ μακρᾶς· —· πεντάχρονος οἷον ἡγεμών· ἀμφίβραχυς· ἐκ βραχείας καὶ μακρᾶς —· καὶ βραχείας υ· τετραχρόνος οἷον Ὅμηρος· βακχεῖος· ε· ἐκ βραχείας καὶ δύο μακρῶν· =· πεντάχρονος οἷον νοήμων· παλιμβάκχειος· ς· ἐκ δύο μακρῶν = καὶ βραχείας ῡ· πεντάχρονος οἷον Ἥφαιστος· χορεῖος· Ζ· ἐκ τριῶν βραχειῶν υυυ· τρίχρονος οἷον δόλιος. μολοττός· Η· ἐκ τριῶν μακρῶν Ξ· ἑξάχρονος οἷον Ἡρώδης· οἱ τετρασύλλαβοι· ἰστέον δὲ ὅτι τούτοις οἱ μετρικοὶ οὐ χρῶνται· ἀλλ' οἱ καταλογάδην γράψαντες· Δημοσθένης, Γρηγόριος ὁ Θεόλογος καὶ οἱ λοιποὶ ῥήτορες· προκελευσματικός· α· ἐκ τεσσάρων βραχειῶν υυυυ· τετράχρονος (Δ'χρονος sic) οἷον φιλόσοφος. παίων πρῶτος· Β· ἐκ μακρᾶς· —· καὶ τριῶν βραχειῶν υυυ· πεντάχρονος οἷον Στησίχορος· παίων Β· Γ· ἐκ βραχεῖας υ· καὶ μακρᾶς. —· καὶ β βραχειῶν υυ. πεντάχρονος οἷον Ὀνήσιμος· παίων τρίτος. Δ. ἐκ δύο βραχειῶν υυ· καὶ μακρᾶς· —· καὶ βραχείας ῡ· πεντάχρονος οἷον φιλόδημος· παίων Δ· Ε· ἐκ Γ (τριῶν) βραχειῶν υυυ· καὶ μακρᾶς —· πεντάχρονος οἷον Ἐπίγενης· δισπόνδειος. ἐκ Δ (τεσσάρων) μακρῶν· ὀκτάχρονος οἷον Ἡρακλείδης· διτροχαῖος· Ζ· ἐκ μακρᾶς —· καὶ βραχείας υ· καὶ μακρᾶς —· καὶβραχείας ῡ· ἑξάχρονος οἷον παιδαγώγος· δίαμβος· Η· ἐκ βραχείας υ· καὶ μακρᾶς —· καὶ βραχείας υ· καὶ μακρᾶς —· ἑξάχρονος οἷον Ἀνακρέων· χορίαμβος Θ· ἐκ μακρᾶς —· καὶ βραχειῶν υυ· καὶ μακρᾶς —· ϟϟ (ἑξάχρονος) οἷον δημογέρων· Ἀντίπαιστος Ι· ἐκ βραχείας ῡ· καὶ δύο μακρῶν· = καὶ βραχείας ῡ· ἑξάχρονος οἷον Ἀρίσταρχος· Ἰωνικὸς ἀπὸ μείζονος· ια· ἐκ β μακρῶν =· καὶ δύο βραχειῶν υυ· ἑξάχρονος οἷον Δημηγόρος· Ἰωνικὸς ἀπ' ἐλάσσονος· ιβ· ἐκ β βραχειῶν υυ· καὶ β μακρῶν· =· ἑξάχρονος οἷον Διομήδης· ἐπίτριτος πρῶτος· ἐκ βραχείας ῡ· καὶ Γ μακρῶν Ξ· ἑπτάχρονος οἷον Ἀριστείδης· ἐπίτριτος Β· ιδ· ἐκ μακρᾶς —· καὶ βραχείας ῡ· καὶ β μακρῶν =· ἑπτάχρονος οἷον Ἀρχιμήδης· ἐπίτριτος γ· ιε· ἐκ β μακρῶν =· καὶ βραχείας ῡ· καὶ μακρᾶς —· ἑπτάχρονος οἷον Δημοσθένης· ἐπίτριτος Δ· ις· ἐκ τριῶν μακρῶν Ξ· καὶ βραχείας ῡ· ἑπτάχρονος οἷον Ἀλλίστρατος.

Digitized by Google

2. *De heroico metro.*

Incipit. Τὸ ἡρωικὸν μέτρον ἑξάμετρόν ἐστι· ἓξ γὰρ χώρας ἔχει & . . .

3. *De versus heroici* & . .

5 Incip. Ἰσόχρονον τὸ τὰ μεγέθη τῶν συλλαβῶν καὶ τοὺς πόδας, ἀπὸ πρώτου μέχρι & . . . .

4. *De carmine iambico.*

Incip. Τὸ ἰαμβικὸν μέτρον· ἔστι μὲν ἑξάμετρον καὶ αὐτό· διαιρεῖται δὲ εἰς β· καὶ τὸ μὲν & . . .

10 5. *De carmine anacreontico.*

Incip. Τῶν ἀνακρεοντείων ἐπιδέχονται οἱ οἶκοι μὲν ἀνάπαιστον καὶ δύο ἰάμβους· καὶ & . . .

6. *De barbarismo* & . . . .

Incip. Βαρβαρισμός ἐστι λέξις περὶ τὰ στοιχεῖα ἢ περὶ τὰς 15 προσῳδίας & . . .

7. *De metris heroicis* & . .

Incip. Ὅτι τὰ φυσικὰ μέτρα ἤτοι πόδες τὸν ἀριθμὸν εἰσὶν θ̄· δάκτυλος — υυ· ἀνάπαιστος υυ — & . . .

8. Περὶ ποδῶν τῆς σεμνότητος.

20 Incip. Δάκτυλος — ῡῡ· ἀνάπαιστος ῡῡ — παίων· παίων ᾱ — ῡυ· παίων B̄ — ῡῡ· παίων Γ̄ ῡῡ — υ· παίων Δ̄ ῡῡῡ — καὶ σπονδεῖος — —· ἔστιν ὅτε καὶ ἴαμβος υ — & . . .

9. Περὶ ποδῶν ἀκμῆς.

Δάκτυλος· ἀνάπαιστος· σπονδεῖος· παίων· ἴαμβος· καὶ ἐπίτρι-25 τοι· αἱ δὲ ἀναπαύσεις αἱ τῆς καθαρότητος· αἱ ἱστᾶσαι τὸν λόγον· ἐν ἰαμβικῷ ἢ τροχαικῷ μέρει τοῦ (sic) λόγου καὶ καταλήξει τροχαικῇ ἢ ἰαμβικῇ· (ibi desinit.)

Digitized by Google

ε

10. Περὶ ποδῶν παραβολῆς (πβολῆς).

Ὅτι τοὺς τῆς ἀκμῆς δέχεται· ὁμοίως γὰρ καὶ κῶλα· συνθήκας τε καὶ ἀναπαύσεις καὶ ῥυθμούς. (ibi desinit.)

11. Περὶ ποδῶν κεκαλλωπισμένοι λόγοι.

Incip. Οἱ πόδες τοῦ κεκαλλωπισμένου λόγου ἡρμοσμένοι ὀφείλουσιν εἶναι, ὡς ὁ χορίαμβος & . . . 5

12. Περὶ ποδῶν γοργότητος.

Incip. Ἵνα πλεονάζωσιν οἱ τροχαῖοι καὶ αἱ τροχαικαὶ συζυγίαι· οἷον θᾶσσον & . . . .

13. Περὶ ποδῶν ἀφελείας. 10

Inc. Οἷοι καὶ τῆς καθαρότητος· ῥυθμὸς καὶ ἀνάπαυσις & . .

14. Περὶ ποδῶν ἀριμήτητος.

Πάντα τὰ τῆς γλυκύτητος. (ibi desinit.)

15. Περὶ ποδῶν ἐπιεικείας.

Inc. Ἐπεὶ γὰρ καὶ λέξιν καὶ σχήματα & . . 15

16. Περὶ ποδῶν τῆς βαρύτητος.

Inc. Οἷαι καὶ τοῦ ἠθικοῦ λόγου ὁμοίως & . .

17. Περὶ ποδῶν δεινότητος.

Inc. Σχῆμα συνθήκη & . .

18. Περὶ ποδῶν. 20

Inc. Τοίνυν πᾶσης ἰδέας ἐκθέμενοι & . . desinit: ταῦτα παρεθέμεθα εἰς ἔνδειξιν ὑποδείγματος μέτρου ῥητορικῶν σκεμμάτων.

Pone sequitur Maximus Sophista & . . (vid. in Catalogo). Codex fere totus decimo sæculo exaratus est.

Digitized by Google

Cod. 1853. Membr. form. in fol. max. x. sæc. pulcherrime scriptus continet Aristotelis Opp. cum uberrimis Schol. marginalibus et interlinearibus.

Incip. de Anim. Schol. f. v. Δημόκριτος φύσεως τἀναντία
5 ἀρχὰς ποιεῖ τὸ πληρὲς καὶ τὸ κενὸν λαμβάνων· ὧν τὸ μὲν ὄν, τὸ δὲ οὐκ ὂν ἔλεγεν· ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς ἀτόμοις ἐναντιότησι θεωρεῖ· διαφέρειν γὰρ αὐτὰς τρισὶ ταῖς ἀνωτάτω διαφοραῖς ἔλεγε· "ῥυσμῷ, διαθιγῇ, τροπῇ·" ῥυσμὸν μὲν τὸ σχῆμα λέγων, διαθιγὴν τὴν τάξιν, τροπὴν τὴν θέσιν.

10 Fol. 8. Schol. XIII. sæc.

Οὐ γὰρ Ἐμπεδοκλῆς φησι μόνος πλείω ἑνὸς ὄντα τὰ τέσσαρα στοιχεῖα τὸ ἐναντίον ὡς ὑποκείμενον ἐτίθει, ἀλλ' ἔνιοι καὶ πλείω, ὡς ὁ Δημόκριτος τὰς ἀπείρους ἀτόμους τοῖς κατὰ σχῆμα καὶ τὴν θέσιν.

15 Τοῦτο τὸν ἐν δευτέρῳ σχήματι συλλογισμόν φησι Σιμπλίκιος.

Fol. 9. Plures regulæ grammaticæ de vocibus in εῖον aut ιον desinentibus ut λεντεῖον. Schol. est XI. sæc.

Ἐν τῷ περὶ τῶν ἀγράφων δογμάτων τοῦ Πλάτωνος Ἀριστοτέλης συνεγράψατο.

20 F. 226. Aristotelis Metaphys. cum Schol. marginal. copiosis quæ videntur esse XIV. sæc.

Κοιναὶ ἔννοιαι περὶ τῶν ἐπιστήμων.

ταῦν δὲ φεῦ πάρεστιν ἔμπαλιν βλέπειν·
ἀνδραπόδων δίκην γὰρ ἠθλιωμένων
25 σοφοὶ καθυπείκουσι πλουσίων βίᾳ·
καὶ ταῦτα κυκλήσαντος ἡμῖν τοῦ χρόνου·
ἀλλ' ἀρτίως ἔχοντος ἄλλως τοῦ βίου,
τρυφῆς τε πάσης ἐκλιπούσης ἄθροον,
καὶ τῶν ἀναγκαίων δὲ παρόντων μόλις,
30 φρόνησις ἐξέλειψεν ἡ μαθημάτων.

Ἐν τισὶ τῶν ἀντιγράφων λείπει τὸ πάντα, ὡς ἀπὸ κοινοῦ λαμβανόμενον.

Λέγει γὰρ ὁ Σιμωνίδης, ὅτι θεὸς μόνος ἔχει τὴν ἄκραν ἐπιστήμην.

35 His Scholiis citantur Alexander et Simplicius sæpe, multa

Digitized by Google

insunt de Thalete in Ægyptum accersito a Pharaone, et de Moyse.

Καὶ Παρμενίδης γάρ φησι τὸν ἔρωτα τὸν θεῖον δημιουργῆσαι τὸ πᾶν.

Δείκνυσι τοῦτο ὁ Πυθαγόρειος Νικόμαχος εὐθὺς ἐν προοιμίῳ τῆς ἀριθμητικῆς αὐτοῦ εἰσαγωγῆς.

Plurima postea de Alcmæone Crotoniata, de Parmenide, Melisso, et Xenophane.

Cod. 1928. Chart. xv. sæc. Continet Neophyti Monachi Schol. et Divisiones in Logic. Aristotelis.

Theodori Prodromi de Magno et Parvo. Excerpt. ex Proclo in Euclidem.

F. 7. Schol. Neophyti in numeros Indorum, quos exhibet. Pselli in Geometriam.

F. 17–20. Ὠκέλλου τοῦ Λευκανοῦ περὶ τῆς τοῦ παντὸς φύσεως, τάδε συνέγραψεν Ὤκελλος ὁ Λευκανὸς περὶ τῆς τοῦ παντὸς φύσεως, τὰ μὲν τεκμαιρόμενος σαφῶς παρ' αὐτῆς τῆς φύσεως ἐκμαθὼν, τὰ δὲ καὶ δοξῇ μετὰ λόγου τὸ εἰκὸς ἀπὸ τῆς νοήσεως στοχαζόμενος.

F. 21. Ἀμμωνίου τοῦ Ἑρμείου προλεγόμενα εἰς τὴν φιλοσοφίαν πᾶσαν.

F. 25. Τοῦ αὐτοῦ Ἀμμωνίου φιλοσόφου τοῦ Ἑρμείου ὑπόμνημα εἰς τὰς πέντε φωνάς.

F. 35. Πορφυρίου εἰσαγωγὴ cum Schol. Magentini.

F. 66. Jo. Philoponi Schol. in Aristotelis Categorias et Ammon. in easdem.

F. 181. Ὅπερ καὶ ὁ μέγας Παρμενίδης παντὶ τῷ νοητῷ ὑπάρχειν ἀποφαίνεται

οὐ γὰρ ἔην οὐδ' ἔσται, (φησὶν) ὁμοῦ πᾶν, ἔστι δὲ μοῦνον.

Cod. 1873. Chart. in fol. sæc. xv. Cont. Alexandr. Aphrod. Comment. in Analyt. et Anonym. Comment. in Aristot. de Anim.

Cod. 1927. Chart. fol. max. sæc. xv. Cont. Schol. Eustrat. et Aspas. et Mich. Ephes. in Aristot. Ethic. Nicom. Est integer et satis bene scriptus, sed non eleganti manu.

Digitized by Google

Cod. 1943. Chart. fol. maj. sæc. XVI. Cont. Anonym. Comment. in Aristot. Analyt. Prior.

F. 27. v. Παρεκβολαὶ ἀπὸ τοῦ Δαμασκίου εἰς τὸ πρῶτον περὶ οὐρανοῦ.

5 Ὅτι τοῖς φυσικοῖς φησὶν τὸ εἶναι φυσικῶς ἐστὶν ἐν τῷ φύσιν ἔχειν, ἡ δὲ φύσις ἀρχὴ κινήσεως.

Ὅτι δύο εἰσὶν αἱ ἁπλαῖ κινήσεις.

Ὅτι αἱ τῶν ζώων κινήσεις οὐκ εἰσιν ἁπλαῖ κατὰ ἔκτασιν καὶ κάμψιν τῶν κώλων γινομένων κατὰ τὸν Ἀλέξανδρον· μήποτε δέ
10 φησιν ὁ Δαμάσκιος.

F. 34. Ἀπορία Ξενάρχου—λύσις—ἀπορία Φιλοπόνου—λύσις. iterum f. 35. v. desinit f. 43.

Cod. 2005. Chart. sæc. XV. pessime exaratus. Post multa juridica f. 276.—διαφοραὶ ῥητόρων γεγόνασιν, ὧν ἡ μὲν πρώτη
15 ἀγράφως ἔλεγεν, ἧς ἐστι Θεμιστοκλῆς καὶ Περικλῆς καὶ οἱ κατ' ἐκείνους ῥήτορες· ἡ δὲ δευτέρα, ἧς ἐστι Δημοσθένης, καὶ Αἰσχίνης, Ἰσοκράτης καὶ οἱ σὺν αὐτοῖς—Est fragm. vitæ Aristid. Sopatri —Seqq. aliquot Orationes Aristid.

Cod. 2064. Membr. form. in 4°. sæc. XI. pulcherrime ex-
20 aratus. Cont. Interpret. in Aristot. περὶ ἑρμηνείας cum aliquot Schol. marginalibus. ἐξήγησις εἰς τὸ περὶ ἑρμηνείας Ἀριστοτέλους εἰς τὰ γ' σχήματα. hæc recentiori manu scripta XIV. sæc.

Initium deest. fin. ε' τμήματος. οὐκ ὄντων δὲ κατ' ἀλήθειαν
25 ἣν φασιν τὸ οὐκ ἄνθρωπος μὴ εἶναι ὄνομα.

F. 35. Ἰστέον δὲ ὅτι ὁ μὲν Ἀριστοτέλης τὴν ἀπόφασιν βούλεται ἀντικεῖσθαι μᾶλλον ἤπερ τὴν τοῦ ἐναντίου κατάφασιν· καὶ πάντες οἱ μετ' αὐτὸν ἑπόμενοι αὐτῷ ἄχρι Συριανοῦ· πρῶτος δὲ Συριανὸς ὁ φιλόσοφος ἀντεῖπεν καὶ ἀποδείκνυσιν ψεῦδος ὄν.

30 F. 36. Σχολία σὺν Θεῷ ἀπὸ φωνῆς Στεφάνου φιλοσόφου εἰς τὸ περὶ Ἑρμηνείας Ἀριστοτέλους.

Πρῶτον δεῖ θεῖσθαι τὶ ὄνομα καὶ τὶ ῥῆμα· ἔπειτα τί ἐστιν ἀπόφασις καὶ κατάφασις καὶ λόγος καὶ τὰ ἑξῆς· F. 40. citatur Porphyrius. et f. 59 et 61 Iamblichus. f. 67. μέθοδος
35 Πρόκλου f. 80. v. Ἀμμώνιος δέ φησι ὅτι οὐ πάντως τὸ ἄρθρον

Digitized by Google

τὴν δύναμιν ἔχει τοῦ προσδιορισμοῦ τοῦ καθόλου· καὶ τοῦτο δῆλον ἐκ τοῦ παρ' Ὁμήρῳ λέγοντος ὀνείρου·

θωρῆξαί σε κέλευε καρηκομόωντας Ἀχαιούς.

φησὶν ὅτι ὡς μὴ ἀρκεσθεὶς τῷ ἄρθρῳ ἐπήγαγε τὸ "πανσυδίῃ" ὅθεν καὶ ἡ πλάνη τῷ Ἀγαμέμνονι γέγονεν. 5

F. 88. Σχόλια εἰς Ἀριστοτέλους τὰ πρῶτα Ἀναλυτικὰ ἀπὸ φωνῆς Ἀμμωνίου.

Καὶ καλῶς Θεόδωρος (Cod. θεόδορος) λέγει δύνασθαι διττὸν εἶναι τὸν σκοπὸν τῶν κατηγορικῶν.

F. 103. Ὁ δὲ μέγας φιλόσοφος βαθύτερον καὶ ἀκριβέστερον 10 ἐξηγούμενος λέγει. In marg. τὸν Πρόκλον φησιν.

F. 254. Περὶ ὑποθετικῶν συλλογισμῶν ἐκ τοῦ μονοβίβλου Ἀμμωνίου. Ἐπειδὴ τοὺς μὲν κατηγορικοὺς συλλογισμοὺς ἀνελλιπῶς ὁ Ἀριστοτέλης ἐλεπτούργησε τοὺς ἁπλοῦς ἁπλῶς—κ. τ. λ.

F. 261. Περὶ τῶν εἰδῶν πάντων τῶν συλλογισμῶν· in fine est 15 mutil.—καὶ ἀποφατικαί· κοινὴ οὖν ἡ λύσις.

Cod. 2129. Chart. form. 4°. min. sæc. XIV. exeunte, ut opinor, scriptus Cont. Jo. Stobæi Ecl. Phys. videtur esse bonæ notæ Codex.

Cod. 2138. Chart. sæc. XIII. Continet varias Philosophi- 20 cas definitiones alphabetico ordine descriptas, sed quæ pauci sunt momenti.

Tum Aristotelis Categorias—Tum Ὅρος καθολικὸς φιλοσοφίας Πλάτωνος—in fine ταῦτα Εὐστράτιος ἱερεὺς ὑποτζετζίρος ἐρωτηθεὶς ἐξέθετο. Sequuntur σοφιστικοὶ ἔλεγχοι—Ἀμμωνίου εἰς 25 τὰς κατηγορίας.

Cod. 2665. Chart. sæc. XIV. Cont. div. Lex. Gr. et Var. exc. e Script. Eccles. de prognost. Cyrilli et Basilii.

Πορφυρίου περὶ Θεοῦ κριμάτων—Ὁ θεὸς εἰδὼς τὸ μέλλον φθάνει πολλάκις, τοὺς μὲν δι' εὐσεβείας ἐτὶ νέους τοῦ βίου προ- 30 διεξάγων, τοὺς δὲ διὰ τοῦ μέλλοντος ἀπ' αὐτῆς ἔσεσθαι βλάβας τοῖς οἰκειοτάτοις· τοὺς δὲ ἐλεῶν μελλούσων ἕνεκεν, ἀνηκέστων συμφορῶν προεξαιρῶν.

Prognostica e duod. sign. Zod.—Sæpe citatur Democritus, Basilius, de nive, et tonitru &c. 35

Digitized by Google

Σευηριανοῦ περὶ ἡλίου καὶ σελήνης—Ἑτέρου περὶ ἡλίου καὶ σελήνης.

Σωτίων ἀσελήνους ἡμέρας καλεῖ τὰς ἀπὸ κθ' σελήνης ἕως δευτέρας ἐν αἷς ὑπὸ τὰς ἀκτῖνας τοῦ ἡλίου ἡ σελήνη κρύπτεται, καὶ
5 οὐ φαίνεται τοῖς ἀνθρώποις.

Cod. 1309. Chart. sæc. XIV. Cont. Anonym. Opusculum de Facult. Anim. cujus initium deest. Incipit

—Τὸ δὲ εἰς φθορὰν, ὡς τὸ καίεσθαι· ὥσπερ δὲ τὸ δρῶν δύνασθαι δεῖ δρᾶν, οὕτω καὶ τὸ πάσχειν δύνασθαι πάσχειν.

10 F. 19. Περὶ τῶν ψυχῆς δυνάμεων.

Ἐπείδηπερ προηγεῖται φύσει τὸ γινώσκειν τοῦ ἐφίεσθαι, οὐκ ἄν τις ἐπιθυμήσειε ποτὲ τοῦ πάντη ἀγνοουμένου.

F. 37. Τοῦ ἐν ἁγίοις Γρηγορίου τοῦ Θεολόγου περὶ ἀρετῆς.

F. 45. Ἀλκινόου εἰς τὰ τοῦ Πλάτ. δόγματα εἰσαγωγή.

15 Cod. 985. Chart. sæc. XIV. Cont. Init. Aristophan. Nub. Histor. Greg. Naz. in Epist. Basil.

F. 12. Τοῦ σοφωτάτου καὶ λογιωτάτου Κύρου Ἰωάννου Ἀργυροπούλου λύσεις ἀπορίων καὶ ζητημάτων τινῶν, ἅπερ ἐζήτησέ τις τῶν ἐν τῇ Κύπρῳ φιλοσόφων καὶ ἰατρῶν.

20 Galeni et aliorum medicorum tractatus varii de partibus corporis.

In fine Epist. quædam Anonymi.

Cod. 2299. Chart. sæc. XV. Cont. Meletium de hom. fabr. id singulare habet Codex quod parti quæ de Anima tractet
25 præmittitur index sectionum. Sed id non ex Meletio profectum esse mihi videtur.

Cod. 2610. Chart. sæc. XV. Cont. varr. Lexicc. et Grammat. in fin. fol. 233. v. Περὶ γεννήσεως καὶ τελειώσεως ἀνθρώπου.

Inc. Οἱ τὴν φυσικὴν ἱστορίαν συγγραφέντες.

30 Ὁ δὲ Ἀντίγονός φησι τὸ θηλύγονον καὶ ἀρρενόγονον βοτάνας εἶναι, ἀπὸ δὲ τοῦ συμβεβηκότος τὴν ἐπωνυμίαν εἰληφέναι· τὸ μὲν γὰρ αὐτὸν ποιεῖν τὰς (sic) θηλύνεσθαι δὲ τρίβολον ἐν οἴνῳ ἀπὸ πρωΐ, καὶ ταῦτα μὲν ἐπί τε συλλήψεως καὶ κυήσεως· ἐπὶ δὲ τῆς εἰνάτης ἰσχυροποιῆσθαι, καὶ ἀφὴν ὑπομένειν· τῇ δὲ τεσσαρα-

Digitized by Google

κοστῇ προσλαμβάνειν τὸ γελαστικὸν, καὶ ἄρχεσθαι ἐπιγινώσκειν μητέρα.

Cod. 3026. Chart. sæc. XIV. Anonymi cujusdam Monodia in Regis cujusd. interitum.

Τοῦτο καὶ ποιητὴς καλῶς ἐτραγῴδησεν, "ἥδ' ἡμέρα" φάσκων "θάνατον ἢ βίον φέρει." τῇ προσβολῇ δηλαδὴ τῶν κινδύνων ἐξαρτᾶσθαι τὰ ἀνθρωπινὰ δικὴν τρυτάνης, ὡς εἰς τὸ μηδὲν κατ' αὐτὸν φρονήματος ἥκομεν στερέντες τῶν πρίν.

Post f. 28. fabulosa multa e Palæphato et quædam Chronologica. f. 31. Τίμαιος ὁ Ταυρομένιος γραωσυλλεκτρία ἐλέγετο διὰ τὸ τὰ τυχόντα ἀναγράφειν.

Τιμόλαος ὁ Λαρισσαῖος ῥήτωρ ἐδιπλασίασε τὴν Ἰλιάδα παρεμβαλὼν στίχον πρὸς στίχον· ἔχει δὲ οὕτως κ. τ. λ. quæ e Suid. descripta sunt.

Cod. 2602. Chart. sæc. XVI. Διάλογος δι' οὗ τὴν καθ' ἑκάστην συμβαίνουσαν ὁμιλίαν Ἑλληνιστὶ ἀκριβῶς τις δυνήσεται καταμαθεῖν. Interlocutores Ἀθηνόδωρος καὶ Θεόδωρος. Πολὺ γὰρ τὸ διάφορον τοῦ καλῶς τραφῆναι, ὡς καὶ τῷ Εὐριπίδῃ δοκεῖ, ἔχει δέ τι καὶ τὸ τραφῆναι καλῶς δύναμιν ἐσθλοῦ, κανόνι τοῦ καλοῦ μαθών (Hec. 600.)

Cod. 2328. Chart. sæc. XIV. form. 4°. Continet 1°. Catalogum cujusdam Bibliothecæ. Ὁ τῶν ἡμετέρων βιβλίων κατάλογος—Φωτίου πατριάρχου Κωνσταντινοπόλεως ἀπὸ τῆς γραφῆς ζητημάτων καὶ ἀπορίων λύσεις καὶ ἑρμηνεῖαι ἐπαίνου γέμουσαι.

Τοῦ αὐτοῦ ὁμιλίαι βιβλίον δεύτερον.

Τοῦ αὐτοῦ ἐπιστολαὶ βιβλίον τρίτον.

Πρὸς Ἀμφιλόχιον τὸν ἱερώτατον μητροπολίτην Κυζικοῦ ἐν τῷ καιρῷ τῶν πειρασμῶν ζητήματα διάφορα εἰς ἀριθμὸν τῶν συντεινόντων ἐπίλυσιν αἰτησάμενον πρὸς τὸν ἱερὸν διδάσκαλον σχετικῶς καὶ ἑτοίμως λαβόντα πρόθυμον.

Γεωργίου τοῦ σοφωτάτου διακόνου πρωτεκδίκου τοῦ Παχυμέρους εἰς τὰ τῆς Ἀριστοτελικῆς φιλοσοφίας βιβλία.

Εἰς τὸ ὄργανον τοῦ φιλοσόφου.

Εἰς τὸ περὶ οὐρανοῦ.

Digitized by Google

Εἰς τὸ πέμπτον τῶν μετεωρ.
Εἰς τὸ περὶ ψυχῆς.
Εἰς τὸ περὶ ζώων γεννήσεως.
Εἰς τὰ Ἠθικὰ ἤτοι Νικομάχεια.
5 Εἰς τὸ περὶ χρωμάτων.
Εἰς τὰ τῆς φυσικῆς ἀκροάσεως.
Εἰς τὸ περὶ γεννήσεως καὶ φθορᾶς.
Εἰς τὸ περὶ ζώων μορίων.
Εἰς τὸ περὶ αἰσθήσεως καὶ αἰσθητῶν.
10 Εἰς τὰ μετὰ τῶν φυσικῶν.
Περὶ ἀτόμων γραμμῶν καὶ περὶ τῶν μηχανικῶν.

Ἐξήγησις ἐκ διαφόρων εἰς τὸ κατὰ Ματθαῖον κατὰ Λουκᾶν καὶ κατὰ Ἰωάννην εὐαγγέλιον.

Ἐπιστολαὶ Βασιλείου τοῦ μεγάλου $\overline{\text{σνθ}}$ καὶ τοῦ Γρηγορίου
15 Θεολόγου $\overline{\text{ϛιε}}$.

Τίτου Ἐπισκόπου Βοστρῶν ἑρμηνεία εἰς τοὺς δ' εὐαγγελιστάς. hoc opus occurrit bis in Catalogo.

Τοῦ Χρυσοστόμου σύνοψις καλλίστη εἰς τὰ τῆς παλαιᾶς βιβλία, καὶ εἰς τὴν ἑξαήμερον τῆς κοσμοποιΐας, πρεσβυτέρου αὐτοῦ
20 ὄντος ἐν Ἀντιοχείᾳ.

Γενναδίου πατριάρχου τὰ εὑρισκόμενα.

Ἐξήγησις τῶν παλαιῶν ἀνδρῶν ὑπὸ Εὐσταθίου Ἀρχιεπισκόπου Ἀντιοχείας ἐκ διαφόρων ὑπομνημάτων συλλεχθέντων καὶ ἀκριβωθέντων εἰς σύνοψιν εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον.

25 Μετάφρασις Ἀπολιναρίου καὶ Ἰωάννου Γεωμέτρου, ἐν οἷς ἔγραψε καὶ Εὐδοκία Αὐγούστα καὶ δι' ἰάμβων Δωρόθεος Ἱεροσολυμίτης τοῦ ψαλτηρίου τοῦ προφήτου καὶ βασιλέως Δαβίδ.

Ἐκλογαὶ ἀπὸ διαφόρων τοῦ ἐν ἁγίοις πατέρος ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινοπόλεως τοῦ Χρυσοστόμου, συντεθεῖσαι
30 παρὰ Θεοδώρου Μαγίστρου· εἰσὶ δὲ λόγοι λγ'.

Τοῦ αὐτοῦ Θεοδώρου Μαγίστρου ἐκλογαὶ καὶ ἐκ τῶν τοῦ μεγάλου Βασιλείου διαφόρων λόγων.

Λογοὶ οἱ καλούμενοι μαργαρῖται τοῦ Χρυσοστόμου, Γρηγορίου Νύσσης, εἰς τὸν βίον τοῦ Μωϋσέως, βιβλίον περιέχον περὶ τὰς
35 ὑποθέσεις τῶν κβ βιβλίων λεγομένη σύνοψις τῶν Χρυσοστόμου.

Digitized by Google

Seq. Pselli Epistola ad Mich. Patr. de conficiendo auro. Tum Excerpta quædam Mathematica ex Anatolio.

Ἀριστοτέλης συνεστάναι τὴν πᾶσαν φιλοσοφίαν ἐκ θεωρίας καὶ πράξεως· οἰόμενος κ. τ. λ.

Τί ἐστι μαθηματική; μαθηματική ἐστιν ἐπιστήμη θεωρητικὴ τῇ νοήσει τε καὶ αἰσθήσει.

Ὅτι τὸ τακτικὸν καλούμενον.

Ὅτι ἡ μαθηματικὴ τὰς ἀρχὰς ἔχει ἐξ ὑποθέσεων.

Τίς τι εὗρεν ἐν μαθηματικοῖς;

Εὔδημος ἱστορεῖ ἐν ταῖς ἀστρολογίαις. et cet. ut apud Fabr. Bibl. Gr. t. ii. p. 276–7.

Seq. Ἥρωνος εἰσαγωγαί· Ἡ πρώτη γεωμετρία καθὼς ἡμᾶς ὁ παλαιὸς διδάσκει λόγος τὰ περὶ τὴν γεωμετρίαν καὶ διανομὰς κατησχολεῖτο.

Cod. 2465. Chart. sæc. XIV. Continet Psell. de Arithmetica, Geometria, Musica, Astronomia. Anonymi de Anima et Corpore. Synesii quædam et Pindari Olympica cum Scholiis.

2286. Chart. sæc. XIV. Continet Lexic. Medic. e Galeno, Crateva et aliis, quorum nomina sæpius citantur, conflatum. Auctor multus est in homonymiis secundum dialectos.

F. 55. Τοῦ Ὀλυμνίου Ἀλεξανδρέως περὶ κρισίμων ἡμερῶν.

Τοῦ αὐτοῦ περὶ κατακλίσεως.

Lexic. Botanic. et Animal. quæ ad medicinam prosunt.

F. 91. Varia Antiqq. Medicor. Remedia.

Ἀρχιγένους περίπλασμα καὶ ἐπιθέματα φαρμάκων πρὸς ὀδόντας.

Τιμοκράτους ὀδοντότριμμα πρὸς οὖλα.

Αὐριλλίου πρὸς δυσωδίαν στόματος.

Τιμοκράτους σμῆμα ὀδόντων, ἵνα λευκοὶ ὦσιν καὶ εὐώδεις, καὶ ἵνα μὴ διαβιβρώσκωνται.

Πυθίου πρὸς σεισμένους ὀδόντας.

Διοκλέους πρὸς ὀδόντων πόνους.

Κρίτωνος πρὸς στόματος δυσωδίαν.

Ἀνδρομάχου πρὸς μυλαλγίας αὐθημερῶν παύουσα.

Ἀρχιγένους ὀδόντων προφυλακτήριον.

Digitized by Google

Ἀνδρομάχου πρὸς πᾶσαν ὀδόντων ἀδ.

Τοῦ Ἀφροδᾶ (sic) μυλική—Ἀριστοκράτους μυλική.

F. 94. Μενεκράτους στοματική. Τοῦ αὐτοῦ ἐκ τῶν Μεμφίτου.

5 Ἀσκληπιάδου διάχριστος στοματική. Στοματικὴ Ἀριστοκλέους πρὸς συνάσχεις (sic) καὶ τὰ λοιπὰ ἐν τῷ στόματι.

Ἀνδρομάχου ἔνδοξον φάρμακον στόματος.

Κρίτωνος πρὸς κιονίδας καλή.

Σωρανοῦ πρὸς φλεγμονὰς παριθμίων.

10 Ἀπολλωνίου τοῦ Ἡροφίλου πρὸς λευκὰς ἀφθάς.

Πρὸς στίγματα ἐκ τῶν Ἀρχιγένους.

F. 98. Ἑρμοῦ πρὸς τὰς ἐν στόματι περιστάσεις πάσας.

F. 104. Ταραντινὸς Ἡρακλείδης ἐν τοῖς πρὸς Ἀντιόχιδα κατὰ λέξιν οὕτως ἔγραψε περὶ τῶν ἐν τῷ στόματι σηπεδόνων κ. τ. λ.

15 Γαληνοῦ ἀρχιητροῦ ἀπορίαι ἰατρικαί, παρὰ τίνων ἐν τῇ ἀρχῇ εὑρέθη ἡ ἰατρικὴ ἐπιστήμη. πρῶτον μὲν Ἀπόλλων ἐφεῦρεν αὐτὴν, καὶ ἔδωκεν αὐτὴν τῷ ἱπποκενταύρῳ, ὁ δὲ ἱπποκένταυρος ἔδωκεν αὐτὴν Ἀσκληπίῳ, ὁ δὲ Ἀσκληπιὸς ἔδωκεν αὐτὴν τοῖς παισὶν αὐτοῦ, οἱ ἦσαν Ποδαλείριος καὶ Ὑπόληφος.

20 Πόσοι εἰσὶν οἱ συστησάμενοι τὴν ἐμπειρίαν ἰατρικήν; τέσσαρες. τίνες οὗτοι; Ἄκρων ὁ Ἀκραγαντῖνος· Φίλινος ὁ Κῶος· Σαραπίας ὁ Ἀλεξανδρεὺς, καὶ Σερξέστας ὁ Ἀπολλώνιος.

Καὶ πόσοι οἱ συστησάμενοι τὴν λογικήν; πέντε. τινες οὗτοι; Ἱπποκράτης ὁ Κῶος, Πραξαγόρας, Φιλότιμος, Ἐρασίστρατος

25 καὶ Ἀσκληπιάδης. Καὶ πόσοι εἰσὶν οἱ συστησάμενοι τὴν μεθοδικὴν ἐπιστήμην; τρεῖς. τινες οὗτοι; Μεθήσων ὁ Λαοδικεὺς, Μονόμαχος ὁ Ἀφροδισιεὺς, καὶ Σωρανὸς ὁ Ἐφέσιος —.

Ἐγὼ δὲ μόναχος Νεόφυτος κατὰ στοιχεῖον ταῦτα συνέταξα σποράδην αὐτὰ εὑρὼν καὶ πολλὰ προσθεὶς ἀπὸ τῶν * * * *

30 Seq. Lexic. Medic. Alphabet. ord.

F. 108. v. Νεοφύτου μονάχου πρόχειροι εἰσαγωγαὶ περὶ βοτάνων καὶ ἄλλων παντοίων θεραπευτικῶν κατὰ στοιχεῖον.

Cod. 1555. A. Chart. sæc. XIV. fol. 168. Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἱστορίαι Ἐκκλησιαστικαί.

Digitized by Google

Τί ἐστιν ἐκκλησία; ἐκκλησία ἐστὶ ναὸς Θεοῦ, κ. τ. λ.

Τί ἐστιν ἡ κόγκη;—κιβώριον—θυσιαστήριον—βῆμα.

Cod. 2404. f. 251.

Ἄκυλον δὲ τὸν τῆς πρίνου φασὶν λέγειν καρπὸν, ὡς δηλοῖ καὶ ὁ Ἀθηναῖος λέγων, "ὁ συκαμινὸς συκαμινοὺς ὁρᾶς φέρει, ὁ πρῖνος "ἀκύλους, ὁ κόμαρος μαμαΐκυλα."

Cod. 2426. Chart. sæc. XVI.

Περὶ τῶν ἐν ταῖς πτώσεσι τόνων ποιηθέντων παρὰ Θεοδοσίῳ καὶ Ἡρωδιανῷ τῶν γραμματικῶν.

Κατὰ συναίρεσιν τοῦ υ καὶ ι εἰς τὴν υι δίφθογγον υἷος προπερισπᾶται, ὡς παρ' Ὁμήρῳ,

Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἷος ἄποινα.

Ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν οὕτως τοῦτο σχηματίζει. φησὶν ὅτι ἐστὶ υἷις διὰ τῆς υι διφθόγγου κατὰ τὴν παραλήγουσαν· τούτου ἡ γενικὴ υἵιος, καὶ κατὰ συναίρεσιν τῶν δύο ιι εἰς ἓν δῆλον ὅτι μακρὸν υἷος, ὥσπερ Θέτιι Θέτι,

Θέτι καλλιπλοκάμῳ.

F. 58. Διὰ τὸ τοὺς Αἰολεῖς κεχρῆσθαι ταύταις ταῖς αἰτιατικαῖς, δυσμένην γὰρ λέγουσι καὶ κυκλωτέρην καὶ εὐρυνέφην (Bekker. An. p. 1233.)

Ὁ τρεβολετὴρ, ὦ τρεβόλετερ, ἔστι δὲ εἶδος ἀκάνθης. Cf. Hephæst. p. 63, 12.

F. 80. Οἱ ὕπατοι, τῶν ὑπάτων, καὶ αἱ ὕπαται, τῶν ὑπάτων.

κοῦραι πετρῶν ἔρριπον (Cod. ἔρριπτον) ἐξ ὑπάτων.

ἐπὶ δὲ τῆς χορδῆς, ἡ ὑπάτη, τῆς ὑπάτης.

F. 85. Ὑπεσταλμένα τὰ ἀρῶξιν, ὡς παρὰ Σοφοκλέους ἐν Ἀχιλλέα (sic) ἐρασταῖς.

ὁ δὲ ἐνθ' ὅπλοις ἀρῶξιν Ἡφαίστου τεχνίτου,

τοῦτο γὰρ κατὰ μεταπλασμὸν ἀπὸ τοῦ ἀρήκτοις γενόμενον, τοῦ η τραπέντος εἰς τὸ ω, προπερισπᾶται, καὶ οὐ προπαροξύνεται (Bekker. An. p. 1267.)

Cod. 2408. Chart. sæc. XIII.

F. 225. Παροιμίαι. Κωφότερος κίχλης. Εὔβουλος ἐν Διονυσίῳ μέμνηται ταύτης.

Digitized by Google

Παροιμ. Σοφοκλέους.

εἰ μὴ πατὴρ ἦς, εἶπον ἄν σ' οὐκ εὖ φρονεῖν.
ἔνεστι κἀν μύρμηκι, κἂν ἀέρφω χολή.

(leg. σέρφῳ cum Suid. qui tamen de auctore silet.)
5 περὶ τοῦ μηδὲ τῶν εὐτελῶν καταφρονεῖν.

Cod. 1270. Chart. sæc. xv. Cont. varr. tractt. Eccles. et Grammat. Inter alia f. 236. Lex. περὶ πνευμάτων κατὰ ἀλφάβητον. cit. Lycophron. in vv. ἅλμα et ἁρμοῖ. Ἰωάννου πόνημα Λευΐτου τόδε, οὗ πατρὶς ἡ γῆ τῶν Βιθύνων πρόσθεν ἡ Μυρέων, (an
10 Μυρλέων) αὖθις δὲ χώρα μητρόθεν.

Cod. 2562. Chart. xv. sæc. Inter al. Grammat. cont. f.

Τὸ τρέφομαι δοτικῇ συντάσσεται, καὶ ὅτε πρὸς τὸν τρέφοντα λέγεται· τὸ δὲ σιτοῦμαι αἰτιατικῇ, δηλοῖ γὰρ τὸ ἐσθίω, ὡς παρ' Ἀριστοφάνει.

15 πῶς οὖν κυνὸς βορὰν σιτούμενος
μάχῃ συ κυνοκεφάλῳ;

Cod. Suppl. 133. Chart. sæc. xiv. Cont. Excerpt. e Chœrobosc. Orthogr. et var. de Spirit. Ἀρχὴ τῶν τονιζομένων λέξεων παρεξελεχθέντων τούτων ἐκ τῶν Ὤρου, Χοιροβόσκου, Αἰ-
20 θερίου γραμματικοῦ, Φιλοπόνου, καὶ ἑτέρων. Περὶ εὐθειῶν μονοσυλλάβων, ἀρσενικῶν, θηλυκῶν καὶ οὐδετέρων. Seqq. regg. de Syntaxi.

Cod. Suppl. 192. Chart. sæc. xiv. Cont. Lexic. περὶ Πνευμάτων ex Herodiano, ut ait Catalogus.

25 Ἁλαεῖς δρᾶμα Μενάνδρου ἀπὸ τοῦ ἐν ἄλλαις (sic) Ἀραφηνίαις ὑποκεῖσθαι. Non fuit ergo titulus hujus dramatis Ἅλαι Ἀραφηνίδες ut putabat Meineke Menandr. Rel. p. 9.[1] e Steph. Byz. sed Ἁλαεῖς. et scribendum sine dubio in Steph. Byz. loc. cit. ὁ δημότης ἄνευ τοῦ ι, Ἁλαεύς.

30 Eod. Cod. citatur infra Ἀριστόνικος ἐν τῷ β περὶ διαλέκτων.

Cod. 2662. Chart. sæc. xiv. Cont. Varia Scholia in Herodot. Lucian. Soph. Aj. sed ordine valde perturbato. Post Schol. Lucian. Phrynich. Excerpta. Greg. Cor. de Dial.

[1] Corr. hunc tit. Vir summus in Ind. Poetarum et Fabularum in Hist. Crit. Comic. Gr.

Digitized by Google

Notit. Episcop. Inc. rurs. Schol. Soph. Aj. tum Anonym. Schol. ad Lucian. Ἁπλῶς ἀντὶ τοῦ χωρὶς πανουργίας. Ἀσφόδελος· κυκλῶδες φυτὸν φύλλα ἔχον μακρὰ καὶ ἀνθερικόν· προπαροξυτόνως δὲ ἀναγνωστέον, ὡς

οὐ δὲ ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ. (Hesiod. Opp. I. 41.) 5

τὸν δὲ τόπον ἐν ᾧ φύεται ὀξυτονητέον, ὡς καὶ παρ' Ὁμήρῳ,

κατ' ἀσφοδελὸν λειμῶνα.

Δράματα: ποιήματα.

Ἐμβάτα, κωμικὰ ὑποδήματα μεγάλα τε καὶ τὰς κρηπῖδας ὑψηλὰς ἐξειργασμένα, τοῦ πρὸς τὸ μεῖζον ὕψος τὸν χρώμενον 10 ἄγειν.

Στάδιον. Δίων ἐν τριηκοστῷ πέμπτῳ Ῥωμαϊκῶν· "τῷ δὲ δὴ "σταδίῳ τῶν σκαφῶν προδιδόμενοι δεινῶς ἤσχαλλον." ἀντὶ τοῦ τῇ στάσει καὶ ἀκινησίᾳ τῶν σκαφῶν.

Ἐφεστρὶς, χλανὶς, σελλά. 15

Ἀκμὴ ἡ ὀξύτης· ἀκμὴ δὲ καιροῦ Ἰσοκράτης· τὸ μὲν τῶν καιρῶν, τῶν χρόνων ἀκμή.

Κόδρου εὐγενέστερος· Κρότωνος ὑγιέστερος· Νιρέως καλλίων· Ὀδυσσέως συνετώτερος· Στέντορος μεγαλοφωνότερος.

Νευστὰς ἐλαίας τὰς λεγομένας κολυμβητὰς φασίν. 20

Ὀξύστρακα τὰ ἐξεσμένα στίλψεως ἕνεκεν ὀστράκινα σκεύη, Μενάνδρου·

φίλος ἀλήθεια καὶ θεοὶ παρρησία.

καὶ φιλῆσαι τῷ στόματι ἕνα τῶν πάλαι δείξας οὐ κεχρημένον τῷ ὀνόματι, χρυσοῦς φασὶν ἐν Ὀλυμπίᾳ στάχυς. Lucian. Pseudol. 25 §. 15.

Βρεντήσιον. ψιὰς ἡ ψεκάς.

Μασαγέται οἱ Ἀλανοί.

ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί.

Post hæc seq. excerpt. ἐκ τῶν Φρυνίχου. 30

Cod. 2633. Chart. sæc. XIV. primum vero fol. antiquioris scripturæ habet versus quosdam philosophicos sed adeo indistinctos ut legi nequeant.

Digitized by Google

Ἀλλ' οὐδ' εἰ πάντ' αὐτῷ παρείη τὰ τοῦ σώματος ἀγαθὰ, στέργοι ἂν, οὐδ' ἂν ἐπὶ τούτοις εἴδείη τῇ δαίμονι χάριν.

Ἀλλ' οὐκ εἰμὶ ῥητορικὸς εἰ περὶ σαυτὸν οὐδὲ μετρικὴν ἐπίσταμαι· ἀλλ' ἐν τούτοις μὲν ἧττον ἂν καταβοήσαι τῆς τύχης.

5 Καταδρομὴ κυρίως ἡ κατηγορία,

φεῦ ὡς πολλή γε ἡ καταδρομή.

Καὶ οὐδὲν ἂν αὐτῷ στῆσαι τὴν κατήγορον γλῶσσαν καὶ ἡ τύχη δυσμένης. καὶ ἴσως που καταγελᾷ πρὸς τὴν τῶν οὐ μεγάλην εἰληφέναι λεγόντων ἀγνωμοσύνην, ἤγουν ἀχαριστίαν, ἢ κακῶς ἂν εἰπεῖν
10 ὡς οὐκ εὐμένως πρὸς αὐτὸν ἔχουσαν.

Οὕτως ἄπληστόν τι χρῆμα ἄνθρωπος καὶ ἀχάριστον. μακαρίζοντος δέ ποτ' αὐτὸν ἀνδρὸς ἑτέρου ταῦτα νοσοῦντος, μή πω γ' ἔφη * * * * * * * καὶ σὺ δὲ, ὦ τὸν βίον ἀπὸ τῶν χειρῶν ποιούμενος, μέγα οἷον τὸ χρῆσθαι τῶν χεροῖν λελουμένος;

15 F. v. Εἰς τὸ Θεῶνος βιβλίον Λεόντος φιλοσόφου

Θέσφατα μαντωσύνης Φοιβηΐδος ὄργια τέχνης,
Ἀστρολόγων Παῦλος μ' ἐδ * * * *

Βίβλος Θέωνος καὶ Πρόκλου τῶν πανσόφων. Anth. Pal. ix. 202.

Ποσιδίππου, οἱ δὲ Κράτητος Ἐπίγραμμα· καὶ Μητροδώρου
20 ἐκ τοῦ ἐναντίου. tum fol. 2. fragm. Plut. de Prof. Virt. Sent. II. 75. E. Inc. βολῇ, καταδαρθέντα φαῦλον, ἀνεγρέθη σοφὸν, προσειπεῖν.

Ἀριστοτέλης πρὸς Ἀντίπατρον περὶ Ἀλεξάνδρου γράφων κ. τ. λ.

F. v. Νέας μὲν γὰρ γυναικὸς, ὡς Αἰσχύλος φησὶν, "οὔ τι
25 "λανθάνει φλέγων ὀφθαλμὸς εἴτις ἀνδρὸς γεγευμένη·" νέῳ δὲ ἀνδρὶ γευσαμένῳ προκοπῆς ἀλήθους ἐν φιλοσοφίᾳ τὰ Σαπφικὰ ταυτὶ παρέπεται "κατὰ μὲν γλῶσσαν γελοπ * * * * αὐτίκα "χρῷ πῦρ ὑποδέδρομεν, ἀθόρυβον δ' ἅμα καὶ πρᾶον ὄμμα, φθεγ-"γομένου δ' ἂν ἀκοῦσαι ποθησείας."

30 Cod. 1045. Chart. sæc. xv. Cont. Phrynich. Ecl. foll. transposita sunt, sed opus est integrum, et conferri debet cum Edd. In fine quædam Scholl. in Plat. Euthyphron. ἵνα περ δέος ἔνθα καὶ αἴδως—εἴρηται ἐκ τῶν Στασίνου Κυπρίων.

Digitized by Google

Ζῆνα δὲ τὸν ῥέξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν,
οὐκ ἐθέλειν εἴκειν, ἵνα γὰρ δέος ἔνθα καὶ αἴδως.

desiderantur hæc in Bekker. Ed. p. 328.

In loc. Eupolidis Μαρικᾷ ad Phædr. p. 379, pro καθίζων Cod. leg. καθέζων. Obiter moneo in ejusdem Comici frag. Αὐτολύκῳ p. 445. antiquissimum Cod. 1807. legere cum distinctione ἀτὰρ ἤγαγες καινὸν φῖτυ. τῶν βοῶν.

Cod. 3025. Chart. sæc. xv. Cont. Monod. Libanii. Versus Comneni Anacreont. Tzetz. quædam de Belisario. Excerpt. e Procopio et Agathia, et Hesychio de Vir. Illustr. et pauca Grammaticalia.

Ἀλλὰ σύνδεσμος, ἐνίοτε μέν ἐστι συμπλεκτικὸς, καὶ λέγεται ἐπὶ ἀναιρέσει ἑνὸς καὶ συστάσει ἑτέρου, οἷον, οὐκ ἔστι τόδε ἀλλὰ τόδε· καὶ ὅτε ἐφ' ἑτέρῳ ἕτερον ἐπάγεται νοούμενον, ἑτέρας ἀναιρέσεως, ἐστι τόδε ἀλλὰ καὶ τόδε. καὶ ἁπλῶς ἐπὶ τῶν ἄλλως γινομένων, ὡς ἔχει τὸ,

ἀσπίδα, φρῦνον, ὄφιν, καὶ Λαδικέας περίφευγε,
καὶ κύνα λυσσητῆρα, καὶ παλὶ Λαδικέας.

ἀλλὰ τὰς πινακίδας Εὐθάλιος ὁ Λαδικεὺς ἔχει λαβών. Hæc desumta e Synes. Epist. 127. Cf. Anecd. Barocc. in Mus. Philol. t. ii. p. 431.

Anonym. Grammat. Cod. 2720. f. 208. v.

Ἀπαλλάττειν—ἀπαλλάττειν καὶ τὸ διατρίβειν καὶ διαγένεσθαι· καὶ Ξενοφὼν, ἀπήλλαττε μετὰ τῶν Σκυθῶν ὁ Κῦρος ἐν Ἰωνίᾳ· Εὐριπίδης,

ἀνάγκη πεινῆν διὰ βίου, καὶ ἀθλιώτερον ἀπαλλάττειν

ἤτοι διατρίβειν.

F. 211. Ὅτι πόθος καὶ ἔρως καὶ ἐρᾶν καὶ πόθειν διαφέρει. ὧν τὸ μὲν ἐρᾶν καὶ ἐπὶ παρόντων καὶ ἐπὶ μὴ παρόντων λέγεται· ποθεῖν δὲ τὸ ἀνακαλεῖν καὶ ἀναζητεῖν μὴ παρόντων, ὡς καὶ παρ' Ἀριστοφάνει παροιμιακῶς λέγεται,

ποθεῖς τὸν οὐ παρόντα, καὶ μάτην καλεῖς.

F. 212. v. Αἴρω τὸ ὕψω, καὶ τὸ ἐν τιμῇ τινὰ ἀποκαθιστῷ, ὡς

Digitized by Google

τὸ ἦρεν ἡ φήμη τὸν ἄνδρα· καὶ τὸ ἄγω καὶ προσφέρω, ὡς Σοφοκλῆς,

αἶρε αὐτὸν, αἶρε δεῦρο, ταρβήσει δ' οὔ. Soph. Aj. 545.

ἀντὶ τοῦ ἄγε καὶ πρόσφερε.

5 F. 213. Ἔνεστι ἀντὶ τοῦ ἐντός ἐστιν, καὶ ἔνεστιν ἀντὶ τοῦ ἁπλῶς ἐστι, ὡς παρ' Εὐριπίδῃ,

ἔνεστι κἀν θεῶν γένει τόδε. Hippol. 7.

F. 216. Ὅτι τὸ ἀπολαβὼν καὶ ἀντὶ τοῦ ἀπολεξάμενος· Ἀριστοφάνης,

10 οὐκ οὖν πρὶν ἀπολαβὼν κωδωνίσω. Ran. 79.

Cod. 2562. Ch. Sæc. XIII. Continet Tract. Glycæ περὶ συντάξεως. Cujus hoc specimen dabo. Περὶ μέντοι τῆς γενικῆς καὶ τῆς κατ' αὐτὴν συντάξεως, τῶν φιλούντων τις ἔναγχός μοι προελθὼν, ἅμα μὲν τῶν περὶ ταῦτα σπουδαίων καὶ φιλομαθῶν ἐς τὰ
15 μάλιστά τις ὤν, ἅμα δὲ καὶ τῶν ἐλλογίμων ἄλλως, καὶ διὰ τοῦτό μοι κεχαρισμένων, τὸ μετέχειν, ὅπως γενικῇ παρὰ τοῖς ἄλλοις τῶν ἀρχαίων συνταττόμενον, αἰτιατικῇ παρὰ τῷ κωμικῷ Ἀριστοφάνει εὕρηται, ἐμμελῶν ἀποπειρώμενος ἠρώτα· τότε μὲν πρὸς αὐτὸν, καὶ τὴν ἐρώτησιν σχολὴν τῆς ὥρας οὐ διδούσης, οὐδ' ὅτι οὖν
20 ἀπεκρινάμην· νῦν μέντοι διά σου μοι καὶ τοῦ γράμματος πρὸς αὐτὸν ἀποκεκρίσθω· ἄμφω τε γὰρ ἐμοὶ πεφίλησθον, καὶ ἐς τὴν υἱέων μοῖραν· σὺ μὲν τῇ φύσει, ὁ δὲ τοῖς τρόποις μοι λελόγισται, ὥσθ' ὑμῖν ἐνταῦθα, εἰ καὶ σμικρόν τι τὸ χαρίσασθαι, ἀλλ' οὖν ἐπίσης φροντιστέον.

25 Ἔστι τοίνυν τὸ παρὰ τῷ Ἀριστοφάνει εὑρισκόμενον, ἐν οἷς ὁ θεράπων τοῖς ἀμοιβαίοις πρὸς Ἑρμῆν φησὶ, τὰ γὰρ ἄλλα παρὰ τῶν ἐπῶν ἐκλέξῃ,

οὐ γὰρ μέτεσχες τὰς ἴσας πληγὰς ἐμοί[4]. Plut. 1144.

τοῦτο μέντοι τῷ κανόνι προσαγόμενον ὃν ὑπέθεμεν ἐπὶ τῆς γενικῆς,
30 μάλα σοι ῥαδίως καὶ εὐπόρως ἐς τὴν μέθοδον δραμεῖται, καὶ τῷ τύπῳ ἁρμοσθήσεται· καὶ ἐνταῦθα γὰρ ἡ τοῦ ὅλου σημασία πρὸς τὴν αἰτιατικὴν τὸ ῥῆμα ἔτρεψεν. ἐν γὰρ τῷ εἰπεῖν, τὰς ἴσας ἐμοὶ ὅτι οὐ μετεῖχες, τοῦτο εὐφυῶς ὁ ποιητῆς, εἰ καὶ μὴ ἐμφανῶς, ἐδήλωσεν, ὅτι πολλὰς ἐμοῦ τὰς πληγὰς λαμβάνοντος, σύγε οὐ τὰς

[4] Cod. ἐμοὶ πληγάς.

Digitized by Google

ἴσας οὐδὲ τὰς ὅλας εἴληφας. ὡς οὖν διὰ τῆς ἰσότητος τὸν ὅλον ἀριθμὸν τοῦ πληροῦς ἐθέλοντος δηλοῦν, τὸ μετέχειν εἰς τὴν αἰτιατικὴν ἠνέχθη. οὕτως οὐδαμοῦ διαπίπτει σοι τὰ τοῦ κανόνος, καὶ ὑμεῖς εἰκότως ἂν ποιοῦντες τῷ βραχεῖ τῆς λύσεως ἀγαπῶντες εἴητε. 5

F. 246. Fragm. duobus column. script. antiquiore videtur excerptum e quodam Opusc. Allegorico de Herculis laboribus, fors. Joan. Pediasimi.

* * * Προμηθέα ἐσθίοντα, αὐτὸν δὲ τῶν δεσμῶν ἔλυσεν.

Ἐπιβαλών μοι τὰς ἀκτῖνας τοῖς βορείοις ὁ ἥλιος, τὰς μὲν φροντίδας ἀναιρεῖ τῶν ἐν τούτοις οἰκούντων, τὰς δίκην ἀετοῦ τὸ 10 τούτων ἧπαρ κατεσθιούσας. ζητοῦντες γὰρ καὶ προμηθευόμενοι πῶς ἂν τὸν τοῦ χειμῶνος ψῦχος ἐνέγκωσιν, ταῖς φρόντισιν δαμάζοντες τὰς ψυχάς, αὐτοὶ δ' ἐλεύθεροι τῶν δεσμῶν[5], τὰ τούτων μέλη τῷ κρύει νενεκρωμένα καὶ οἷον δεδεσμημένα διαλυσάμενος. Ἐντεῦθεν εἰς τὸ μεῖζον * * αρμα τοῦ κυκλοῦ ἀρθεὶς τοῦ ζωδιακοῦ πρὸς 15 ὃν ἔφαμεν Ἄτλαντος γίνεται τὸν αἰθέρα δηλαδὴ καὶ τὰς Ἑσπερίδας. ἐξ ὧν τρία μῆλα δρεψάμενος, αἰθὴρ τοιαύτης ἐκείνοις τυγχάνει φύσεως τόν τ' Ἀφροδίτης ἀτὲρ ἀφῇ τὸν Ἑρμοῦ τε καὶ τῆς σελήνης ἡλίῳ δίδωσι· τουτέστιν ὑπ' αὐτὸν ἐποιήσατο· ὑπ' αὐτὸν γὰρ οἱ τρεῖς οὗτοι τὴν πορείαν πεποιήνται· οὓς τρόπον δή 20 τινα τῷ Εὐρυσθενεῖ (sic) δείξας δημιουργῷ, καὶ παρ' αὐτοῦ οἷόν τι δῶρον τούτους ἐδέξατο.

Ἐπεὶ δέ φησι τὰ χρυσᾶ ταῦτα μῆλα πάλιν ἐκεῖσε τὴν Ἀθηνᾶν ἀγάγειν, οὐδὲ γὰρ ἑτέρωθί που θεμιτὸν ἦν ταῦτα μετατιθέναι, ὅρα δὴ τὸν ἥλιον μὲν εἰς τοὔμπροσθεν ἀεὶ προερχόμενον, τοὺς δ' ἔστιν 25 ὅτε καὶ ὑστερίζοντας ὑπ' Ἀθηνᾶς καλύπτεσθαι, τοῦ προσγειοτέρου φημὶ καὶ τεθολωμένου ἀέρος· τοῦτον γὰρ Ἀθηνᾶν ὀνομάζουσι.

[5] Leg. vid. αὐτὸς δ' ἐλεύθερος.

Digitized by Google

ADDENDA.

QUÆ sequuntur subjicienda sunt iis quæ initio Voluminis vulgavi περὶ Κωμῳδίας. Inter varia Logica schemata reperta sunt antiquissimo Codice Coisliniano 120, qui est membranaceus form. in fol. et sæculo decimo pulcherrima manu
5 scriptus. Codicis major pars quæstiones Anastasii theologicas refert, tum Andronici Rhodii philosophi Peripatetici tractatum de Animi Affectt. in fine mutilum, dein quædam Chronologica, et fol. 230. Commentarium in prædicamenta Porphyrii. Fol. 237. Περὶ Εἴδους. φησὶν ὁ Εὐριπίδης περὶ
10 Φοίνικος τινὸς (Stob. Tit. 65, 1.)

πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος.

Postea varia Logica schemata, quibus interposita sunt medio fol. 248. vers. inter τέλος τοῦ α σχήματος et πρῶτος τρόπος ἐν β σχήματι, quæ de Comœdia exscripsi. Verba credo sunt
15 alicujus Commentatoris in Aristotelis tractatum de Poetica, quæ eapropter notabiliora sunt, quod scriptor pleniorem eum quam qui ad nobis pervenit, præsertim ἐν τοῖς περὶ γελοίου, (Vid. Aristot. Rhet. III. 18.) habuisse videtur.



ἡ τραγῳδία ὑφαιρεῖ τὰ φοβερὰ πάθήματα τῆς ψυχῆς δι' οἴκτου,

Digitized by Google

καὶ ὅτι συμμετρίαν θέλει ἔχειν τοῦ φόβου. ἔχει δὲ μητέρα τὴν λύπην.

Κωμῳδία ἐστὶ μίμησις πράξεως γελοίου καὶ ἀμοίρου μεγέθους τελείου, χωρὶς ἑκάστου τῶν μορίων ἐν τοῖς εἴδεσι δρῶντος, καὶ δι' ἀπαγγελίας, δι' ἡδονῆς καὶ γέλωτος, περαινοῦσα τὴν τῶν τοιού- 5 των παθημάτων κάθαρσιν. ἔχει δὲ μητέρα τὸν γέλωτα. Γίνεται δὲ ὁ γέλως,





Διαφέρει ἡ κωμῳδία τῆς λοιδορίας· ἐπεὶ ἡ μὲν λοιδορία ἀπαρακαλύπτως τὰ προσόντα κακὰ διέξεισιν· ἡ δὲ δεῖται τῆς καλουμένης ἐμφάσεως. 25

Ὁ σκώπτων ἐλέγχειν θέλει ἁμαρτήματα τῆς ψυχῆς καὶ τοῦ σώματος.

Σύμμετρα τοῦ φόβου θέλει εἶναι ἐν ταῖς τραγῳδίαις, καὶ τοῦ γελοίου ἐν ταῖς κωμῳδίαις.



30

Digitized by Google

Μῦθος κωμικός ἐστιν ὁ περὶ γελοίας πράξεις ἔχων τὴν σύστασιν[1].

Ἤθη κωμῳδίας τά τε βωμολόχα, καὶ τὰ εἰρωνικὰ, καὶ τὰ τῶν ἀλαζόνων.

5 Διανοίας μέρη δύο· γνώμη καὶ πίστις[2].

Κωμική ἐστι λέξις κοινὴ καὶ δημώδης.

Δεῖ τὸν κωμῳδοποιὸν τὴν πάτριον αὐτοῦ γλῶσσαν τοῖς προσώποις περιτιθέναι· τὴν δὲ ἐπιχώριον αὐτῷ ἐκείνῳ.

Μέλος τῆς μουσικῆς ἔστιν ἴδιον· ὅθεν ἀπ' ἐκείνης τὰς αὐτο-
10 τέλεις ἀφορμὰς δεήσῃ λαμβάνειν.

Ἡ ὄψις μεγάλην χρείαν τοῖς δράμασι τὴν συμφωνίαν παρέχει.

Ὁ μῦθος καὶ λέξις καὶ τὸ μέλος ἐν πάσαις κωμῳδίαις θεωρουνται, διανοίαι δὲ καὶ ἦθος καὶ ὄψις ἐν ὀλίγαις.

15 ΜΕΡΗ ΤΗΣ ΚΩΜΩΙΔΙΑΣ ΤΕΣΣΑΡΑ.

πρόλογος χορικὸν[3] ἐπεισόδιον ἔξοδος

Πρόλογός ἐστιν μόριον κωμῳδίας τὸ μέχρι τῆς εἰσόδου τοῦ χοροῦ.

Χορικόν ἐστι τὸ ὑπὸ τοῦ χοροῦ μέλος ᾀδόμενον, ὅταν ἔχῃ μέ-
20 γεθος ἱκανόν.

Ἐπεισόδιόν ἐστι τὸ μεταξὺ δύο χορικῶν[4] μελῶν.

Ἔξοδός ἐστι τὸ ἐπὶ τέλει λεγόμενον τοῦ χοροῦ.

1 Cod. συστασην.

2 Seq. in Cod. hæc nota ιιέ

ὅρκοι συνθῆκαι μαρτυρίαι βάσανοι νόμοι,

quæ ad Rhetoricam Aristotelis plane spectant.

3 Cod. χυρικόν. 4 Cod. χορικόν.

Digitized by Google

Τῆς κωμωιδίας.

παλαία,	νέα,	μέση,
ἡ πλεονάζουσα τῷ γελοίῳ	ἡ τοῦτο μὲν προιεμένη, πρὸς δὲ τὸ σεμνὸν ῥέπουσα	ἡ ἀπ' ἀμφοῖν μεμιγμένη[5]

Resumuntur postea in Cod. Logica

πρῶτος τρόπος ἐν β σχήματι.

Addendum et hoc fragmentum iis quæ dedimus e Joanne Lydo pp. 313—332. Excerptum est e Cod. 1630. Chart. Sæc. XIV. f. 100.

Ἐκ τῆς ἱστορίας Ἰωάννου τοῦ Φιλαδελφείας.

Φασὶ γὰρ τὴν Νέμεσιν τὰ γλαφυρὰ τῶν πραγμάτων εἰς τὸ ἔμπαλιν τρέπειν ταῖς ὑπερβολαῖς τῆς τυχῆς, ὥς φησι Νουμήνιος, τῷ ἑαυτῆς τροχῷ τὴν ἰσότητα ἐπάγουσαν. ὅθεν ὁ Μεσομήδης[6] οὕτω που πρὸς αὐτήν·

ὑπὸ σὸν τροχὸν ἄστατον ἀστιβῆ
χαροπὰ μερόπων στρέφεται τύχα.

[5] Cod. μεμηγμένη. [6] Cod. μεσόδμης.

INDEX AUCTORUM.

Acron Agrigentinus, 395, 21.
Æschines, 300, 26.
—— ἐν τῷ κατὰ Τίμαρχον, 277, 12.
Æschylus, 19, 1. 266, 25. 399, 24.
Ætherius Grammaticus, 397, 20.
Alcæus 122, 27.
Alcman, 70, 9.
Alexander Aphrodisiensis, 389, 25.
Alexander Ætolus, 6, 5 et 23.
Ammonii προλεγόμενα εἰς τὴν φιλοσοφίαν πᾶσαν, 389, 1.
—— ὑπόμνημα εἰς τὰς πέντε φώνας, 384, 4.
—— σχόλια εἰς Ἀριστοτ. τὰ πρῶτα Ἀναλ. 390, 11.
—— περὶ ὑποθετικῶν συλλογισμῶν ἐκ τ. μονοβίβλου, 390, 27.
Anaxagoras, 244, 14.
Andromachus medicus, 394, 34. 395, 1. et 7.
Anonymi περὶ Ἱπτομάχου, 165.
—— περὶ Γυάρων, 179, 26.
—— versus περὶ ἐπιστήμων, 387, 22.
Antigonus Carystius, 319, 13. 392, 11.
Antimachus, 306, 12.
Apollonius Grammaticus, 7, 2.
Aphrodas medicus, 395, 2.
Aphthonius, 56, 22.
—— ἐν τῷ βίβλῳ τῶν προγυμνασμάτων, 268, 20.
Apolinaris μετάφρασις τοῦ ψαλτηρίου, 393, 25.
Apollonius τοῦ Ἡροφίλου, 395, 10.
Aratus Phænom. 295, 19.
Archigenes medicus, 394, 26. et 35. 395, 11.
Archytas, 318, 27.
Argyropulus λύσεις ἀπορριῶν καὶ ζητημάτων, 391, 33.
Aristarchus Grammaticus, 6, 24. 315, 1. 361, 13 et 15.
Aristocles medicus, 395, 5.
Aristonicus ἐν τῷ β περὶ διαλέκτων, 397, 30.
Aristophanes Comicus, 1, 2. 4, 16. 5, 16. 7, 19. 19, 17. 61, 19. 79, 1. 397, 14. 401, 11, 18 et 25.
Aristoteles, 7, 5. (ὁ Σταγειρόθεν) 106, 14. 171, 20 et 25. 317, 12. 329, 2. 335, 5. 337, 26. 338, 9. 345, 3 et 16. 346, 22.
—— ἐν τῷ περὶ Ἑρμηνείας, 246, 13.
—— ἐν τῷ τῶν δευτέρων Ἀναλυτικῶν, 248, 17.
—— ἐν τῷ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς, 325, 2.
—— ἐν τῷ περὶ τῶν ἀγράφων δογμάτων Πλάτωνος, 387, 32.
—— πρὸς Ἀντίπατρον, 399, 23.
Aristoxenus 56, 22. 172, 3.
Asclepiades medicus, 395, 5 et 25.
Athenæus, 396, 5.
Athenodorus Cordylion, 16, 30.
Augustus Cæsar Ajacem Sophoclis Latino sermone vertit, 329, 8.
Aurelius medicus Αὐρίλλιος, 394, 28.

Digitized by Google

Bacchylides, 264, 29.
Basilii quæstiones Ecclesiasticæ, 395, 34.
Bias, 169. 13.
Bryso, 304, 8.
Callimachus, 6, 15. 79, 11.
Callisthenes, 329, 2.
Carcinus, 243, 20.
Cecilius Pythagoreus, 317, 29.
Chaldæi, 176, 12. 314, 7. 317, 21. 318, 9. 320, 7.
Chii poetæ parodia in Hesiodi versum, 309, 14.
Chœroboscus, 397, 19.
Chrysostomus, 300, 23.
Cleomedes 344, 30.
Comicus ἡ κωμῳδία, 73, 24. ὁ κωμικὸς, 272, 30.
Crates Grammaticus, 8, 9. Aristarchi æmulus, 315, 4. 368, 15.
Cratevas medicus, 394, 20.
Cratinus, 1, 2. 4, 17. 5, 11. 7, 18.
—— ἐν Δηλιάσι, 182, 24.
Crito medicus, 394, 33. 395, 8.
Damascius παρεκβολαὶ εἰς τὸ πρῶτον περὶ οὐρανοῦ, 389, 19.
Demetrius Phalereus, 6, 9. 14, 25.
Democritus, 387, 18 et 27.
Demosthenes, 300, 26. 309, 2. 311, 21.
Didymus Grammaticus, 7, 2.
Dio Cassius, 383, 14. ἐν τριηκοστῷ πέμπτῳ Ῥωμαϊκῶν, 398, 11.
Diocles medicus, 394, 32.
Dionysius Grammaticus, 8, 9.
———— poeta περὶ ὀρνίθων, 21, 3. 60, 17.
———— Tyrannus Tragicus, 303, 18.
———— Ἀρεωπαγίτης, 347, 11.
———— Physicus περὶ τῆς προσηγορίας τῶν ἀνέμων, καὶ πόσοι εἰσί. κ. τ. λ. 369.
Dorotheus Hierosolym. μετάφρασις δι' ἰάμβων τοῦ ψαλτηρίου, 393, 26.
Empedocles, 171, 23, 387, 25.
Epaminondas, 169, 13.
Epicharmus, 291.
Epicurei, 244, 10.
Epicurus, 172, 1.
Erasistratus, 342, 8. 395, 24.
Eratosthenes, 6, 16. 333, 19. 324, 19. 373, 26.
Eubulus ἐν Διονυσίῳ, 396, 32.
Euclides Grammaticus, 8, 10.
Eudemus ἐν ταῖς ἀστρολογίαις, 394, 10.
Eudocia Augusta, 393, 26.
Eudoxus, 186, 18. 230, 17 et 26.
Eupolis, 4, 16. 7, 7 et 18.
—— Χρυσῷ γένει, 148, 18.
—— Μαρικᾷ, 400, 4.
—— Αὐτολύκῳ, ib.
Euripides, 79, 2. 210, 7. et fors. 255, 18. 392, 33. 400, 25. 401, 7.
—— Ὀρέστης, 7, 26. 19, 30.
—— Ἄλκηστις, ibid.
—— Συλεὺς, 7, 29. 8, 3.
—— Ἀντιόπη, 15, 4.
—— Ἀλκμαίων διὰ Κορίνθου, 20, 1.
—— Ἱππόλυτος, 20, 5. 292, 5.
—— Κρεσφόντης, 191, 4. Τρωάδες, 294, 12. innominat. sed Ἐρεχθεῖ (Stob. XXIX. 11.) 192, 27. Æol. Fr. 20. 403, 10.
Eustratius ἱερεὺς ὑποτζετζίρος, 391, 5.
Florentinus, 369, 23.
Galenus, 342, 25. 395, 15.
Gorgias, 252, 17.
Gregorius Nazianz. ὁ Θεολόγος, 251, 32.
—— ἐν τῷ Ἐπιταφίῳ, 270, 16.
—— περὶ ἀρέτης, 391, 29.
Gregorius Nyssenus, 366, 14.
Hephæstio, 87, 1. 95, 28. 101, 9, 289, 9.
Heraclides Tarentinus ἐν τοῖς πρὸς Ἀντιοχίδα, 395, 13.
Heraclitus, 176, 17. 324, 25.
Hermes, 395, 12.
Hermogenes, 302, 26. 305, 9. 308, 24. 312, 11.
—— ἐν ταῖς Ἰδέαις, 300, 7.

Digitized by Google

Heronis εἰσαγωγαὶ, 394, 12.
Herodianus Grammaticus, 7, 3.
—— ἐν τῷ περὶ παθῶν, 396, 13. περὶ πνευμάτων, 397, 23.
Herodotus, 194, 10.
Hesiodus, 63, 23. 309, 13. tac. nom. 293, 23. 326, 17.
Hippocrates, 176, 11. 342, 5. 343, 28. 395, 24.
Hipponactis metrum, 149, 20.
Homerus, Iliad. 60, 15. 63, 23. 74, 15. 163. 237, 30 et 34. 271, 17. 285, 5. 289, 30. 305, 29. 326, 17. 390, 17. 396, 11.
—— Odyss. 298, 21.
—— ἐν Μαργείτῃ, 64, 14.
Hystaspes Chaldæus, 315, 22.
Iamblichus, 390, 14.
Incerti Trag. fr., 192, 29.
Ion, 56, 11.
Ireneeus ἐκ τοῦ εἰς τὴν Γένεσιν, 367, 19.
Isocrates, 269, 26. 326, 19. 368, 15.
—— ἐν τῷ Πανηγυρικῷ, 309, 16. et 30. 310, 9. 20. et 29.
—— κατ' Εὐθύνου, 290, 30.
—— ἐν τῷ Εὐαγόρᾳ, 292, 32.
Joannes Geometra, 393, 25.
Joannes Levita, 397, 8.
Leo ὁ σοφὸς, 78, 5.
Leo philosophus, 399, 15.
Lexicon Homericum, 298, 17.
Lycophron, 6, 5. et 23. 60, 16. tac. nom., 292, 14.
Lydus, Joannes Laur. de Mens. Epitome, 313. ἐκ τῆς ἱστορίας, 406.
Marcus Antoninus, Excerpta ex ej. Opp., 173.
Menander, 1, 2. 4, 18. 7, 23. 398, 21. Ἀλαεῖς ejus drama, 397, 25.
Menecrates medicus ἐκ τῶν Μεμφίτου, 395, 3.
Menedemus, 14, 24.
Mesomedes, 406, 16.
Metheson Laodicensis, 395, 25.
Monomachus Aphrodisiensis, 395, 26.
Moses ὁ Θεολόγος, 308, 26. 347, 32.
Neophytus Monachus in Logic. Aristot., 388, 25. in numeros Indorum, 388, 29. id. cit. 395, 28. et 31.
Nicanor ὁ τὸν βίον Ἀλεξάνδρου ἱστορήσας, 332, 25.
Nicomachus 331, 5. 388, 21.
Numenius, 329, 4. 406, 15.
Ocellus Lucanus, 388, 31.
Olymnius Alexandrinus, 394, 22.
Onomacritus Atheniensis, 6, 30.
Oppianus, 60, 17.
Orpheus, 308, 28. 317, 9. 320, 14.
Orpheus Crotoniates, 6, 30.
Oracula 313, 17. et 26. 319, 29. 321, 22.
Pachymeris Commentarii in varia Aristotelis Opera, 392, 31.
Pappi frag. de Musica, 47.
Parmenides, 294, 20. 318, 7. 388, 19. 389, 8.
Pherecrates, 7, 19. ejus metrum, 162, 28.
Phile versus in Alexandrum Magnum, 43. in Lucian. de nupt. Alexandr., 44.
Philemon, 7, 23.
Philinus Cous, 395, 21.
Philo τὸν Μωσέως βίον ἀναγράφων, 333, 30.
Philolaus, 320, 16.
Philoponus, 389, 27. 397, 20.
Philostratus, 271, 32.
Philotimus, 395, 25.
Phocylides, 166, 17.
Photii Patriarch. λύσεις καὶ ἑρμηνεῖαι ἀπὸ τῆς γραφῆς, 392, 22. ejusd. ὁμιλίαι et ἐπιστολαὶ, ibid.
Pindarus, de ejus metris, ubi passim citatur, 59. et seqq. 262, 9.
—— ἐν ὕμνῳ Θήρωνος, 264, 17. 286, 30.
—— ἐν τῷ εἰς Ξενοφῶντα ἐπινικίῳ, 285, 24.
Pittacus, 247, 6. ἐμελέτησεν τραγῳδίαν εἰς Ἀμφιάραον, 290, 15.

Digitized by Google

Plato Comicus 4, 17. 7, 19. 167, 15.
Plato Philosophus, 189, 12. 192, 30. 230, 20. 236, 23. 240, 15. 295, 15. 326, 20. 335, 4. 328, 25. 329, 6. 330, 31. 351, 1. et 21. 338, 10. 340, 8.
—— ἐν τοῖς τοῦ Ἐλεάτου ξένου λόγοις, 347, 17.
—— ἐν Νόμοις, 287, 26.
—— ἐν τῷ διαλόγῳ τοῦ Λύσιδος, 306, 11.
—— ἀπὸ τοῦ Συμποσίου, 312, 1.
—— ἐν τῷ Τιμαίῳ, 347, 15. 351, 14. et 27.
—— ἐν τῷ Πρωταγόρᾳ, 291.
—— ἐν Φαίδωνι, 313, 14.
—— ἐν τῷ Φαίδρῳ, 314, 21. 317, 33. 345, 1.
—— ἐν τῷ Φιλήβῳ, 347, 19.
Plutarchus, 7, 4.
—— ἐν τῷ τοῦ Σολωνος παραλλήλῳ, 287, 5.
—— ἐν τῷ τῶν ζ σοφῶν Συμποσίῳ, 287, 7. 287, 26. 316, 30.
Polus, 252, 17.
Porphyrius, 7, 4. 330, 27. 342, 31. 390, 14.
Praxagoras, 395, 24.
Proclus, 7, 4. 347, 21. εἰσαγωγὴ 389, 5.
—— ἐν ὑποτυπώσει τῆς Πλάτωνος σοφίας, 318, 4.
—— ἐν τοῖς κεφαλαίοις αὐτοῦ, 345, 10.
—— ἐν τοῖς ἐξηγητικοῖς τοῖς περὶ τὸν Τίμαιον λόγοις, 351, 20.
—— ὁ μέγας φιλόσοφος, 390, 25.
Protagoras ἐν τῷ ἐπιγραφομένῳ μεγάλῳ λόγῳ, 171, 40. 173, 7,
Psellus in Geometriam, 388, 30.
Ptolemæus Ascalonita, 7, 3.
Pythagoras, 315, 35. 318, 27. 319, 25.
Pythagorei, 172, 3. 189, 24. 236, 26. 315, 24. 320, 13. 332, 11.
Pythias, 394, 31.
Sappho, 63, 6. ejus Carmina Tzetzis ævo periere, 63, 21. 266, 25.
Scholia in Lucianum, 398, 1.
—— Platonem, 399, 32.
Serapias Alexandrinus, 395, 21.
Serapion, 373, 26.
Serxestas (Σερξέστας) Apolloniensis, 395, 22.
Severianus Gabalorum Episcopus, 366, 26. περὶ ἡλίου καὶ σελήνης, 391, 17.
Sibyllæ decem, 332—334.
Sibyllæ Hebrææ versus de Antiochia et Cypro, 334.
Simmias Rhodius, 65, 25.
Simonides, 166, 194, 24. 264, 28. 267, 26. 388, 14. ἀπὸ τῶν Σκολιῶν ἐπῶν, 291.
Simplicius, 387, 29.
Socrates, 213, 27. 242, 27. 267, 9. 285, 8. et 24.
Solon, 286, 33. ἡρωελεγεῖα πρὸς περίστασιν ἡλικιῶν, 46.
Sophocles, 19, 11. et 16. tac. nom. (Αἴαντι), 293, 31.
—— Ἠλέκτρᾳ, 7, 27.
—— Φιλοκτήτῃ, 216, 31.
—— ἐν Ἀχιλλέως ἐρασταῖς, 396, 25.
Soranus, 395, 9. et 27.
Sotion, 391, 19.
Speusippus, 219, 16.
Stasinus ἐκ τῶν Κυπρίων, 399, 33.
Stesichori metrum, 97, 27.
Stoici, 121, 25. 244, 10. 246, 13.
Suidæ Lexicon, 272, 21.
Susarion, 1, 22. 5, 9.
Syrianus, 390, 9, et 10.
Tarratius Mathematicus, 314, 16.
Terpander, 56, 11.
Theodectes tragicus, 14, 30. 243, 15.
Theodorus ἐν τῇ ἐπιστολῇ πρὸς Θεοφίλου, 382, 20.
Theognis, 62, 21. 229, 3.
Theophrastus, 174, 20. 317, 15.
—— ἐν τοῖς περὶ ἠθῶν, 194, 24.
Theopompus historicus, 14, 28.

Digitized by Google

Thucydides, 74, 3. 266, 33.
Timæus, 318, 3. 320, 28.
Timocrates, 394, 27.
Tauromenius, 392, 25.
Timolaus Larissæus, 392, 27.
Timotheus, 64, 22.
Titus Episcopus Bostrorum, Comment. in quatuor Evangelistas, 393, 16.
Trypho, 7, 2.
Tusci, 320, 32.
Tzetzes Isaacus de Metris Pindaricis, 59.
Xenarchus, 389, 27.
Xenocrates, 170, 10. 323, 24.
Xenophanes, 281, 27. 282, 4.
Xenophon, 400, 24.
Zenodotus, 6, 24.
Zopyrus Heracleensis, 6, 30.
Zoroaster Chaldæus, 315, 22.

CORRIGENDA.

Pag. 4. lin. 22. *pro* τραγφδίαν *leg.* τρυγφδίαν
—— 7, 29. πραθεῖς *leg.* πραθεὶς
—— 16, 12. non in verbis *leg.* non hærendum in verbis
—— ib. 16. *post* reponenti *appone punctum.*
—— 17, 17. πάντου *leg.* πόντου
—— 20, 7. ἄδοντες *leg.* ᾄδοντες
—— 42. not. 4. Eutecnii abnegandam *leg.* Eutecnio abn.
—— ib. l. ult. ancupio *leg.* aucupio
—— 248, 17. λέγοντε *leg.* λέγοντι
—— 253, 29. ἐναντίᾳ *leg.* ἐναντία, *et pro* κακοδαιμονίᾳ *leg.* κακοδαιμονία
—— 266, 30. οὐκ ἂν, ᾔδου. *dele comma.*
—— 272, 22. σαυλάκια *leg.* σκυλάκια coll. p. 273, 2.
—— 352, 26. Φευρουαρίῃ *leg.* Φευρουαρίῳ

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google